BSB Bayerische StaatsBibliothek
MDZ Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Zachariae von Lingenthal, Karl Eduard, 1812-1894

Jus Graeco-Romanum

Bd.: 1

Lipsiae 1856

J.rom.f. 154 nc-1
urn:nbn:de:bvb:12-bsb10566407-0

J. rom. F. 154 nc

~~Lingenthal~~ Zachariae

<36620557960016

<36620557960016

Bayer. Staatsbibliothek

I. rom. f. 154 nc

BIBLIOTHECA
REGIA
MONACENSIS.

59

JUS GRAECO-ROMANUM.

PARS I.

PRACTICA

EX ACTIS

EUSTATHII ROMANI.

EX COD. LAURENTIANO

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

T. O. WEIGEL.

MDCCCLVI.

PRACTICA

EX ACTIS

EUSTATHII ROMANI.

EX COD. LAURENTIANO

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

T. O. WEIGEL.

MDCCCLVI.

BIBLIOTHECA
REGIA
MONACENSIS.

LECTURIS S.

Πεῖρα i. e. Practica sive Doctrina ex actis magni viri Eustathii Romani — *τὰ ῥωμαϊκὰ τοῦ μαγίστρου λεγόμενα,* ut est apud Harmenopulum in Protheoria — in Codice MS. Laurentiano LXXX, 6 (fol. 478 sqq.), saec. XV in Italia exarato, extat. Ejus Codicis apographum a b. Maiero confectum, quod beneficio V. Cl. Tafelii Tubingensis nactus eram, olim descripsi, deinde quum scripturae vitia haud pauca inesse viderentur, nonnulla e b. Heimbachii schedis liberaliter mecum communicatis, alia Florentiae commoratus ex ipso Laurentiano Codice correxi. Editurus autem has forensis prudentiae Graecorum reliquias plurima insuper ex ingenio emendanda esse vidi, quum vel ipse Laurentianus Codex nequaquam bonae notae sit.

Quod ad auctorem, fontes, indolem et historiam operis attinet, uberius de his rebus tractavi in Ephemeridibus Schneideri (Kritische Jahrbücher) anno 1847 p. 596—613, ad quem tractatum, ut brevis sim, Te, benevole lector, mihi liceat ablegare. Pauca tantum corollarii loco hic adjiciam.

Auctor inter officiales summorum Constantinopoli tribunalium non infimum locum obtinuit, denique inter judices ipse allectus esse videtur. Ab ipso enim adversus Caniclinum judicem *σημείωμα* illud editum esse crediderim, quod extat in Leunclavii Jure Graeco-Romano I p. 406 sqq. Ibi de semet ipso auctor praedicat: *δέκα γὰρ καὶ ἑπτὰ ἔτη κοιαίστωρι ὄντι ἐξυπηρετησάμην τῷ μακαρίτῃ κυρίῳ μου τῷ Μυστικῷ* (sc. Eustathio Romano). Vixit autem ad medium usque saeculum XI eodemque tempore *Πεῖραν* compilavit. Nam decretum synodale Alexii patriarchae, qui sub Romano Argyro thronum occupavit, ob oculos habuisse, atque etiam Garidae illius, qui Constantini Ducae tempora vivendo attigit, scripta tractasse videtur (*Πεῖρα* XLIX, 3. XXX, 14.). Idem Imperatorem Romanum

Argyrum, qui anno 1034 obiit, *μακαρίτην* vocat (*Πεῖρα* XLIX, 4.). Denique Eustathium Romanum, quem anno 1025 superstitem adhuc fuisse constat (coll. subscriptione *ὑπομνήματος* in Leunclav. IGR. I p. 414 sqq.), *μακαρίτην* quidem in *Πείρᾳ* non appellavit, sed ita passim laudibus extollit (e. gr. *Πεῖρα* XLIX, 4.), ut illum eo tempore, quo *Πεῖρα* composita sit, e vivis dudum discessisse facile intelligatur.

Quibus fontibus auctor usus sit, inscriptio indicat, quae compilationem ejus *διδασκαλίαν ἐκ τῶν πράξεων τοῦ μεγάλου κυροῦ εὐσταθίου τοῦ ῥωμαίου* esse docet. Quod *Πεῖραν* olim non solum ex Eustathii, sed etiam ex aliorum judicum actis compositam esse putavi, id mihi nunc quodammodo dubium est. Ubi enim *ὁ πατρίκιος εὐστάθιος* vel *ὁ πατρίκιος, ὁ μάγιστρος, ὁ μυστικός, ὁ δρουγγάριος, ὁ βέστης, ὁ κοιαίστωρ, ὁ ἐξάκτωρ, ὁ κριτής* non adjecto nomine proprio laudatur, his omnibus fere una eademque persona significari videtur, Eustathii nimirum Romani, quippe qui omnibus his dignitatibus condecoratus vel muneribus functus sit. Aliorum autem judicum sicubi decisiones referuntur, eae ex appellatione ad judicium Eustathii Romani devolutae esse et sic auctori innotuisse videntur. Locos, quibus haec mea conjectura nititur, in Indice Memorabilium congessi, iisque perlustratis sane probabilis illa cunctis videbitur.

De indole operis sic habe. Auctoris opera mediocris equidem ingenii virum prodit. Eustathius vero Romanus, cujus interpretationes et decisiones utcumque mutilatas nobis servavit, ob legum peritiam, decisionum facundiam, judiciorum et aequitatem (*φιλανθρωπίαν* et *συμπάθειαν*, cf. e. gr. *Πεῖρα* I, 14. XXII, 4. 6. XXIV, 13. XXV, 65. XLII, 20. XLIX, 4.) et integritatem (cf. e. gr. *Πεῖρα* VII, 12. XV, 2. XL, 12.) merito celebratus fuit. Denique *Πεῖρα* jurisprudentiae et judiciorum statum, qui illo tempore fuerit, ita egregie illustrat, ut editione omnino fuerit digna.

Π Ε Ι Ρ Α

ΗΓΟΥΝ

ΔΙΔΑΣΚΑΛΙΑ ΕΚ ΤΩΝ ΠΡΑΞΕΩΝ

ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΥΡΟΥ

ΕΥΣΤΑΘΙΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ.

ΠΙΝΑΞ[1] *ΒΙΒΛΙΟΥ*,

ὅπερ παρὰ μέν τινων ὀνομάζεται πεῖρα παρὰ δέ τινων διδασκαλία ἐκ τῶν πράξεων τοῦ μεγάλου κυροῦ εὐσταθίου τοῦ ῥωμαίου.

Τίτλος α'. Περὶ υἱῶν ὑπεξουσίων ἡττόνων[2] καὶ ἀνήβων γενομένων.
– β'. Περὶ προτιμήσεων.
– γ'. Περὶ τοῦ πῶς διατίθενται καὶ κληρονομοῦνται μοναχοί.
– δ'. Περὶ εὐθύνης τῶν προστησαμένων, εἰ ἄπορος ὁ προσταθεὶς ἐνοχῆς.
– ε'. Περὶ δώρων παντοίων καὶ ἐλαττόνων.
– ς'. Περὶ ὑποθήκης.
– ζ'. Περὶ διαλύσεως.
– η'. Περὶ χρόνων καὶ δεσποτείας.
– θ'. Περὶ τῆς νεαρᾶς τοῦ κυροῦ βασιλείου[3] τοῦ βασιλέως[4].
– ι'. Περὶ συνηγόρων.
– ια'. Περὶ ἐπερωτήσεως[5].
– ιβ'. Περὶ ἐγγυωμένων γυναικῶν.
– ιγ'. Περὶ δεφενσίονος[6].
– ιδ'. Περὶ διαθήκης[7].
– ιε'[8]. Περὶ ἐπιτρόπων.

---

[1] Sic Cod. Laurent. LXXX, 6 fol. 478^{a} incipit. [2] Textus *ἡττόνων* non habet. [3] Cod. videbatur habere *μανουήλ*. Sigla $β^{α}$ pro sigla $μ^{α}$ habita est.
[4] In textu additur: *καὶ περὶ πωλούντων στρατιωτῶν καὶ πενήτων.* [5] In textu est: *Π. ἐπερωτήσεων.* [6] Textus: *δεφενσιόνων.* [7] Textus: *διαθηκῶν.*
[8] In textu titulus *περὶ ἐπιτρόπων* post titulum *περὶ μισθωτῶν κτλ.* collocatus est, ut ille sit tit. XVI, hic tit. XV.

Τίτλος ιϛʹ. Περὶ μισθωτῶν καὶ μισθώσεων ἱερῶν οἴκων, καὶ λοιπῶν προνομίων αὐτῶν.
- ιζʹ. Περὶ ἀφηλίκων δωρεᾶς[1] καὶ ἀποκαταστάσεως.
- ιηʹ. Περὶ καινοτομίας.
- ιθʹ. Περὶ ἐνεχείρων, τόκων καὶ καρπῶν[2].
- κʹ. Περὶ ζημίας χρυσοβούλλου[3].
- καʹ. Περὶ κοινωνίας.
- κβʹ. Περὶ ἀποτιμήσεως[4] καὶ ὑπερθεματισμοῦ.
- κγʹ. Περὶ ἀποδείξεων καὶ προλήψεων καὶ βεβαιώσεων.
- κδʹ. Περὶ προικὸς καὶ ὑποβόλου καὶ θεωρέτρου καὶ[5] περὶ δευτερογαμουσῶν.
- κεʹ. Περὶ γυναικῶν[6].
- κϛʹ. Περὶ δανείου καὶ ἀχρεωστήτου καὶ ἀναργυρίας[7].
- κζʹ. Περὶ μεταθέσεως χρέους.
- κηʹ. Περὶ ἐλευθέρων καὶ δούλων.
- κθʹ. Περὶ καταθέσεων.
- λʹ. Περὶ μαρτύρων καὶ μαρτυριῶν[8].
- λαʹ[9]. Περὶ αἱρέσεων.
- λβʹ[10]. Περὶ ἀνυποστάτων ἀγωγῶν.
- λγʹ[11]. Περὶ τῶν προπετῶς ἀναχωρούντων τοῦ δικαστηρίου.
- λδʹ[12]. Περὶ φάκτου ἀγνοίας[13].
- λεʹ[14]. Περὶ ἀρνήσεως καὶ ἐλέγχου[15].
- λϛʹ[16]. Περὶ δημοσίων καὶ προνομίων αὐτῶν[17].
- λζʹ[18]. Περὶ ὅρων καὶ διαιρέσεως γῆς[19].
- ληʹ[20]. Περὶ πράσεως καὶ ἀγορασίας[21].
- λθʹ. Περὶ μεταθέσεως νομῆς καὶ χρόνων πάντων[22] καὶ νομῆς ἀγαθῆς ἢ κακῆς.

---

[1] In textu: *δωρεῶν καὶ λοιπῶν πραγμάτων καὶ ἀποκαταστάσεων.* [2] In textu: *Π. ἐνεχύρων καὶ τόκων καὶ διαφερόντων καρπῶν.* [3] In textu additur: *καὶ τῶν ἀπὸ βασιλικῆς φιλοτιμίας.* [4] In textu additur: *πάντων.* [5] In textu longe plenius: *καὶ ἐξωπροίκων καὶ προνομίων γυναικῶν καὶ ἐνοχῶν καὶ π. δευτερ. καὶ τῶν ἄλλων ἁμαρτημάτων καὶ τῆς βοηθείας αὐτῶν.* [6] Textus addit *ἰδικῶν* (l. *ἰδικῶς*). [7] In textu est: *καὶ ἀναργ. καὶ περὶ ἀχρεωστήτων.* [8] In textu ex tit. XXX duo effecti sunt: alter XXX *περὶ μαρτύρων,* alter XXXI *περὶ μαρτυρίων* (sic!). Id quod correxi. [9] In textu erat *λβʹ.* [10] Ibid. *λγʹ.* [11] Ibid. *λδʹ. Περὶ τῶν μετὰ τὸ δικάσασθαι ὑποχωρούντων προπετῶς τοῦ δικ.* [12] In textu erat *λεʹ.* [13] Textus addit: *καὶ νόμου.* [14] In textu erat *λϛʹ.* [15] Textus *ἐλέγχων.* [16] In textu erat *λζʹ.* [17] In textu rectius est: *δημοσίου — αὐτοῦ.* [18] In textu erat *ληʹ.* [19] Textus *διαιρέσεων,* omissa voce *γῆς.* [20] In textu erat *μʹ.* [21] Textus *ἀγορασιῶν.* [22] Textus: *Π. ἐννόμου ἀγωγῆς καὶ περὶ μεταθ. νομ.* omissis illis: *καὶ χρ. πάντων.*

Τίτλος μ'. Περὶ τῶν ἐπὶ νομῆς[1] παραδόσεων.
- μα'. Περὶ φαλκιδίου.
- μβ'. Περὶ τῶν ἀπὸ φόβου καὶ βίας ἁμαρτημάτων[2] καὶ ποιναλίων ἀγωγῶν[3] καὶ ἀναρχίας[4].
- μγ'. Περὶ λεγάτου[5].
- μδ'. Περὶ ἀῤῥαβῶνος.
- με'. Περὶ συμφώνου καὶ προστίμου[6].
- μς'. Περὶ χρήσεως.
- μζ'. Περὶ ἀποκρυβῆς δικαιωμάτων[7].
- μη'. Περὶ ἀδιαθέτως τελευτώντων[8].
- μθ'. Περὶ γάμου ἀθεμίτου καὶ φθορᾶς παρθένων[9].
- ν'. Περὶ προτιμήσεως ἀνακοινώσεων[10].
να'. Περὶ δικαστῶν.
- νβ'. Περὶ διακατοχῆς.
- νγ'. Περὶ δωρεῶν παντοίων.
- νδ'. Περὶ κληρονομίας.
- νε'. Περὶ κλεπτῶν.
- νς'. Περὶ βεβαιώσεως ἀντισυγγράφου[11].
- νζ'. Περὶ πανηγύρεων.
- νη'. Περὶ τῶν διδομένων ὅρων τῶν ἀπαιτήσεων[12].
- νθ'. Περὶ παραθήκης.
- ξ'. Περὶ καθοσιώσεως καὶ δημεύσεως.
- ξα'. Περὶ ὕβρεως.
- ξβ'. Περὶ συγγενείας ἀγχιστῶν καὶ πατρώνων.
- ξγ'. Περὶ ἁρπαγῆς.
- ξδ'. Περὶ πλαστοῦ.
- ξε'. Περὶ ἐγγυητῶν.
- ξς'. Περὶ φόνων[13].
- ξζ'. Περὶ ῥηγνυμένης διαθήκης καὶ ἀμνημονεύτων υἱῶν[14].
- ξη'. Περὶ ὅρκου καὶ συκοφαντίας.
- ξθ'[15]. Περὶ μανδάτορος καὶ ἐντολέως.

---

[1] Textus *νομῇ*. [2] Textus addit: *καὶ πάσης βίας*. [3] Sic emendavi ex textu. Cod. *ἀγωγῆς*. [4] Textus *ἀναρχιῶν*. [5] Textus *λεγάτων*. [6] Textus *συμφώνων καὶ προστίμων*. [7] Textus addit: *καὶ πίστεως αὐτῶν καὶ λοιπῶν*. [8] Textus addit: *καὶ πῶς κληρονομεῖται*. [9] Textus: *Π. γάμων θεμιτῶν καὶ φθ. π. καὶ λοιπῶν καὶ περὶ ἐκθέσεως*. [10] Textus *ἐξ ἀνακοινώσεως*. [11] Textus addit: *καὶ προκομίσεως*. [12] Textus: *ἐν τῇ ἀπαντήσει*. [13] In textu inscriptio amplior est. [14] Textus *νέων*. [15] In textu tit. LXIX inscriptionem habet: *Περὶ ὅρκων τῶν ἐκδίκησιν ἐχόντων*.

Τίτλος ο'[1]. *Περὶ στρατιωτῶν.*
– *οα'. Περὶ ἀναργυρίας.*
– *οβ'. Περὶ πεκουλίων.*
– *ογ'. Περὶ εὐνούχων.*
– *οδ'. Περὶ τῶν ὑπὸ βασιλέως κρινομένων.*
– *οε'. Περὶ ἐκκλήτων.*

---

[1] In textu *τί. ο'* deest.

ΤΙΤΛΟΣ α΄.

Περὶ υἱῶν ὑπεξουσίων καὶ[1] ἀνήβων γενομένων.

α΄. Ὅτι δίκης κινηθείσης, ὡς ὑπεξούσιός τινος παῖς ἐν οἰκίᾳ ἑτέρου πυκνῶς κρύπτεται καὶ τῇ θυγατρὶ αὐτοῦ συνέζευκται, τοῦ πατρὸς τοῦτον ἐκεῖσε καταλαμβάνοντος, ἔκρινεν ὁ δικαστὴς, τὸν τῆς κόρης πατέρα ἀσφαλίσασθαι καὶ μὴ ὑποδέξασθαι τὸν ὑπεξούσιον, ἑτέραν τινὰ τιμωρίαν μὴ ἐπαγαγών. εἶτα τοῦ υἱοῦ καὶ τῆς θυγατρὸς προσφυγόντων τῇ ἐκκλησίᾳ, πάλιν ἕτερος δικαστὴς ἀντὶ μηδὲ γεγονότος τοῦτο ἡγήσατο, εἰπὼν, ὅτι οἱ ὑπεξούσιοι χωρὶς τῶν πατέρων οὐ συνιστῶσι γάμον, καὶ οὐκ ἀναγκάζεται ὁ πατὴρ οὐδὲ ἀπὸ βασιλικῆς ἀντιγραφῆς ἐλευθεροῦν τὸν παῖδα τῆς ὑπεξουσιότητος, καὶ ἔκρινε μὴ γενέσθαι γάμον.

β΄. Ὅτι[2] ὁ ὑπεξούσιος υἱὸς συμπωλῶν τῷ πατρὶ τὰ προσποριζόμενα μετὰ αὐτεξουσιότητα οὐκ ἀποκαθίσταται· φησὶ γὰρ ὁ νόμος[3]· „τότε ὑπεξούσιος νέος ἐν τοῖς ἐν ὑπεξουσιότητι πραχθεῖσιν οὐκ ἀποκαθίσταται, ὅτε τὸ ἐντεῦθεν τῷ πατρὶ προσεπόριζεν.“ προσποριζόμενα δὲ εἰσὶ τὰ ἐξ ὑποστάσεως τοῦ πατρὸς τυχὸν προσγενόμενα τῷ υἱῷ.

γ΄. Ὅτι ἐλευθερία δίδοται τοῖς ὑπεξουσίοις υἱοῖς ἐνάγειν τοῖς πατράσιν ἐκποιουμένοις τὰ ἰδιόκτητα. καὶ διατίθεσθαι ἐπ᾿ αὐτοῖς υἱοὶ οὐ κεκώλυνται.

δ΄. Ὅτι ἐν τοῖς πεκουλιαρίοις συναλλάγμασιν, ἐν οἷς[4] συγχωρηθῇ τῷ νέῳ παρὰ τοῦ πατρὸς ἡ διοίκησις τούτων, ὡς αὐτεξούσιος οὗτος καὶ οὐχ ὁ πατὴρ εὐθύνεται. καὶ ὁ νόμος[5] φησίν· „ὅτι οὐ κατέχεται ὑπεξούσιος ὑπὲρ ὧν συναλλάσσει γνώμης χωρὶς τοῦ πατρὸς, εἰ μὴ μόνον εἰς τὸ καναστρέσιον πεκου-

---

[1] Index: ἡττόνων καί. [2] Harm. I, 12, 60. [3] Basil. X, 4, 38.
[4] Malim ᾧ. [5] In Basil. non invenio.

λιον, ἐφ' ᾧ καὶ ἐνέχεται καὶ ἐνάγεται, καὶ οὐ μόνον ἐπὶ τοῖς ἰδιοκτήτοις, ἀλλὰ καὶ τοῖς ἄλλοις, ἐν οἷς ὡς αὐτεξούσιος ἐν τῇ παραχωρήσει τοῦ πατρὸς ῥυθμίζεται κατ' αὐτόν.

ε'. Καὶ βι. ιθ' τί. η' κεφ. ϛ' θέ. δ' · „ὁ ὑπεξούσιος πωλῶν ἐνέχεται ὡς αὐτεξούσιος.“

ϛ'. Ὅτι ἐστὶν, ὅπου πατὴρ καὶ ἄνευ τῆς συναινέσεως τοῦ ὑπεξουσίου τὸ δίκαιον αὐτοῦ οὐδὲν ἧττον ἀπεργάσασθαι δύναται διὰ καινοτέρου συμφώνου, ἐστὶ δὲ καὶ, ἔνθα τῆς συναινέσεως δεῖται τοῦ ὑπεξουσίου, οὐ πάντῃ δὲ κεκώλυται ἀλλοιοῦν τὰ σύμφωνα· καὶ ὅτι συναινέσει τοῦ ὑπεξουσίου ἧττον ἡ αἵρεσις τῶν ἐπιδιδομένων γίνεται. φησὶ γὰρ ὁ νόμος[1]· „ἐὰν ὁ πατὴρ προῖκα ἐπιδοὺς ὑπὲρ τῆς θυγατρὸς μὴ ἐπερωτήσῃ τὴν ἐπανάδοσιν ἑαυτῷ, ἐν τῷ καιρῷ τῆς ἐπιδόσεως ὡς βούλεται συμφωνεῖ. μετὰ ταῦτα δὲ συμφωνῶν οὐ δύναται τὴν αἵρεσιν τῆς θυγατρὸς αὐτοῦ καταβλάπτειν, εἰ μὴ τοῦτο[2] κατὰ γνώμην αὐτῆς ἐποίησε.“ καὶ ἀλλαχοῦ[3]· „ἐν μὲν τῷ ἐπιδιδόναι τὴν προῖκα δύναται ὁ πατὴρ τῆς γυναικὸς συμφωνεῖν ὅσα βούλεται, μετὰ δὲ τὸ ἐπιδοθῆναι καὶ τὴν θυγατέρα τοῖς συμφώνοις δεῖ συναινεῖν. εὐθέως γὰρ αὐτῇ προσπορίζεται ἡ προῖξ.“ μὴ ἐπερωτήσας γὰρ ὁ πατὴρ τὴν ἀνάδοσιν αὐτῷ, σιωπηρῶς ἔχων τὴν ἀνάληψιν κοινὴν ποιεῖται τὴν προῖκα, καὶ τότε δεῖται καὶ τῆς συναινέσεως τῆς θυγατρός. φησὶ γὰρ ὁ νόμος[4]· „ὅσα ὁ πατὴρ πρὸ τῶν γάμων δίδωσιν ὑπὲρ παιδὸς ἢ εἰς προῖκα ὑπὲρ θυγατρὸς παρέχει, ταῦτα λυομένων τῶν γάμων, ἐὰν τὸ σύμφωνον οὕτω συμβῇ, προσπορίζονται αὐτῷ.“ καὶ πάντων, ὧν ἡ χρῆσις προσπορίζεται τῷ πατρὶ, τούτων ἡ δεσποτεία τῶν παίδων ἐστὶ, χωρὶς τῶν ἐκ τῶν πραγμάτων τοῦ πατρός.

ζ'. Ὅτι τὰ ἰδιόκτητα καὶ ὡσανεὶ ἰδιόκτητα τὰ ἀπὸ βασιλικῆς δωρεᾶς αἰνίττεται, καὶ τὰ ἀπὸ διαδοχῆς ἀδελφῶν καὶ τὰ[5] ἐκ τοῦ πενθεροῦ καὶ τῆς πενθερᾶς δεδωρημένα καὶ ἑτέρων τινῶν.

[η'.] Ὅτι γυναικὸς ἐν συνεστῶτι τῷ γάμῳ πωλησάσης τὸ εἰς ὑπόβολον αὐτῇ ὑπεσχημένον κτῆμα μετὰ συναινέσεως τοῦ ἀνδρὸς, καὶ ἐκ τῆς τιμῆς τούτου παρασχόντος τοῦ ἀγοραστοῦ μέρος ὅσον ἐπέβαλεν αὐτῇ, καὶ ὕστερον κινησάσης τῆς θυγατρὸς ὡς ἐν ὑπεξουσιότητι κατεβλήθη αὐτῇ τὸ χρυσίον, καὶ ὁ πατὴρ ταύτης ἀνεβάλλετο[6], ἐσημειώσατο ὁ δικαστὴς ἀποκατασταῆναι τὴν παῖδα τὸ τρίτον τοῦ κτήματος λαβεῖν τῷ τοῦ ὑποβόλου

---

[1] Basil. XXIX, 1, 94. [2] Cod. τό. [3] Basil. XXIX, 5, 7. [4] Basil. XLV, 4, 6. [5] Cod. τῶν — δεδωρημένων. [6] Haec corrupta esse videntur, certe ἀνακόλουθα. Forte: ἀμφεβάλλετο.

δικαίῳ, ὅρκον ὑπέχουσαν, ὡς οὐκ ἀπελύθη τῆς τοῦ πατρὸς ἐξουσίας, οὔτε δὲ τὸ χρυσίον οἰκεῖον ἔθηκε κέρδος.

[θ'.] Ἀνάγνωθι βι. ιθ' τί. α'[1]· „μεταξὺ πατρὸς καὶ υἱοῦ εἰ μὴ ἐπὶ ἰδιοκτήτῳ πράγματι οὐ συνίσταται πρᾶσις."

[ι'.] Καὶ τί. ε' κεφ. α'· „Ἐὰν ἀγοράσω τὶ παρὰ ὑπεξουσίου ἐκ τοῦ πεκουλίου αὐτοῦ, καὶ συμφωνήσω μετὰ τοῦ πατρὸς ἀναχωρῆσαι τῆς ἀγορασίας, κἀγὼ καὶ ὁ υἱὸς ἐλευθερούμεθα. οὔτε γὰρ δυνατὸν συμφωνεῖν ἐξ ἑνὸς μέρους ἀναχωρεῖν τῆς ἀγορασίας. ὅταν ἐξ ἑνὸς μέρους ἀνανεωθῇ τὸ συνάλλαγμα, τὸ σύμφωνον οὐκ ἔῤῥωται. εἰ δὲ ἄνηβος χωρὶς τῆς αὐθεντίας τοῦ ἐπιτρόπου συμφωνήσῃ ὑποχωρῆσαι, αὐτὸς καὶ οὐχ ὁ ἀντίδικος αὐτοῦ ἐλευθεροῦται."

[ια'.] Καὶ κεφ. ς' θέ. β'[2]· „Ἐὰν πωλήσω ἀνήβῳ χωρὶς τῆς αὐθεντίας τοῦ ἐπιτρόπου, μόνος ἐνέχομαι. αὐτοῦ ἐναγαγόντος μοι παρακατάσχεσιν ἔχω. εἰ δὲ αὐτῷ μετὰ ταῦτα πωλήσω αὐτὸ αὐθεντοῦντος τοῦ ἐπιτρόπου, δοκεῖ ἀνανεοῦσθαι καὶ ἀμοιβαίως ἐνέχομαι[3]. εἰ δὲ τὸ πρῶτον αὐθεντοῦντος ἀγοράσει τοῦ ἐπιτρόπου καὶ μετὰ ταῦτα μόνος, ἡ ὕστερος οὐκ ἔῤῥωται. τὰ γὰρ ἐπὶ βλάβῃ τοῦ ἑνὸς μέρους σύμφωνα ἡ ἀγαθὴ πίστις οὐ προσίεται, μάλιστα εἰ εὐλόγως τὶς ἠπατήθη."

[ιβ'.] Καὶ κεφ. ια'[4]· „Ὅτι ἡ μὲν πρᾶσις καὶ ἡ ἀγορασία συναίνεσιν ἀπαιτεῖ ἑκάστου, μαινομένου δὲ οὐδεμία [ἐστὶ,][5] φανερόν ἐστιν. ἐν δὲ τῷ καιρῷ τῶν διαλειμμάτων τοὺς μείζονας τῶν κε' ἐνιαυτῶν καὶ πρᾶσιν καὶ οἱονδήποτε συνάλλαγμα δύνασθαι ποιεῖν οὐκ ἀμφιβάλλεται."

[ιγ'.] Καὶ τί. ζ' κεφ. δ'· „Ὁ ἥττων τῶν εἴκοσιν ἐτῶν ἀνισχύρως ἐπὶ τῷ ἐλευθερωθῆναι πωλεῖ δοῦλον, κἂν συμφωνήσῃ τὴν ἐλευθερίαν ὑπερτεθῆναι, ἕως οὗ πληρώσῃ τὰ κ' ἔτη."

[ιδ'.] Ὅτι διέστη τὶς τῆς ἑαυτοῦ γυναικὸς, καὶ δεδωκὼς τὴν προῖκα ὑπεκράτησεν εἰς φαλκίδιον τῶν τριῶν παίδων λίτρας ὀκτώ. ἀλλὰ καὶ τῶν παίδων ἐξ αὐτοῦ ὑποχωρησάντων διὰ τὸ τὸν πατέρα εἰς δεύτερον ἐλθεῖν γάμον, μηδ' αὐτοῦ τὴν συνοικίαν τούτων εὐφόρως φέροντος καὶ κινήσαντος δίκην, κατεδίκασεν ὁ μάγιστρος τὸν πατέρα, διὰ τὸ ἀτελεῖς εἶναι τοὺς παῖδας, κατέχειν μὲν τὸν μητρῷον φαλκίδιον καὶ παρέχειν ἑκάστῳ τῶν παίδων ὑπὲρ τούτου νομίσματα ια', παρέχειν δὲ καὶ παρ' ἑαυτοῦ ἕτερα νομίσματα ς'. καὶ ἐσημειώσατο οὕτως· ἐπεὶ

---

[1] Cap. 2. [2] Cf. Suppl. edit. Basil. Heimb. p. 265. [3] Lege ἐνεχόμεθα.
[4] Cf. Suppl. cit. [5] Cod. οὐδεμίαν.

τὸ ἀτελὲς τῆς ἡλικίας τῶν παίδων οὐ συνεχώρει πρὸς τούτους τὴν μητρῴαν ὕπαρξιν προβῆναι, ἐδοκιμάσθη μᾶλλον λυσιτελὲς εἶναι τοῖν μεροῖν ἀμφοτέροιν, κατέχειν μὲν τὸν πατέρα τὸν μητρικὸν τῶν ἑαυτοῦ παίδων κλῆρον, παρέχειν δὲ τούτων ἑκάστῳ νομίσματα ια', καὶ παρ' ἑαυτοῦ ὑπὲρ τῶν τριῶν νομίσματα ιη' ἐπὶ τὸ ἀποτρέφεσθαι καὶ ἐνδύεσθαι. εἰ μὲν γὰρ συνέζων τῷ πατρὶ, οὐδεμία ἦν τροφῆς καὶ ἐνδυμάτων πολυπραγμοσύνη· ἐπεὶ δὲ διέστησαν τοῦ πατρὸς οὐδ' αὐτοῦ τὴν συνοίκησιν εὐφόρως φέροντος, εἰς ταύτην ἤλθομεν τὴν οἰκονομίαν νομικῇ συγκραθεῖσαν αὐθεντείᾳ. ἀπολυομένοις μὲν γὰρ εἰς αὐτεξουσιότητα τοῖς παισὶ τὴν ἡμίσειαν τῶν μητρῴων δίδωσι τούτοις ὁ νόμος, τῷ δὲ πατρὶ τὴν λοιπὴν ἡμίσειαν κατὰ χρῆσιν μόνον ἀφίησιν ἕως ἂν περιῇ. ἀλλ' ἐπεὶ τοῖς μὲν ἀφήλιξιν οὖσιν οὐκ ἐστὶ θέλημα βέβαιον, τῷ δὲ οὐκ ἀρεστόν ἐστιν ἀλλ' οὐδὲ συμφέρον εἰς οἶκον τὸν ἴδιον ἔχειν τοὺς παῖδας, ἀπεστερήσαμεν τούτων τῶν μητρῴων οὐδὲν, τὸ δὲ πατρόθεν μέλλον χορηγεῖσθαι συμμέτρως τετύπωται, οὐ μόνον διὰ τὸ ἀποστερεῖσθαι τὸν πατέρα τῆς παρὰ τοῦ νόμου κεχαρισμένης αὐτῷ μερίδος, ἀλλὰ καὶ διὰ τὸ φιλανθρωπεύεσθαι καὶ δοῦναι τῇ μητρὶ τούτων εἰς φαλκίδιον τῶν παίδων λίτρας ἕξ[1]. καὶ ὅτε τούτων ἕκαστος εἰς τὴν ἐντελῆ καὶ νόμιμον ἡλικίαν ἔλθῃ, λήψεται τὸ μητρόθεν αὐτῷ προσῆκον καὶ αὑτοῦ φροντιεῖ.

[ιε'.] Ὅτι ὑπεξούσιος ἑλκόμενος εἰς δίκην ὑπὲρ τοῦ πατρὸς, καὶ παραιτούμενος τὴν δίκην, εὔλογα λέγειν ἔδοξε, καὶ ἀφήθη παρὰ τοῦ μαγίστρου.

ΤΙΤΛΟΣ β'.

Περὶ προτιμήσεων.

[α'.] Ὅτι ἐδάνεισέ τίς τινι ἔχοντι γυναῖκα. εἶτα κινηθέντος τοῦ χρέους συνεβιβάσθη ὁ χρεώστης, καὶ παραδέδωκε τῷ δανειστῇ κτῆμα. ἐκινήθη μετὰ ταῦτα ἡ περὶ τῆς προικὸς ἀγωγὴ παρὰ τῆς γυναικὸς, καὶ ἐσημειοῦτο ὁ βέστης γενέσθαι τὸ ἱκανὸν τῇ προικὶ, εἰπών· ἐκεῖνο δῆλον ὂν, ὡς τῆς ἀνδρῴας μὴ

---

[1] Legerim: τὴν μητέρα — λίτρας ὀκτώ, i. e. numos DLXXVI. Sic enim supra. Ut proinde semisses usuras a patre Magister exegerit, dum ter undecim, i. e. XXXIII numos ab eo liberis quotannis solvendos edixerit.

ἐξαρκούσης περιουσίας ὁ χρεώστης ἐκ τοῦ κτήματος τὸ ἔνδεον ἀποπληροῖ. ᾔδει γὰρ ὁ δανειστὴς δωσεκολοτέρ . . παρασχὼν[1] πάντων ἔσται προτιμότερος, ὥστε διαπωλουμένου τοῦ κτήματος εἰ βούλοιτο αὐτὸς λάβῃ ἢ τὴν προτίμησιν τῆς ὠνῆς ἢ τὸ δοθὲν παρ' αὐτοῦ χρέος.

[β'.] Ὅτι[2] εἰ τέσσαρες χρόνοι διέλθωσιν ἀνεπιφώνητοι μετὰ τὸ ἀγοράσαι τινὰ κλασματικὴν γῆν, οὐ δύναταί τις περὶ προτιμήσεως κινεῖν.

[γ'.] Ὅτι γυνὴ ἔχουσα οἰκήματα, ἔχουσα δὲ καὶ παῖδας, κατέθετο πρός τινα δημοσιακὴν δουλείαν ὑπεισελθόντα ὡς παρέχει αὐτῷ ὑπὲρ τῆσδε τῆς ὑποθέσεως. ἐνήχθη παρὰ τοῦ δεξαμένου τὴν κατάθεσιν τοῦ υἱοῦ, ἀλλ' ἀποδείξασα ὡς τὰ οἰκήματα αὐτῇ διαφέρουσι καὶ πρὶν ὑπελθεῖν τὸν υἱὸν εἰς τὸν δημόσιον καὶ πρὶν καταθέσθαι, ἀλλὰ μὴν καὶ πρὸ τοῦ γεννηθῆναι τοῦτον, ἀπηλλάγη τῆς ἐνοχῆς.

[δ'.] . . . .[3] ἀλλ' ὁ δικαστὴς ἔγραψεν, ἐπεὶ ἡ τοῦ πατρικίου διάταξις[4] πρὸς τὰ ἀδέλφια δίδοσθαι προσωπικῶς τὴν προτίμησιν προστάττει, οὐ περίεισι δὲ ἀδέλφια, κατὰ τοῦτο τὸ μέρος ἐσχόλασεν ἡ διάταξις. τὰ γὰρ προσωπικὰ μέχρις αὐτῶν τῶν προσώπων ἵσταται.

[ε'.] Ὅτι ἐτελεύτησέ τις ἀδιάθετος, καὶ ἦλθον δανεισταὶ καὶ ὑπόσχεσιν προικὸς καὶ ὑποδοχὴν κλήρου ζητοῦντες. καὶ ἔκρινεν ὁ δικαστὴς οὕτως εἰπών· ἔλαβε χώραν τοῦ δεῖνος ὁ γάμος μετὰ τὸ σύμφωνον[5] ὑφ' ἑαυτὸν ἔχειν τὴν ὕπαρξιν καὶ πρὸ τῶν ἄλλων κατὰ νόμον προλαμβάνειν δανειστῶν τὰ τῷ γαμικῷ συμφώνῳ ὑποκείμενα. καὶ ἐπεὶ πρεσβύτερα τῆς γαμικῆς ἐπαγγελίας δάνεια ἀνέκυψαν, δεῖ τὸν δεῖνα νομίμως ἱκανῶσαι τὰ τῇ πενθερᾷ καὶ τοῖς πρὸ γάμου δανεισταῖς ἁρμοζόμενα, τὰ δ' ἄλλα συλλογίζεσθαι εἰς τὰ ἀνήκοντα αὐτῷ τε καὶ τῇ γαμετῇ αὐτοῦ τῶν μεταγενεστέρων . . . .[6] ὁ δὲ γαμβρὸς, διὰ τὸ μὴ ἀρκεῖν τὴν μετὰ τὰ πρεσβύτερα χρέη ὑπόστασιν τοῦ πενθεροῦ ἱκανῶσαι καὶ τὸν κλῆρον αὐτοῦ καὶ τὴν προῖκα τῆς γαμετῆς κατὰ τὸ σύμφωνον ἀνασῶσαι, πρῶτον αὐτὸς τὸν ὅλον κλῆρον καθότι καὶ . . . . .[7] τὰ δὲ περιττὰ ὑποκείσεται

---

[1] De hoc loco sanando desperavi, licet *δυσκολωτέρως* conjicere in promptu sit. [2] Harm. III, 3, 115. [3] Lacuna sex linearum in Codice est. [4] Similiter Patricii quaedam constitutio laudatur tit. 43 c. 11. [5] Videtur legendum: *συμφωνεῖν*. [6] Lacuna quatuor linearum. [7] Cod.: *καθότι καὶ τὸ χάραγμα οὐχ εὑρέθη*. Nempe haec verba notam librarii continent, qui *χάραγμα* aliquod in Codice prototypo lacunis ansam praebuisse indicet.

τῇ προικὶ, καὶ πρὸς τὸ ἐλλεῖπον τῆς ὅλης προικὸς παρακινδυνεύσει ἡ γυνή. ἀπὸ γὰρ τοῦ συμφώνου ἔλαβε πρότερον ἱκανοῦσθαι αὐτὸς τὸν κλῆρον αὐτοῦ, ἔπειτα καὶ αὐτὴν τὴν προῖκα. καὶ καλῶς, ὅτι καὶ βι. κθ΄ καὶ τί. ε΄ κεφ. ε΄[1] φησιν· „ἐν μὲν τῷ ἐπιδιδόναι τὴν προῖκα δύναται ὁ πατὴρ τῆς γυναικὸς συμφωνεῖν ὅσα βούλεται. μετὰ δὲ τὸ ἐπιδοθῆναι δεῖ καὶ αὐτὴν συναινεῖν.“ ὁ πατὴρ δὲ ὡς μὴ εὐπορῶν δοῦναι ὅσα ὑπέσχετο, καθ᾽ ὅσον ἐπιδίδωσι, τὴν προῖκα συνίστησιν· οὐ γὰρ τὸ σύμφωνον μᾶλλον, ἀλλ᾽ ἡ ἀπαρίθμησις ποιεῖ τὴν προῖκα ὡς βι. κθ΄. τί. ε΄ κεφ. μα΄.

[ϛ΄.] Ὅτι οἱ ζητήσαντες προτίμησιν θὐ κωλύονται ἐκ δωρεῶν τυχὸν ἐχουσῶν ποίησιν ἢ δόσιν . . . .[2]

[Τ Ι Τ Λ Ο Σ ε΄.]

[Περὶ δώρων παντοίων καὶ ἐλαττόνων.][3]

[α΄.][4] „Ὁ[5] ἀνὴρ ἢ ἡ γυνὴ λαμβάνοντες καρποὺς ἐξ ὧν ἀλλήλοις ἐδωρήσαντο πραγμάτων, εἰ μὲν ἀπὸ καμάτων τοῦ λαβόντος τὴν δωρεὰν ἐκτήθη, ὁ καρπὸς αὐτοῦ γίνεται· τυχὸν γὰρ αὐτὸς ἔσπειρεν. εἰ δὲ ὀπώραν ἢ ὕλην ἔκοψεν, οὐ γίνεται αὐτοῦ, ἐπειδὴ μήτε ἄλλου καλῇ πίστει νομέως. οὐ γὰρ ἀπὸ ἔργου αὐτοῦ ὁ τοιοῦτος καρπὸς γίνεται.“

[β΄.] Καὶ βι. ιθ΄ τί. ι΄ κεφ. μη΄[6]· „Ὁ δωρούμενος οὐκ ἀναγκάζεται προλέγειν, ἅπερ ἐπὶ τῶν πράσεων εἴρηται, οὔτε ἐνέχεται τῇ περὶ τοῦ πραθέντος ἀγωγῇ. καὶ εἰ ὁ λαβὼν τὸ δωρηθὲν κρεῖττον αὐτὸ ἐποίησεν, οὐκ ἐνάγει περὶ τοῦ διαφέροντος. ἀπὸ μέντοι οἰκείου δόλου ἐνέχεται ὁ δωρησάμενος.“

[γ΄.] Καὶ τί. ε΄ κεφ. ιγ΄[7]· „Ἐάν τις τὸ δωρηθὲν αὐτῷ πρᾶγμα παρά τινος τελευτήσαντος τοῦ δωρησαμένου ἀγοράσῃ παρὰ τῶν αὐτοῦ κληρονόμων, οὐ δύναται νέμεσθαι αὐτὸ καὶ ὡς δωρεὰν καὶ ὡς ἀγορασίαν, ἀλλ᾽ ὡς ἅπαξ δεσπότης γενόμενος ἀχρήστως τὸ ἴδιον ἀγοράζει. εἰ δέ τις ἐν ὁμάδι πᾶσαν τὴν

---

[1] In edit. Heimb. est c. 7. [2] Lacunam septem linearum Codex habet in fine fol. 481, et deinde folia 482 et 483 in albo relicta sunt. Hinc fit, ut finis tit. II, tit. III et IV integri, et tit. V initium desint. [3] Supplevi ex Indice.
[4] An hoc caput primum hujus tituli fuerit, equidem dubitaverim. Sed primum vocavi; a quo enim alio numero initium facerem? [5] Basil. XXIII, 3, 45.
[6] Cf. Suppl. edit. Basil. Heimb. p. 280. [7] Cf. Suppl. cit. p. 265.

οὐσίαν λαβὼν κατὰ δωρεὰν ὕστερον παρὰ τοῦ παιδὸς τῆς τελευτησάσης ἠγόρασεν, εἰς τοῦτο αὐτῷ συμβάλλεται [ἡ] παρὰ τοῦ παιδὸς πρᾶσις εἰς τὸ μὴ δυνηθῆναι αὐτὸν κινῆσαι μέμψιν κατὰ τῆς δωρεᾶς ὡς λαβόντα τὸ τῶν πραγμάτων τίμημα.“

[δ΄.] *Καὶ κεφ. ιε΄*[1]*· „Γυνὴ ἀγοράσασα δούλην μετὰ ταῦτα ἠνέχετο ὡς κατὰ δωρεὰν λαβεῖν αὐτὴν παρὰ τοῦ δευτέρου ἀνδρός. ἐκ τοῦ ψεύδους τοῦ πλασθέντος οὐδὲ διπλασιάζει τὴν δεσποτείαν οὐδὲ ἀποστερεῖται αὐτῆς.“*

[ε΄.] *Καὶ κεφ. ιζ΄ περὶ τὰ μέσα*[2]*· „Ἀλλὰ καὶ ἐπὶ δωρεᾷ πράσεως κτήματος γενομένης, ἐὰν δὲ παράδοσις παρακολουθήσῃ, ἀγωγῆς τοῦ τιμήματος οὐδεμιᾶς ἁρμοζούσης, περαιοῦται ἡ δωρεά.“*

[ϛ΄.] *Καὶ τί. ζ· κεφ. ιϛ΄*[3]*· „Ἐάν τις πρὸ γάμου δωρεὰν διδοὺς συνεφώνησεν, ἵνα, ἐὰν παρὰ γνώμην αὐτοῦ ὁ γάμος λυθῇ, ἀποδοθῶσιν αὐτῷ ἅπερ ἐδωρήσατο, δύναται θανάτῳ αὐτοῦ διαλυομένων τῶν γάμων ὁ κληρονόμος ὡς ἀπὸ τοῦ συμφώνου λαβεῖν τὴν δωρεάν.“*

[ζ΄.] *Ὅτι τῶν προγαμιαίων δωρεῶν αἱ δεσποτεῖαι ὀφείλουσιν ἐντεῦθεν*[4] *ἤδη συνίστασθαι, ὑπὸ αἵρεσιν δὲ ἀνατρέπεσθαι τήν· ἐὰν μὴ προβῶσιν οἱ γάμοι. καί φησι βι. κη΄ τί. γ΄ κεφ. ι΄· „Ἐὰν ὁ μνηστὴρ δωρήσηταί τινα τῇ ἰδίᾳ μνηστῇ καὶ ὁ πενθερὸς ἀντιδωρήσηται αὐτῷ τινα, μὴ γενομένων δὲ τῶν [γάμων]*[5] *ὁ μνηστὴρ ἀφείληται ἅπερ ἐδωρήσατο, οὐ καλῶς ὁ πενθερὸς τὴν ἰδίαν δωρεὰν ἀνατρέπει.“*

[η΄.] *„Ὅσα*[6] *ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς μνηστῆς, ταῦτα μὴ γενομένων τῶν γάμων ἀναδίδοται αὐτῷ.“ οὕτω δὴ ὑπὸ αἵρεσιν τὴν τοιαύτην ἀνατροπὴν αἱ τοιαῦται δωρεαὶ δέχονται.“*

[θ΄.] *Ὅ[τι]* . . . .[7]*, ἀνενεχθῇ δὲ ἡ τούτων δεσποτεία πρὸς καιρόν, οὐκ ἔρρωται. καί φησι βι. κη΄ τί. γ΄ κεφ. δ΄· „Ἐάν τις δωρήσηται τῇ μνηστῇ πράγματα ἐπὶ τούτῳ τῷ ὅρῳ, ἵνα, ὅτε προβῇ ὁ γάμος, τότε γένηται αὐτῶν δέσποινα, ἄχρηστός ἐστιν ἡ τοιαύτη δωρεά.“ καὶ ὁ λογισμὸς δῆλος· εἰς καιρὸν γὰρ ἀναφέρεται γάμου, ἐν ᾧ μεταξὺ τῶν συνοικούντων στάσιν οὐκ ἐπιδέχεται δωρεά.*

[ι΄.] *Ὅτι ἀγοράσας*[8] *τὶς οἰκήματα, εἶτα ἐναχθεὶς παρὰ τοῦ*

---

[1] Cf. Suppl. l. l. [2] Cf. Suppl. cit. p. 266. [3] Fortasse integer locus excidit. Certe qui sequitur est Basil. XXVIII, 3, 7. [4] Malim *ἀπεντεῦθεν*. [5] In Codice lacuna notatur. [6] Basil. XXVIII, 3, 2. [7] Lacuna est in Codice. [8] Cod. *ὁ ἀγορ.*

γειτονοῦντος ὡς προτιμωμένου, ἐδωρήσατο ταῦτα πρὸς ἐκκλησίαν· καὶ ὁ μάγιστρος ἀνέτρεψε τὴν δωρεὰν, γράψας οὕτως· τῷ μὲν νόμῳ δοκεῖ μηδένα ἢ δωρεῖσθαί τινι τὸ ἐπίδικον ἢ θεῷ καθιεροῦν, καὶ τῷ γε τῶν δεδογματισμένων ὑπερορῶντι ποινὴ ζημίαν ἐπικρήμαται φέρουσα· μισεῖ γὰρ ὁ νόμος τὰ τοιαῦτα βωμολόχα καὶ πανοῦργα τῶν δωρημάτων. ὁ οὖν ἀγοραστὴς τέλεον ὀλιγορήσας καὶ τῆς ἀποφάσεως καὶ τῆς παραδόσεως ἐδωρήσατο τὰ οἰκήματα πρὸς τὴν ἐκκλησίαν. καὶ τῆς ὑποθέσεως γνωσθείσης, καὶ οὐ μόνον τοῦ τε ὑποσφραγισθέντος χρόνου ἐμφανισθέντος καὶ τῆς τῶν παραδεδωκότων πράξεως, ἀλλὰ καὶ τῆς πρὸς τὴν ἐκκλησίαν δωρεᾶς νεωτέρας εὑρεθείσης τῆς καταδίκης, ἐκρίθη τὴν μὲν ἐξ ἀγαθῆς προαιρέσεως σκαιοῤῥηθεῖσαν προσένεξιν μηδὲ δυνηθῆναι λωβήσασθαι τὴν τῆς νομίμου προτιμήσεως ἰσχύν· καὶ γὰρ πᾶν τὸ εἰς περιγραφὴν γινόμενον νόμου ἄτονόν ἐστι καὶ ἐξουθενημένον. περὶ μέντοι τοῦ τιμήματος ἐδόθη διασκέψεως ὅρος τῷ προσενηνοχότι τὴν δωρεὰν, ἵν', εἰ μὲν βούλοιτο καταστῆσαι φανερὸν, ὅτι τὸ δῶρον οὐ δι' ἔριν καὶ φθόνον καὶ μῖσος γείτονος ἀλλὰ θεοσεβεῖ λογισμῷ προσήνεγκε, προσέλθῃ τῷ δικαστῇ καὶ ἀμόχθως αἰτήσει δοθῆναι τοῦτο πρὸς τὴν ἐκκλησίαν· εἰ δὲ μετάμελος αὐτὸν σχοίη καὶ τὰ αὐτὰ φρονῆσαι θελήσειεν, ἀνανίῳ τε καὶ σαπφείρᾳ χρήσεται δικαστῇ, καὶ δίκην λάχῃ τῷ μέρει τῆς ἐκκλησίας, καὶ ἀποφάσει νομίμῳ τομὴν δέξεται τὸ περὶ τούτου ζήτημα.

ΤΙΤΛΟΣ ϛ'.

Περὶ ὑποθήκης.

[α'.] Ἐὰν τὸ ὑποκείμενόν μοι καλῇ πίστει ὠνήσῃ καὶ δεσπόζεις αὐτοῦ διὰ δεκαετίας ἀνεπιφωνήτως, οὐκέτι ὀχληθήσῃ εἰς τὸ ἑξῆς.

[β'.] Ὅτι δανεισάμενός τις ὑπέθετο τὸν οἶκον αὐτοῦ, εἶτα δημοσιακὴν ὑπελθὼν δουλείαν πάλιν ὑπέθετο τὸν οἶκον, καὶ μετὰ ταῦτα ἐλθὼν εἰς γάμον τὸν αὐτὸν οἶκον ὑπέθετο. ἐτελεύτησεν οὗτος τρισὶν ἔνοχον ἐνοχαῖς καταλείψας τὸν οἶκον. καὶ ἀμφιβάλλουσιν οἱ δανεισταὶ, ὁ μὲν ἰδιώτης λέγων· ὅτι ἐγὼ προγενέστερος ὢν τοῦ δημοσίου νικῶ τὸν δημόσιον, ὁ δημόσιος νικᾷ τὴν προῖκα καὶ ἁρμόζει ἐμοὶ ὁ οἶκος τῷ νικῶντι τὸν δημόσιον τὸν καὶ τὴν προῖκα νικῶντα. ὁ δὲ δημόσιος ἀντέλεγεν, ὅτι

ἐμοὶ ἁρμόζει ὁ οἶκος· ἐγὼ τὴν προῖκα νικῶ, ἡ προῖξ τὸν προγενέστερον δανειστὴν κατὰ τὸν νόμον, καὶ εἰ τὸν μείζονα νικῶ, τουτέστι τὴν προῖκα, πολλῷ μᾶλλον τὸν ἐλάττονα ἤτοι τὸν νικώμενον ὑπ᾽ αὐτῆς. ἡ οὖν προῖξ διαμαχομένη πρὸς τούτους φησί· μᾶλλον ἐμοὶ ἁρμόζει ὁ οἶκος· εἰ ἐγὼ γὰρ νικῶ τὸν προγενέστερον δανειστὴν τὸν καὶ τὸν δημόσιον νικῶντα, πῶς οὐχὶ ἀμάχως λήψομαι τὸν οἶκον; καὶ δοκοῦσι μὲν ἀμφότεροι ἰσχυρὰ προβάλλειν δίκαια· ὅμως οὖν ἡ προῖξ τὸ κράτος ἀποφέρεται. ὁ μὲν γὰρ δανειστὴς νικῶν τὸν δημόσιον οὐ πάντως καὶ τὴν προῖκα νικᾷ, ἀλλ᾽ ἥττηται τοῦ δανειστοῦ[1] καὶ τὸ περιελθὸν εἰς τὸν δανειστὴν πάλιν ὑπὸ τῆς προικὸς ἀναλαμβάνεται· ἡ δὲ προῖξ νικῶσα τὸν δανειστὴν, ὃς νικᾷ τὸν δημόσιον, οὐκ ἀπόλλυσιν ὃ λαμβάνει. οὐ γάρ ἐστιν ἕτερον πρόσωπον νικῶν καὶ ἁρμόζει μᾶλλον τῇ προικὶ ὁ οἶκος. καὶ εἰσὶν αἱ μὲν τοῦ δανειστοῦ καὶ τοῦ δημοσίου δικαιολογίαι, εἰ καὶ εὐλογοφανεῖς, ἀλλ᾽ οὖν παραλογισμοί· ἀμφότεροι γὰρ ἥττηνται ὑπὸ τῆς προικός. ὁ δὲ τῆς προικὸς λόγος ἀναντίῤῥητος καὶ οὐχ ὑπό τινος σαλευόμενος.

[γ΄]. Ὅτι[2] ὁ ἀγοραστὴς δοὺς τὸ τίμημα τοῦ ἠγορασμένου δανεισταῖς εἰς ὑποθήκην ἔχουσι τὸ πραθὲν, καὶ ἀναλαβὼν τὸ γραμματεῖον, δοκεῖ ἐνυπόθηκος δανειστής. ἀνάγνωθι βι. κε΄ τί. δ΄ κεφ. γ΄.

[δ΄.] Καὶ κεφ. ις΄· „Εἰ καὶ πόλις πρότερον ἐδάνεισε, δύναται ὁ μεταγενέστερος προσφέρων τὸ χρέος αὐτῇ βεβαιοῦν τὸ δεύτερον ἐνέχυρον.“

[ε΄.] Καὶ θέ. β΄[3]· „Ἐὰν τὸ ἐνέχυρον ἐπώλησεν ὁ πρῶτος δανειστὴς, τῷ δευτέρῳ οὐδὲν ὕπεστιν. εἰ δὲ ὁ χρεώστης αὐτὸς ἐν προτιμήσει δέδωκεν αὐτὸ ἤγουν ἐπώλησε, δύναται ὁ δεύτερος λαμβάνειν αὐτὸ προσφέρων μέντοι τὸ χρέος.“

[ς΄.] Καὶ τί. ε΄ κεφ. α΄· „Ὑπὲρ γυναικὸς ὡμολόγησα προῖκα τοῦ ἀνδρὸς ὑποθεμένου μοι ἢ ἐνεχυριάσαντος ὑπὲρ τῆς ἀποκαταστάσεως τῆς προικός. καὶ μέρος δεδωκότος μου τῆς προικὸς ὁ ἀνὴρ ὑπέθετό σοι τὰ ὑποτεθέντα μοι, καὶ οὕτως ἐπληρώθη τὴν προῖκα. προγενέστερός σου εἰμὶ, ἐπειδὴ ἠναγκαζόμην τὰ ὁμολογηθέντα πληρῶσαι. οὐ προσέχομεν γὰρ τῷ χρόνῳ τῶν καταβολῶν, ἀλλὰ τοῦ συναλλάγματος. ἕτερόν ἐστιν, ἔνθα μέλλων εἴσω προθεσμίας ἀπαριθμεῖσθαι ὑπόθωμαι πρᾶγμα,

[1] Haec sensu carent. Legerim ἥττηται παρ᾽ αὐτῆς καί. [2] Cf. tit. XXVI c. 9. [3] Male: est enim κεφ. ιζ΄. Caeterum cf. Harm. III, 5, 48, qui laudat Ῥωμ. τί. κς΄ κεφ. ιθ΄.

καὶ τὸ αὐτὸ πρὸ τῆς ἀπαριθμήσεως ὑπόθωμαι ἑτέρῳ.“ Παραγραφή[1]· „Οὐκ ἠδύνατο τοιγαροῦν ὁ ὑποσχόμενος τὴν προῖκα μὴ καταβάλλειν ταύτην, οὔτε ἄπροικον ἐᾶσαι τὴν κόρην ἅπαξ ἐπερωτηθείς. ἔχε οὖν κάλλιστον νόμιμον· ἐφ'[2] ὧν θεμάτων ὁ τὴν ὑποθήκην λαβὼν ἀνάγκην ἔχει πληρῶσαι τὸ συνάλλαγμα, ἐπὶ τούτων οὐ προσέχομεν[3] τῇ ἀπαριθμήσει, ἀλλὰ φαμὲν βέβαιον εἶναι τὸ συνάλλαγμα ἐξ ἀρχῆς ὅτε καὶ γέγονεν. ἐφ' ὧν δὲ θεμάτων ἐν γνώμῃ αὐτοῦ καὶ τοῦ συναλλάξαντος κεῖται πληρωθῆναι τὸ συνάλλαγμα ἢ τοὐναντίον, ἐπὶ τούτων τῇ ἀπαριθμήσει προσέχομεν, καὶ οὐ τῇ ἀρχῇ τοῦ συναλλάγματος. βι. ιβ'.“[4]

[ζ'.] „Πρῶτος[5] δανειστὴς τὸ χρέος ἐκαινοποίησε προσθεὶς τοῖς πρώτοις ἐνεχύροις τὰ ὑποτεθέντα τῷ δευτέρῳ δανειστῇ. μένει τὴν προγενεσίαν ἔχων ὡς εἰς τὸν αὐτοῦ τόπον ὑπεισιών,“ μέχρι[6] μέντοι τῆς ποσότητος τῆς προδανεισθείσης εἰς τὰ ὑποτεθέντα. κἂν ἔξωθεν ἐκ τῶν προστεθέντων ἐνεχύρων δύναται τὸ πρῶτον χρέος ἀποπληρωθῆναι, πλὴν εἰ μὴ ἄρα ὁ δεύτερος δανειστὴς γενικὴν ἔλαβεν ὑποθήκην· τῇ γὰρ νοβατίονι λύεται τὸ ἐνέχυρον, εἰ μὴ ἰδικῶς ἐν τῇ μεταθέσει τοῦ χρέους ῥεπετιτευθῇ. ὥσπερ καὶ ὁ δανείζων ἐπὶ καταβολῇ προτέρου δανειστοῦ οὐκ ἄλλως ὑπεισέρχεται τὸν τόπον τοῦ προτέρου δανειστοῦ περί τε τὸ ἐνέχυρον καὶ τοὺς χρόνους, εἰ μὴ τοῦτο ἰδικῶς συνδόξει, ὡς ἔγνως ἐν τῷ προλαβόντι τί. δ'.[7]

[η'.] „Ἐὰν[8] ὑπόθωμαί σοι τὰ ἐσόμενά μοι, καὶ ἑτέρῳ τὸν τοῦ πέτρου ἀγρὸν εἰ ἐμὸς γένηται, οὕτω τε κτήσωμαι αὐτὸν, οἱ δύο συντρέχετε, κἂν ἐξ ἐμῶν χρημάτων ἠγοράσθη. τὸ γὰρ ἀγοραζόμενον ἐκ τῶν ὑποκειμένων ἀργυρίων οὐχ ὑπόκειται κατὰ τοῦτο μόνον, ὅτι τὰ χρήματα ὑπέκειντο.“

[θ'.] „Μισθώσας[9] σοι πρᾶγμα ἀπὸ καλανδῶν ἰουλίων ἔλαβον εἰς ὑποθήκην ἀγρὸν, καὶ πρὸ τῶν καλανδῶν ἐξ ἑτέρου δανεισάμενος ὑπέθου τὸν ἀγρὸν τοῦτον. ἐπικρατέστερός εἰμι· καὶ γὰρ ἠναγκάζου πληρῶσαι τὴν μίσθωσιν. καὶ ὁ αἱρετικὸς γὰρ δανειστὴς προτιμᾶται τοῦ μετ' αὐτὸν ὑποθήκην λαβόντος, εἴγε μὴ ἐν τῇ ἐξουσίᾳ τοῦ χρεώστου ἦν μὴ ἐξελθεῖν τὴν αἵρεσιν.“

[ι'.] Ἐὰν μέλλων δανείζεσθαί τις ποιήσῃ γραμματεῖον

---

[1] In nostris Basilicis non extat. [2] Cf. Harm. III, 5, 44, ubi laudatur Ῥωμ. τί. κϛ' κεφ. ιγ'. [3] Cod. lacunam dimidiae lineae habet. [4] Fortasse auctor παραγραφῆς l. 30 D. XII, 1 excitare voluit. [5] Basil. XXV, 5, 3. [6] Sequentia παραγραφὴν continent ad l. l. [7] Sc. Basilicorum lib. XXV. [8] Basil. XXV, 5, 5. Cf. Harm. III, 5, 50, ubi laudatur Ῥωμ. κϛ'. κ'. Ibi tamen in fine alia quaedam adduntur. [9] Basil. XXV, 5, 7.

καὶ ὑπόθηται ἐν ταὐτῷ, δύναται πρὸ τῆς ἀπαριθμήσεως ἑτέρῳ ὑποτίθεσθαι.

[ια΄.] Ἐπὶ[1] τοῦ δανείου ἀπαρίθμησίς ἐστιν ἡ συνιστῶσα τὸ συνάλλαγμα, καὶ εἰκότως μήπω συστάντος τοῦ συναλλάγματος καλῶς ὁ χρεώστης ὑποτίθεται ἢ πιπράσκει. ἐνταῦθα δὲ μετὰ τὸ συστῆναι τὴν μίσθωσιν τεθεμάτισται ὑποθέμενος ἑτέρῳ τὸν ἀγρόν· οἶδας γὰρ ὅτι τὸ ὁρισθῆναι τὸν μισθὸν συνίστησι τὴν μίσθωσιν.

[ιβ΄.] Καὶ κεφ. η΄[2]· „Ἀλλότριον ἀγρὸν ὑπέθετό μοι γυνὴ καὶ μετ' ἐμὲ σοί, καὶ κυριεύσασα αὐτοῦ δέδωκεν αὐτὸν διατετιμημένον ἐν προικί. εἰ καὶ κατεβλήθη μοι τὸ χρέος, οὐ βεβαιοῦται ἡ ὑποθήκη σου. τότε γὰρ τοῦ πρώτου δανειστοῦ πληρουμένου βεβαιοῦται τῷ δευτέρῳ τὸ ἐνέχυρον, ὅτε εὑρεθῇ ἐν οὐσίᾳ τοῦ χρεώστου. ἐνταῦθα δὲ ἀγοραστής ἐστιν ὁ ἀνήρ, καὶ οὔτε ἐν τῷ ὑποτίθεσθαί σοι οὔτε μὴν ἐν τῷ καταβάλλεσθαί μοι ἦν τὸ πρᾶγμα ἐν τῇ οὐσίᾳ τῆς γυναικός. ταῦτα λέγομεν εἰ ἀγνοῶν ὁ ἀνὴρ ὑποκεῖσθαί σοι ἐδέξατο τὸ πρᾶγμα.“ Παραγραφή· „Τὸ αὐτὸ νόησον καὶ ἐπὶ παντὸς ἀγοραστοῦ.“

[ιγ΄.] Ὅτι ἐὰν ἐξωτικὸς νεμηθῇ τὴν ὑποθήκην ἐπὶ δεκαετίαν κυριεύει τοῦ ἀκινήτου. οὕτως οἶμαι καὶ ἐπὶ τῶν κινητῶν διὰ τριετίας.

[ιδ΄.] Ὅτι[3] ὁ λαβὼν τὸ ἴδιον χρέος ἀποκλείει τὸν προγενέστερον, διότι ἐρρᾳθύμησεν. οἱ γὰρ νόμοι τῶν ἀγρυπνούντων εἰσὶν, οὐχὶ τῶν βαρέως κοιμωμένων.

[ιε΄.] Ἀνάγνωθι βι. κε΄ τί. β΄ κεφ. β΄[4]· „Συνεφωνήθη καὶ τοὺς καρποὺς ὑποκεῖσθαι τοῦ ὑποτεθέντος ἀγροῦ. τούτους δὲ δαπανήσας ὁ καλῇ πίστει ἀγοράσας οὐκ ἀποδίδωσι τῷ δανειστῇ. ἡ μὲν γὰρ ὑποθήκη καὶ μετὰ τὴν διὰ χρονίας χρήσεως κυριότητα σώζεται. ἕτερον δὲ ἐστὶ περὶ τῶν καρπῶν. οὐδέποτε γὰρ ἐγένοντο τοῦ χρεώστου.“ Παραγραφή· „Ἡ γὰρ διὰ χρήσεως κυριότης δεσπότην μὲν αὐτὸν ποιεῖ, οὐκ ἐλευθεροῖ δὲ τὸ ἐνέχυρον.“ Ἀμφέβαλλον ἐγώ· πῶς λέγεις διὰ χρήσεως κυριεύειν καὶ ἔτι ὑποκεῖσθαι τῷ ἐνεχύρῳ; καὶ εἶπεν ὁ μάγιστρος· ὅτι ἐνταῦθα διὰ χρήσεως κυριότητα τὴν τριετίαν νόει. ἡ[5] μὲν γὰρ διὰ χρήσεως νομὴ, τουτέστιν ἡ δεκαετία, ἀνενόχλητον ποιεῖ τὸν ἀγοραστήν. ἡ δὲ διὰ χρήσεως κυριότης, τουτέστιν ἡ τρι-

---

[1] Hoc caput, ut et cap. 10, *παραγραφὴν* sapiunt ad Basil. XXV, 5, 7.
[2] Basil. XXV, 5, 7. [3] Cf. Harm. III, 5, 40. Ibi citatur *Ῥωμ. τί. κϛ΄ κεφ. ι΄.*
[4] Cap. I. [5] Cf. Harm. III, 3, 119. Laudatur ibi *Ῥωμ. τί. λη΄ κεφ. θ΄* vel *οθ΄.*

ετία, τῆς μὲν ἀπαιτήσεως τῶν καρπῶν ἐλευθεροῖ αὐτον, οὐκέτι δὲ κύριον ἀσφαλῆ τῆς ὑποθήκης καθίστησιν. χρεία γὰρ δεσπόσαι τῶν καρπῶν τοῦ μὲν πρώτου χρόνου διὰ τριετίας, τοῦ δὲ δευτέρου ὁμοίως καὶ τῶν λοιπῶν καθεξῆς, ἐάνπερ σώζωνται. ἐὰν δὲ δαπανηθῶσιν, οὐκ ἔχουσιν ἀπαίτησιν.

[ις΄.] Ὅτι ἐὰν γράψω οὕτως· ὑποτίθημί σοι γενικῶς πᾶσαν τὴν οὐσίαν μου, ὑπεξαιρεῖται τότε, „ὅσα πιθανόν ἐστιν ἰδικῶς μὴ ὑποτίθεσθαι τὸν χρεώστην, οἷον ἡ οἰκοσκευὴ καὶ ἡ ἐσθὴς καὶ τὰ πρὸς χρῆσιν ἀναγκαῖα ἀνδράποδα,“ οἷον ὁ μάγειρος[1] καὶ ἕτερός τις πρὸς χρείαν ἀναγκαίαν πάνυ ἐπιτήδειος, „καὶ τὰ πρὸς διάθεσιν φερόμενα,“ οἷον νοτάριος, φροντιστὴς μειζότερος, „καὶ τὰ πρὸς καθημερινὴν χρῆσιν, καὶ ἡ παλλακὴ καὶ οἱ φυσικοὶ παῖδες καὶ οἱ θρεπτοί.“ ἀνάγνωθι βι. κέ τί. β΄ κεφ. ς΄[2]· Οὕτω τοῦ νόμου φράζοντος ἠρώτησα· καὶ πῶς, ὅτε καταδικάζεταί τις ἀπὸ χρέους, οὐχ ὑπεξαιροῦνται ἃ ὁ νόμος διέξεισι; καὶ ὁ μάγιστρος· ὅτι μὴ θεματίσῃς τὸν χρεώστην ἄπορον, ἢ τοσαύτην κεκτημένον[3] περιουσίαν, ὅσον ἐστὶ τὸ χρέος· ἀλλ᾽ εὔπορον τοῦτον θὲς, τὸν δὲ δανειστὴν λέγοντα· ἐπεὶ ὑποτεθειμένην ἔχω πᾶσαν τὴν οὐσίαν σου, καὶ χρυσίον οὐ παρέχεις μοι, δίδωσι δέ μοι νόμος ἐπιλογὴν λαμβάνειν ἃ βούλομαι τῶν πραγμάτων σου, θέλω λαβεῖν τὴν οἰκοσκευὴν καὶ τὸν μάγειρον ἢ τὸν νοτάριον. διὰ τοῦτο οὖν διαστέλλων ὁ νόμος λέγει, ὅτι ὅτε ὑποτίθησιν ἄνθρωπος γενικῶς πᾶσαν τὴν οὐσίαν αὐτοῦ, εὔπορος ὢν καὶ μικρὰ δανειζόμενος, οὐ δοκεῖ ἐνθυμεῖσθαι, ἵνα δῷ εἰς ὑποθήκην τὰ ἀναγκαῖα καὶ πρὸς χρῆσιν αὐτῷ ἐπιτήδεια, ἀλλ᾽ ἃ ῥητῶς συμφωνεῖ καὶ τίθησιν [εἰς] ὑποθήκην. καὶ οὐ δύναται ὁ δανειστὴς, ἔχων λαβεῖν ἑτέρωθεν τὸ ἱκανὸν τοῦ χρέους, ἀναγκάζειν τὸν χρεώστην δοῦναι πρὸς αὐτὸν ἃ εἰς διάθεσιν ἔχει ἢ εἰς ὑπουργίαν ἀναγκαιοτάτην. καὶ οὕτως ἔλυσε τὸ ζήτημα ὁ πάνσοφος μάγιστρος, ἀποδοξάμενος καὶ ἐμὲ τῆς ἐρωτήσεως, παραγγείλας[4] προσέχειν καὶ, ὅτε διάφοροι νόμοι περὶ τοῦ αὐτοῦ λέγουσι πράγματος καὶ τυποῦσι πῶς ὀφείλει κρίνεσθαι, μὴ, εἴπερ ἕτερόν τι ἓν νόμιμον[5] εὑρεθῇ ἴσως ἐναντιόφανον, αὐτῷ μόνῳ προσέχειν, ἀλλὰ κατὰ τὴν τῶν πολλῶν νόμων ἔννοιαν ἑρμηνεύειν καὶ τὴν τοῦ ἑνός.

[ιζ΄.] Καὶ κεφ. ζ΄[6]· „Ἐὰν δυσὶν ἅμα τὸ αὐτὸ ὑπόθωμαι, εἰ μὲν ἑκάστῳ εἰς ὁλόκληρον, κατὰ μὲν ἐξωτικῶν ἕκαστος εἰς

[1] Cod. *μάγιστρος* videbatur habere. [2] Et c. 7. 8. [3] Cod. *κεχρεωστημένον.* [4] Harm. I, 1, 31. [5] Cod. *νομικόν.* [6] Apud Heimb. est c. 10.

ὁλόκληρον κινεῖ τὴν ἐπὶ τῇ ὑποθήκῃ ἀγωγὴν, κατὰ δὲ ἀλλήλων οὐκ ἔχουσιν. κρεῖττον γάρ ἐστιν ὁ νεμόμενος. εἰ δὲ ἀνὰ μέρος ὑπεθέμην αὐτοῖς, καὶ αὐτοῖς καὶ τοῖς ἔξω ἀνὰ μέρος ἐνάγουσιν."

[ιη'.] Καὶ κεφ. ις'· „Ἐὰν δύο τισὶν ὑποτεθῇ πρᾶγμα, πρὸς ἀναλογίαν τοῦ χρέους κινοῦσι· καθ' ἑτέρου δὲ εἰς ὁλόκληρον ἕκαστος, ἐὰν μέντοι κατὰ τὴν αὐτὴν ἡμέραν ὑποτεθῇ ἰδιαζόντως. εἰ γὰρ ἅμα τῷδε καὶ τῷδε, ἑκάτερος εἰς ὁλόκληρον κινεῖ, εἴγε τοῦτο συνέδοξεν· εἰ δὲ μὴ, ἀνὰ μέρος κινοῦσι." Σημ. οὖν καὶ πάνυ ζητούμενον νόμιμον· ὅτι τὸ ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ γινόμενον οὐ τίκτει τινὶ τῶν συναλλασσόντων προτίμησιν. ἀλλ' ἐὰν σοὶ μὲν λόγου χάριν περὶ πρώτην ὥραν ὑπόθωμαι πρᾶγμα, ἑτέρῳ δὲ τὸ αὐτὸ περὶ δεκάτην, οὐκ ἔχει προτίμησιν ὁ περὶ τὴν πρώτην ὥραν εἰς ἐνέχυρον τοῦτο λαβὼν, ἀλλ' ὅμοιός ἐστι τῷ περὶ τὴν δεκάτην εἰληφότι. καὶ λοιπὸν τοῦ προλαμβάνοντος καὶ πρώτου τὸ πρᾶγμα λαμβάνοντος κρεῖττον ἔσται ἡ αἵρεσις.

[ιθ'.] Καὶ κεφ. κδ'[1]· „Ἐὰν ὑπεξούσιός μου υἱὸς γράψῃ ἐξ ὀνόματός μου γραμματεῖον, ἐμοῦ προτρεψαμένου τούτῳ τυχὸν διὰ τὸ μὴ δύνασθαί με γράψαι, ἔχω[2] δὲ εἰς ὑποθήκην οἶκον αὐτοῦ, βεβαιοῖ τὴν ὑποθήκην, κἂν μὴ ῥητῶς συνήνεσε." Σημ. οὖν πότε τὶς ἕτερόν τι νομίζων ποιεῖν ἕτερον καθ' ἑαυτοῦ ἀνίστησι. κἂν γὰρ μηδὲν περὶ τῆς ὑποθήκης προσθῇ, οὐκ ἔχει παραγραφὴν, ἀλλ' ὑπόκειται καθαρῶς ὁ οἶκος αὐτοῦ τῷ πατρί.

[κ'.] Ὅτι ὑποτιθέασί τινες τὰ ἑαυτῶν ἢ γενικῶς ἢ ἰδικῶς. ἰδικῶς μὲν, ὅταν ὀνομαστί τι ὑποβληθῇ τῇ ἐνοχῇ· γενικῶς δὲ, ὅταν περιληπτικῶς καὶ περιεκτικῶς. φησὶ γὰρ ὁ νόμος[3]· „ἐὰν οὕτω τὶς εἴποι· τῇ πίστει καὶ τῷ κινδύνῳ τῶν ἐμῶν πραγμάτων τὸ ἱκανόν σοι γενήσεται ἐκ τῶν ἐμῶν, γενικὴν ὑποθήκην ποιεῖ, καὶ οὐχ ὡς πάλαι ἰδικήν. δεῖ γὰρ τῇ ἐννοίᾳ ἐξακολουθῆσαι, οὐ μὴν τοῖς ῥήμασιν. εἰ δὲ εἴποι ὁ χρεώστης· τὰ πράγματά μου ὑποτίθημι, καὶ οὕτω γενικὴ ὑποθήκη ἐστὶ, καὶ περιέχει καὶ τὰ μέλλοντα."

[κα'.] Ἀνάγνωθι βι. κε' τί. β' κεφ. κγ'[4]· „Ἐὰν ὑποτεθῇ ἀγρὸς μετὰ τῶν ἐν αὐτῷ δούλων, κἀκείνων ἀποθανόντων ἀντεισαχθῶσιν ἕτεροι, οὐχ ὑπόκεινται ὡς μήπω ὑποτεθέντες μήτε τεχθέντες ἐκ τῶν ὑποτεθεισῶν δουλῶν." Σημ. οὖν ὅτι χρεία ἐστὶν εἰς τὴν ὑποθήκην τοῦ ἀγροῦ τοῦ ἔχοντος δούλους γράφε-

---

[1] Apud Heimb. est c. 26. [2] Sic Codex. Basil.: ἔχον, sc. γραμματεῖον.
[3] Basil. XXV, 5, 28. [4] Apud Heimb. est c. 26.

σθαι ῥητῶς, ὅτι ὑποτίθημι καὶ τοὺς δούλους, καὶ ὅτι τὰ τικτόμενα ὑπὸ τῶν ὑποτεθεισῶν δουλῶν ὑπόκεινται τῷ δανειστῇ μόνον εἰ μένουσιν αἱ θεράπαιναι ὑπὸ τὴν δεσποτείαν τοῦ χρεώστου. ἕτερόν ἐστιν ἐπὶ τῶν καρπῶν. οὗτοι γὰρ οὐκ εἰσὶν εἰς ἐνέχυρον, κἂν ὁ ἀγρὸς ὑπετέθη καὶ ἔμεινεν ὑπὸ τὴν δεσποτείαν τοῦ χρεώστου, πλὴν εἰ μὴ ἰδικῶς ὑποτεθῶσιν.

[κβʹ.] Καὶ κεφ. κϛʹ[1]· „Ὑπόκειται τὸ ἐκ τῶν ὑποκειμένων δουλίδων τικτόμενον, εἰ μὴ παρ᾽ ἑτέρῳ δεσπότῃ ἐτέχθησαν.“ τοῦτο μὴ ἁπλῶς νοήσῃς. ἔνθα γὰρ καὶ χρεώστης μετὰ τὴν ὑποθήκην ἐπώλησε τὴν θεράπαιναν καὶ τέτοκεν αὕτη παρὰ τῷ ἀγοραστῇ, οὐχ ὑπόκειται ὁ τοκετός.

[κγʹ.] „Ἐὰν[2] ὁ οἶκος ὑποτεθεὶς καυθῇ, καί τις ἀγοράσας τὸ ἔδαφος κτίσει, καὶ τὸ κτισθὲν ὑπόκειται. ὁ δὲ καλῇ πίστει νομεὺς οὐκ ἀποκαθίστησιν, εἰ μὴ λάβοι τὰς δαπάνας, εἰς ὅσον γέγονε τὸ πρᾶγμα τιμιώτερον.“ Ὅτι οὐ πάντως πάντα λαμβάνει τὰ δαπανηθέντα, ἀλλ᾽ εἰς ὅσον προστεθῇ τῇ ἀξίᾳ τοῦ ἐδάφους ὑπὸ τοῦ κτισθῆναι τὸν οἶκον.

[κδʹ.] Ἀνάγνωθι τοῦ αὐτοῦ βι. καὶ [τί.] κεφ. λζʹ[3]· „Ἐάν τις δανειστὴς γενικὴν ὑποθήκην λαβὼν ἔλαβε καὶ ἰδικήν, εἶτα μετ᾽ αὐτὸν καὶ ἄλλος δανειστὴς τὰ αὐτὰ ἔλαβεν ἐνέχυρα, ἰστέον, ὅτι ὁ πρῶτος δανειστὴς ἐκ τῆς ἰδικῆς ὑποθήκης τὸ ἱκανὸν παθεῖν δυνάμενος οὐχ ἕξει μετουσίαν εἰς τὴν γενικήν.“

[κεʹ.] Καὶ κεφ. μδʹ· „Ἡ[4] χρονία νομὴ οὐκ ἀναιρεῖ τὸ ἐνέχυρον.“

[κϛʹ.] Δανειστὴς[5] οὐ λήψεται ἐνέχυρον ἐκ τῆς οὐσίας τοῦ χρεώστου ἄνευ ἐπιτροπῆς ἄρχοντος.

[κζʹ.] „Ἐὰν[6] πωλοῦντος τοῦ χρεώστου τὸ ἐνέχυρον συναινέσει ὁ δανειστής, εἶτα πάλιν οἱῳδήποτε τρόπῳ περιέλθῃ εἰς τὸν χρεώστην τὸ πρᾶγμα, οὐχ ὑπόκειται ἅπαξ ἀποταξαμένου αὐτοῦ, κἂν γενική ἐστιν ὑποθήκη.“

[κηʹ.] Καὶ τί. δʹ κεφ. ηʹ[7]· „Ἐὰν δύο τισὶ κεχωρισμένως ὑπόθωμαι, καὶ μετὰ ταῦτα πωλήσω αὐτοῖς αὐτό, δοκοῦσιν ἀμοιβαδὸν συναινεῖν καὶ τῇ κτήσει τῆς δεσποτείας ἐκπίπτουσι τῆς περὶ τῶν ὑποθηκῶν ἀγωγῆς. Ὑποθεμένου[8] τοῦ χρεώστου καὶ

---

[1] Apud Heimb. c. 29. [2] Basil. XXVI, 5, 29 th. 3. Cf. Harm. III, 5, 29. [3] Apud Heimb. c. 39. [4] Cf. Harm. III, 5, 33. [5] Cod. *δανειστὴς οὐ κεῖται εἰς τὰ βασιλικὰ οὐ λήψ.* Nempe illa: *οὐ κεῖται εἰς τὰ βασιλικὰ* ex margine in textum irrepserunt. [6] Basil. XXV, 3, 21. [7] Basil. XXV, 8, 9. Itaque legendum *τί. ηʹ.* [8] Cod. *ὑπέρτιθεμ.*

λέγοντος ἐν τῷ γραμματείῳ μὴ ὑποτίθεσθαι ἑτέρῳ, ἐὰν ὁ πρῶτος ὑπογράψῃ δανειστὴς, ἐκπίπτει τοῦ ἐνεχύρου."

[κθ'.] Καὶ κεφ. ιδ'[1]· „Ἐὰν κληρονομήσω πρώτου καὶ δευτέρου δανειστοῦ ὑποθήκην ἐχόντων, καὶ ὁ χρεώστης θέλει καταβαλεῖν τὰ τῷ δευτέρῳ χρεωστούμενα, λαβεῖν ἀναγκάζομαι, φυλαττομένων τῶν ὑποθηκῶν τοῦ πρώτου συναλλάγματος."

[λ'.] „Ἡ[2] διάταξις κελεύει τὴν ὑποθηκαρίαν ἀγωγὴν μὴ μόνον σβέννυσθαι δέκα ἢ εἴκοσιν ἐνιαυτοῖς, ἐὰν ἐξωτικὸς νέμηται τὴν ὑποθήκην, ἀλλὰ κἂν αὐτὸς ὁ χρεώστης νέμηται, σβέννυται τεσσαράκοντα ἐνιαυτοῖς." Οὕτως ἡρμήνευσε τὸν νόμον τοῦτον ὁ μάγιστρος, ὅτι τῷ μὲν μετὰ πίστεως ἀγαθῆς ἠγορακότι καὶ δωρεὰν εἰληφότι ἢ τρόπον ἄλλον συναλλάξαντι καὶ διὰ τῶν δέκα ἐνιαυτῶν ἢ τῶν εἴκοσι δεσπόσαντι τῶν ἑτέροις ὑποκειμένων ἢ προσηκόντων οὐ μόνον παραγραφὴ δίδοται ἰσχυρὰ νεμομένῳ, ἀλλὰ καὶ ἀγωγὴ τῆς νομῆς ἐκπεσόντι. ὁ δὲ κακῇ πίστει πράγματος ἐπιλαβόμενος ἐξ ἀρχῆς, ἀνάξιος τῆς τοιαύτης κρίνεται βοηθείας.

[λα'.] Καὶ κεφ. θ'[3]· „Ἀπὸ ἐννόμου ψήφου λαβὼν ἐνέχυρον εἰς τὴν καταδίκην, προτιμᾶται τῶν ἐχόντων προνόμιον." Παραγραφή· Προτιμᾶται παρὰ τῶν ἐχόντων προνόμιον καὶ αὐτὸς ὁ τὸ ἐνέχυρον λαβὼν καὶ ὁ κληρονόμος.

ΤΙΤΛΟΣ ζ'.

Περὶ διαλύσεως.

[α'.] Ὁ[4] διαλυσάμενος τὸ ἰσχυρὸν αὐτόθεν ἔχει. εἰ οὖν διαλύσεταί τις καὶ γράψει, ὅτι ἐπείπερ ἔχομεν ἀμφιβολίαν, διαλύομαι σήμερον καὶ ὁμολογῶ σοι χρεωστεῖν νομίσματα ἑκατὸν, καὶ γένηται διάλυσις· εἶτα μετὰ χρόνον γένηται καὶ ἑτέρα διάλυσις διεξιοῦσα ὁμοίως καὶ ὅτι οὐδὲ τὰ ἑκατὸν νομίσματα χρεωστῶ σοι· ἡ δευτέρα διάλυσις ἀντ' οὐδενὸς τῷ νόμῳ λελόγισται, ἀλλ' ἀνατρέπεται ἐρχομένη πρὸς δικαστήριον. καὶ εἰς τὴν τοιαύτην ὑπόθεσιν ἐστὶ σημείωσις τοῦ πατρικίου καὶ τῶν πολιτικῶν δικαστῶν ἔχουσα λογισμοὺς, ὅτι μετὰ ψῆφον ἐῤῥωμένην οὐκ ἰσχυρῶς τις διαλύεται, καὶ ὅτι ἡ διάλυσις εἰ ἀμφι-

---

[1] Basil. l. l. c. 15. [2] Basil. L, 14, 8. [3] Basil. XXV, 5, 8. [4] Cf. Harm. I, 10, 4. Ibi citatur τί. ς' κεφ. ς'. — Cf. etiam infra c. 17.

βαλλομένου πράγματός ἐστι τομὴ καὶ μεῖζόν ἐστι ψήφου, πῶς δύναται διαλύσασθαί τις μετὰ ψῆφον[1] ἐῤῥωμένην καὶ βεβαίαν; ἀλλὰ καὶ ὁ Θαλέλαιος[2] ἑρμηνεύων καὶ διηγούμενος τὸ τοιοῦτον λέγει· „Σημ. θαυμάσιον νόμιμον καὶ μὴ θαυμάσῃς. τούτῳ γὰρ καὶ αὐτὸς χρησάμενος ἐν δικαστηρίῳ μεγάλως ηὐδοκίμησα."[3]

[β'.] Ὅτι ὅτε κατὰ βίαν γένηται διάλυσις, καὶ ὀμώσει ὁ διαλυσάμενος βίᾳ διαλύσασθαι, καὶ ἀνατραπῇ ἡ διάλυσις, οὐκ ἀπαιτεῖται τὸ πρόστιμον.

[γ'.] Ὅτι[4] γυνὴ ἐγκαλέσασα κατὰ τοῦ ἀνδρὸς ὡς κακῶς[5] ἐκποιησαμένου τὰ προικιμαῖα καὶ κατασπαταλήσαντος τὴν προῖκα, καὶ δικαιωθεῖσα καὶ ἀποκαταστᾶσα κατὰ τοῦ ἀνδρὸς, δίκην ἐκίνησε κατὰ τῶν συναλλαξάντων τῷ ἀνδρὶ, καὶ τέλος διελύσατο λαβοῦσα νομίσματα καίπερ περιόντος τοῦ ἀνδρός. ταύτην τὴν διάλυσιν ἐκύρωσεν ὁ πατρίκιος δι' ὑπομνήματος. καὶ γὰρ ἔλεγε, μὴ δύνασθαι μὲν τὴν γυναῖκα ἐκποιεῖσθαι τὰ παραδοθέντα αὐτῇ ὡς ἐξ αὐτῶν μελλούσῃ τρέφειν τὸν ἄνδρα καὶ τοὺς παῖδας, ἔχειν δὲ ἐξουσίαν διαλύεσθαι ἐπὶ δίκῃ. ἀμφιβόλου γὰρ ὄντος τοῦ πράγματος ἡ διάλυσις προβαίνει· καὶ ὑπὲρ ἑαυτῆς τοῦτο ποιεῖ, πολλάκις γὰρ ἐξ ἀποτελέσματος ἡττωμένη ἐν τῇ δίκῃ ἡ γυνὴ ζημίαν ἑαυτῇ προξενεῖ.

[δ'.] Ὅτι[6] μετὰ ψῆφον ἐῤῥωμένην οὐκ ἰσχυρῶς τις διαλύεται. ψῆφον ἐῤῥωμένην τὴν ἐν ἐκκλήτῳ δοκιμασθεῖσάν φησιν ἢ τὴν μὴ ἐγκλητευομένην διὰ τὸ παρελθεῖν τὸν χρόνον τῆς ἐκκλήτου ἤτοι τὴν διετίαν.

[ε'.] Ὅτι[7] ἐντὸς διετίας ὀφείλει δίδοσθαι ἡ ἔκκλητος καὶ ἐντὸς ταύτης περαιοῦσθαι.

[ϛ'.] Ὅτι ὁ δρουγγάριος μετὰ τοῦ βασιλέως εὑρόντες[8] διάλυσιν γεγενημένην, ἐν ᾗ ἐφέρετο δικαιώματα δοθῆναι παρὰ τοῦ ἑνὸς μέρους πρὸς τὸ ἕτερον, ταῦτα δὲ τὰ δικαιώματα ἐπιζητούμενος ὡμολόγησε κατακαυθῆναι, κατεδίκασε τὸν καύσαντα καὶ λαβόντα τὴν διάλυσιν. τοῦτο δὴ γέγονεν ἐπὶ τοῦ εὐρετοῦ διαλυσαμένου μετὰ τοῦ μητροπολίτου ἀγκύρας. δικαιωθεὶς γὰρ ὁ εὐρετὸς ἐπί τινι λειβαδιαίᾳ γῇ, ὥστε μετὰ θάνατον τοῦ κεκτημένου ταύτην λαβεῖν, τοῦ δὲ ἔχοντος τὴν δεσποτείαν ἄχρι ζωῆς αὐτοῦ μετενεγκόντος τὸ λειβάδιον πρὸς τὴν μητρό-

---

[1] Sic et Harmenop. Sed omnino emendandum: διάλυσιν. [2] Cf. Basil. Heimb. I. p. 706. Quae ibi τοῦ ῥωμαίου esse dicuntur, fortasse Thalelaei verba sunt. [3] Cod. videbatur habere: μεγαρ.. δυοκήμησα. [4] Cf. tit. XXIV c. 15. — Et infra h. t. c. 19. [5] Cod. κατ. [6] Cf. schol. ad Harm. I, 10, 4. ed. Heimb. p. 132. [7] Cf. tit. LXXV c. 1. [8] Forte εὑρών τινα.

πολιν, ὁ εὑρετὸς ἠνώχλει τὸν μητροπολίτην μετὰ τὸ τελευτῆσαι τὸν ἔχοντα τὸ λειβάδιον ἐφ᾽ ᾧ αὐτὸς ἐδικαιώθη, καὶ τέλος συνῆλθον εἰς συμβιβάσεις, καὶ δέδωκεν ὁ εὑρετὸς πρὸς τὸν μητροπολίτην τὸ δικαιοῦν αὐτὸν ὑπόμνημα, ὁ δὲ μητροπολίτης κατέκαυσε τοῦτο, ἵνα μὴ φαίνηται τὸ δίκαιον, ὅπερ εἶχεν ὁ εὑρετὸς ἐπὶ τῷ λειβαδίῳ. καὶ τῆς δίκης κινηθείσης κατεδικάσθη[1] ὁ μητροπολίτης διὰ τρεῖς αἰτίας· ὅτι μετὰ ψῆφον ἐῤῥωμένην διελύσατο, τουτέστι μετὰ τὸ μεῖναι ἀνέγκλητον τὸ ὑπόμνημα· καὶ ὅτι λαμβάνων δίκας μετὰ τοῦ εὑρετοῦ πρὸς τὴν διάλυσιν ἀπεῖδε καὶ δικαιούμενος ἐκ τοῦ ὑπομνήματος ὁ εὑρετὸς οὐκ ἀποκατέστη παρὰ τοῦ δικαστοῦ τῷ λειβαδίῳ αὐτοῦ καὶ τότε ἐποίησε τὴν διάλυσιν, ἀλλ᾽ ἔτι τοῦ λειβαδίου κρατουμένου παρὰ τοῦ μητροπολίτου προέβη ἡ διάλυσις καὶ ὡς βίαν παθὼν καὶ τότε· καὶ ὅτι τὰ δικαιοῦντα αὐτὸν δικαιώματα κατεκαύθησαν, ὅπερ δόλος ἦν σαφὴς τοῦ ἀντιδίκου.

[ζ΄.] Ὅτι[2] τὸ διαλύσασθαι γυναῖκα μετὰ τοῦ ἀνδρὸς, καὶ εἰπεῖν ὅτι ἐμοίχευσα[3] καὶ διὰ τοῦτο διαζεύγνυμαι, οὐ δεκτόν ἐστι τῷ νόμῳ.

[η΄.] Ὅτι γυνὴ ἐποιήσατο διάλυσιν μετὰ τοῦ ἀνδρὸς, ὅτι ἐμοιχεύθη καὶ διεζεύχθη αὐτῆς. εἶτα ἔθανεν ὁ ἀνὴρ καὶ ὁ παῖς τῆς γυναικός. καὶ ἐκωλύετο ὡς ὁμολογήσασα μοιχευθῆναι κληρονομῆσαι τοῦ παιδός. καὶ ἔκρινεν ὁ δικαστὴς, μὴ κωλύεσθαι αὐτὴν ὡς μὴ ἰσχυροῦ ὄντος τοῦ πρὸς τὸν ἄνδρα συμφώνου τῆς διαλύσεως, καὶ ὡς ἀπὸ τοῦ νόμου καὶ ἀληθῶς μοιχευθείσης κληρονομούσης τὸν παῖδα. cf. XXV, 30.

[θ΄.] Ὅτι ἐὰν διάλυσις περὶ πολλῶν κεφαλαίων προβῇ, καὶ εὑρίσκεται ἓν κεφάλαιον ἀπὸ πλαστῶν δικαιωμάτων τὴν διάλυσιν δεξάμενον, ἐκεῖνο μὲν ἀτονεῖ, τὰ δὲ λοιπὰ τῆς διαλύσεως ἰσχύουσιν.

[ι΄.] Ὅτι διελύσατό τις ἀγράφως ἐπὶ μαρτύρων, εἶτα μετεμελήθη, καὶ ὁ δικαστὴς ἔκρινε, μὴ δύνασθαι αὐτὸν ἀνατρέψαι τὴν διάλυσιν, εἰπὼν ὅτι γε εἰ καὶ μηδὲν τῶν ὑπεσχημένων ἐδόθη, οὐκ ἠδύνατο τὴν διάλυσιν ἀνατρέψαι, διότι μηδὲ ὁ νόμος τοῦτο βούλεται. φησὶ γάρ[4]· „εἰ μετὰ ἐλευθέρων

---

[1] A Magistro, non a Drungario hanc sententiam profectam esse, scholium Harmenopuli paulo ante citatum perhibet. Sed fortasse idem est ὁ δρουγγάριος, qui alias ὁ μάγιστρος. Cf. tit. XV c. 14. tit. XXIII c. 7. tit. XXV c. 69. XLI c. 9.
[2] Cf. Harm. I, 10, 9. [3] Harm.: ἐμοιχεύθη. [4] Basil. XI, 2, 53. Cf. Harm. I, 10, 7.

διαλύσεταί τις ἐν τῷ εἶναι μείζων τῶν κέ ἐνιαυτῶν ἐπὶ τῷ τινὰ λαβεῖν παρ᾽ αὐτῶν, εἰ καὶ τὰ μάλιστα μήπω δεδώκασιν οἱ διαλυσάμενοι τὰ ἐπαγγελθέντα, ἀλλ᾽ οὐδὲ νῦν ἐναγόμενοι προσφέρουσιν αὐτῷ ταῦτα, ὅμως καλῶς κέχρηνται τῇ τοῦ συμφώνου παραγραφῇ τῇ ἀπὸ τῆς διαλύσεως αὐτοῖς ἁρμοσάσῃ."

[ια΄.] Ὅτι ἐν ταῖς διαλύσεσι τὰ ἰδικὰ ῥήματα περιέχονται τοῖς γενικοῖς, οἷον διαλύομαι περὶ τοῦδε καὶ τοῦδε καὶ περὶ ἄλλου παντὸς πράγματος. τότε οὖν περὶ μόνων τῶν ῥητῶς λεχθέντων κρατεῖ ἡ διάλυσις, καὶ περὶ τούτων κινῶν ὁ διαλυσάμενος ἐκβάλλεται, καὶ οὐδὲ δύναται τὸν κινοῦντα περὶ ἑτέρων τῶν μὴ ἐκφερομένων ῥητῶς τῇ διαλύσει ἀπείργειν ὁ διαλυσάμενος ἐκ τοῦ ῥήματος τοῦ λέγοντος „περὶ παντὸς πράγματος". ὡς γὰρ εἴρηται ἐν ταῖς διαλύσεσι τὰ ἰδικὰ τοῖς γενικοῖς περιέχονται.

[ιβ΄.] Ὅτι ἐκλαβόμενός τις παρά τινος κτήματα ἐπὶ π...[1] ἐκίνησε δίκην ὡς ἐζημιώθη ὑπὲρ τὸ συμπεφωνημένον ... ἔλαβεν οὖν τὰ κτήματα ὁ ζημιωθεὶς εἰς εὐλύτωσιν τῆς ζημίας. ἐλθὼν δὲ ὁ συμβατίκιος ὁ κριτὴς ἐκράτησε τὸν ἄνθρωπον, καὶ διελύσατο[2] ἀναλαβόμενος μὲν αὐτὸς τὰ κτήματα, δοὺς δὲ πρὸς αὐτὸν χρυσίον ὑπὲρ ἐκείνων τῶν ἀνθρώπων, ὑπὲρ ὧν ἔλεγε καινοτομηθῆναι. εἶτα ὕστερον πάλιν κινοῦντος τὴν δίκην τοῦ διαλυσαμένου καὶ ζητοῦντος ἃ ἐκαινοτόμηντο, ἔκρινεν ὁ μάγιστρος, καὶ ἀνέλυσε τὴν διάλυσιν, λέγων, ὅτι τὸ διαλυσάμενον πρόσωπον τῶν πενήτων ἦν, ὁ δὲ λαβὼν τὴν διάλυσιν τῶν ἀξιωματικῶν. καὶ ὅτι εἰ καὶ πρὸς αὐτὸν κρατήσει ἡ διάλυσις, ἀλλ᾽ οὖν πρὸς τοὺς ὑπὲρ ὧν ἔλαβε τὴν διάλυσιν ὁ συμβατίκιος[3] οὐ κρατεῖ, ἤγουν τοὺς ἐκδεδωκότας τὰ κτήματα ὑπὲρ ὧν ὁ ἐνάγων ἐζημιώθη. καὶ προέφερε νόμον τὸν λέγοντα, ὅτι[4] „δι᾽ ἐλευθέρου προσώπου ἀγωγή τινι οὐ προσπορίζεται." ἐλεύθερος ἦν καθ᾽ ὃν ἐκινεῖτο ἡ ἐνοχὴ, ἐλεύθερος ὁ λαβὼν τὴν διάλυσιν, καὶ οὐ προσπορισθήσεται διὰ τούτου τούτοις ἡ ἀγωγὴ, ἵνα ἐκ τῆς διαλύσεως τοῦ συμβατικίου ὠφεληθῶσιν αὐτοί· ἀλλ᾽ ἐκεῖνος μὲν ἃ δέδωκεν ἀνελάβετο ὑπὲρ τῆς διαλύσεως, τῷ δὲ ἐνάγοντι ἐχαρίσθη κατὰ τῶν ἐκδεδωκότων ἀγωγή.

[ιγ΄.] Ὅτι ἀγράφως τὶς διελύσατο, εἶτα ἐκίνει κατὰ τοῦ διαλυσαμένου καὶ ἐναγόμενος ἔλεγε περὶ πάσης ὑποθέσεως[5] διαλύσασθαι γενικῶς· καὶ ὁ ἐνάγων, δεδιὼς μὴ ἐπιθυμῶν διασεῖσαι τὴν διάλυ-

---

[1] Forte: πατρικίου. [2] Cod. hic et saepius ἐδιελύσατο. [3] Cod. σαμβ.
[4] In Basilicis nostris haec verba legis non invenio. [5] Cod. ἐπιθ.

σιν ἀποφράζει καὶ τὴν περὶ ὧν διελύσατο ἀγωγὴν, μετεβάλετο, καὶ ἔλεγε περὶ μόνης ῥητῆς ὑποθέσεως διαλύσασθαι· καὶ αὐτὸν τοῦτο συστῆσαι διὰ μαρτύρων ἐδέχθη. καὶ ἐσημειώσατο ὁ μάγιστρος οὕτως· οὕτω τῆς ἀληθείας διαγνωσθείσης ἐξ αὐτῆς τῆς ὑπὸ τοῦ ἐνάγοντος παραχθείσης μαρτυρίας, καὶ τοῦ ἐναγομένου τὰ ὑπὸ τοῦ ἀντιδίκου καθομολογηθέντα καὶ μάρτυσι βεβαιωθέντα εἰς διάλυσιν ἐνεχθῆναι προσικαμένου[1] καὶ ὑπομνήματι αἰτησαμένου περιληφθῆναι, ἐδέχθη μὲν καὶ ἐκυρώθη ἡ παρ' ἀμφοτέρων τῶν μερῶν ὁμολογηθεῖσα διάλυσις, κἂν ἀγράφως γέγονε. πρὸς γὰρ τὸν οὕτω διαλυσάμενον ὁ νόμος[2] φησίν· „εἰ καὶ τὰ μάλιστα ὡς ὑποτίθῃς, οὐδὲ ἓν συμβόλαιον παρενετέθη ἐπὶ τῇ διαλύσει, ὅμως εἴπερ ἡ πίστις τοῦ συναλλάγματος ἐκ τῆς σῆς ὁμολογίας συνᾴδει, τουτέστιν ἐπειδὴ σὺ αὐτὸς ὁμολογεῖς, τὴν ἄγραφον πεποιηκέναι διάλυσιν, ἡ γραφὴ, ἥτις τὴν ἀπόδειξιν τοῦ πεπραγμένου πράγματος εἴωθε περιέχειν, χρειώδης οὐκ ἐστίν."

[ιδ'.] Ὅτι[3] μετὰ προστίμου καὶ χωρὶς τούτου διὰ συμφώνου μόνου γίνεται διάλυσις.

[ιε'.] Ὅτι δίκας ἔχοντές τινες πρὸς ἀλλήλους παρὰ τῷ ἐξαμυλίτῃ[4] ἐκρίθησαν καὶ ἡσύχασαν. εἶτα ὁ μυστογράφος ἀνέτρεψε τὴν τοῦ ἐξαμυλίτου σημείωσιν καὶ κατεδίκασε τὸν ἕνα ἐξ ὧν ἔλεγεν ἀντιστρ....[5] πρὸς τὸν ἕτερον. προσῆλθεν οὗτος βασιλεῖ κατὰ τῆς σημειώσεως τοῦ μυστογράφου καὶ προσέταξεν ὁ βασιλεὺς ἀντεξετασθῆναι τὰ τοῦ μυστογράφου πρὸς τὴν τοῦ ἐξαμυλίτου σημείωσιν. τὰ δὲ μέρη τῆς δοκιμασίας προβαινούσης διελύσαντο ἐπὶ τῷ κρατεῖν καὶ δεσπόζειν κατὰ τὴν σημείωσιν τοῦ ἐξαμυλίτου. καὶ τὴν τοιαύτην διάλυσιν ἐδέξατο ὁ μάγιστρος· καὶ οὕτως ἐδέχθη τὰ τῆς συμβιβάσεως ἔγγραφα, οἷα καὶ ψήφου δικαστικῆς ὄντα μείζονα. „ὅρκος" γάρ, φησιν[6], „ἔοικε διαλύσει καὶ μείζων ἐστὶ ψήφου." εἰ δὲ τὸ διαλύσει ἐοικὸς μεῖζόν ἐστι ψήφου καὶ ὑπεραίρει ψῆφον, πολλῷ μᾶλλον αὐτὴ ἡ διάλυσις ὑπερκειμένη ἂν εἴη ψήφου. καὶ νόμος ἕτερος[7]· „τὰς ὑποθέσεις αὐτὰς ἤτοι τὰς δίκας τὰς διαλύσεσι νομίμοις περαιωθείσας μηδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἀνατρέπεσθαι χρή." καὶ πάλιν[8]· „τῶν ἐπαγγελθέντων

[1] Cod. προσηκ. [2] Basil. XI, 2, 22. [3] Cf. Harm. I, 10, 5. Ibi laudatur Ῥωμ. τί. ς' κεφ. ζ'. [4] Cod. hic et infra promiscue habet ἐξαμιλήτας et ἐξαμυλίτας. Idem nomen occurrit tit. XLI c. 9. Fortasse de eo, qui in Hexamilio judicabat, cogitandum est. [5] Videbatur esse ἀντιστρέψαι. [6] Basil. XXII, 5, 2. [7] Basil. XI, 2, 33. Cf. Harm. I, 10, 10. [8] Basil. XI, 2, 54.

ἕνεκεν διαλύσεως μὴ καταβληθέντων τὸ πρόστιμον τὸ εἰς ἐπερώτησιν κατενεχθέν, εἰ ἐναντίον τί ποτε γένηται, ἀπαιτεῖσθαι δύνασθαι ὡμολόγηται.“ ἐκεῖνα μέντοι τῶν ἀνωμολογημένων ἐστὶν, ὡς καὶ μετὰ τὴν τῶν προστίμων ἀπαίτησιν μένειν τὴν διάλυσιν ἐῤῥωμένην οἱ νόμοι βούλονται, ὅσαι τοῦτον σχηματισθεῖεν τὸν τρόπον. „ἐπερωτῶντες γάρ“ φησιν[1] „οἱ διαλυόμενοι πρόστιμον ἐκ παραβασίας εἰώθασιν ἐπιφέρειν πρὸς τὸ καὶ μετὰ τὴν τοῦ προστίμου καταβολὴν οὐδὲν ἧττον ἐῤῥῶσθαι τὴν διάλυσιν.“

[ις'.] Ὅτι διαλυσάμενος κωνσταντῖνος πρωτοσπαθάριος καὶ κριτὴς μεσοποταμίας μετὰ τοῦ ἐπισκόπου γρηγορίου τοῦ ἀδελφοῦ τοῦ πατρικίου τοῦ χαλδοῦ κατεδικάσθη ὕστερον παρὰ τῶν πολιτικῶν δικαστῶν, καὶ ἀνετράπη ἡ διάλυσις γράψαντος τοῦ μαγίστρου· ἀπείρηται τὰ τοιαῦτα δρᾶν τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν, ἀλλὰ τὰ γεγονότα οὕτως ἰσχύειν ...[2] ὡς πρὸ τῆς πράξεως ἦν τοῦ κριτοῦ, τὰ δὲ ὡς ἐκ τῆς διαλύσεως καὶ μετὰ τὴν παράλυσιν τῆς πράξεως ἐπιτελεσθέντα ἀργεῖν. τὰ μὲν γὰρ ὡς διὰ τὴν ἀρχὴν ἐκ θέσεως γεγονότα ἀνατέτραπται, τὰ δὲ ὡς ἐκ τῆς παρανόμου συμφώνου δυνάμεως οἷα παρακολουθήματα. κεκανόνισται γὰρ „τοῦ[3] πρωτοτύπου μὴ ἐῤῥωμένου μηδὲ τὰ παρακολουθήματα ἐῤῥῶσθαι,“ καὶ „τὰ[4] ἐξ ἀρχῆς ἀνυπόστατα ἐκ τῶν ἐπισυμβαινόντων ἰσχὺν λαμβάνειν μὴ δύνασθαι.“

[ιζ'.] Ὅτι[5] διελύσατό τις μετά τινος καθολικῶς, εἶτα ὑπεδείκνυ δευτέραν διάλυσιν παρεμβάλλουσάν τινα κεφάλαια ὑπὲρ ὧν ἐν αὐτῇ διελύσατο. καὶ ταῦτα ὁ μάγιστρος οὐκ ἐδέξατο, γράψας οὕτως· ὅτε τὶς μετὰ πρώτην διάλυσιν εἰς δευτέραν ἀνενέγκῃ τὸ πρᾶγμα, σαθρόν τι καὶ ἀνίσχυρον δρᾷ. εἰ μὲν γὰρ ἡ διάλυσις, ὡς ὁ νόμος[6] φησὶν, ἰσοδυναμεῖ τῇ ἀποφάσει, μετὰ δὲ ἀπόφασιν ἐῤῥωμένην οὐκ ἰσχυρῶς τις διαλύεται, παντί που δῆλον, ὅτι ἡ μετὰ συμβίβασιν ἐπιδιάλυσις ἐξητονημένη ἐστίν.

[ιη'.] Ὅτι ἔλαβέ τις δικαστικὴν ψῆφον ὡς ἂν ἐπὶ τοῦ τόπου δικάσηται, εἶτα διελύσατο μετὰ τοῦ ἀντιδίκου καὶ ἔχων τὴν ψῆφον προεκόμισε ταύτην τῷ δικαστῇ καὶ ἀπόντος τοῦ ἀντιδίκου ἀπήτησε νομίσματά τινα ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ ἔκρινεν ὁ μάγιστρος ἀπαιτηθῆναι πάντα τὰ ἐν τῇ διαλύσει πρόστιμα, καὶ ὡς ἀπὸ δόλου ἕτερα νομίσματα ὧν ἀπήτησε τὰ ἡμίση ἕνεκεν τοῦ δόλου.

---

[1] Basil. XI, 2, 34. [2] Cod. οἴσα. Forte ἰσχυέτωσαν. [3] Basil. II, 3, 129. [4] Cf. Basil. II, 3, 29. [5] Cf. supra c. 1. [6] Cf. Basil. XI, 2, 20.

[ιθ'.] Ὅτι[1] ἡ γυνὴ ἅπαξ κατὰ τῶν τοῦ ἀνδρὸς πράξεων εἰς δικαστήριον φοιτήσασα καὶ τὴν ἀπορίαν τούτου ἐλέγξασα καὶ τὰ παρὰ τούτου ἀπεμπουλημένα[2] ἐκνικᾶν ἐπιχειροῦσα καλῶς διαλύεται. καὶ ἐσημειώσατο ὁ μάγιστρος οὕτως· ἐπὶ τοῖς τοιούτοις ἐνήλλακται ἡ τάξις τῆς ἐξουσίας, ὥστε καὶ τῶν ἐκνικωμένων πάντων καθίσταται κυρία ἡ γυνή, καὶ δοκεῖ πως ἀῤῥενοῦσθαι μὲν τὸ θῆλυ κατά γε τὸν τῆς κυριότητος λόγον, θηλύνεσθαι δὲ τὸ ἄῤῥεν καὶ ὑποπίπτειν εἰς ἐξουσίαν διὰ τὴν τῶν ἔργων ἀσθένειαν. καὶ τρέφεται μὲν ὁ χορηγεῖν ὀφείλων τροφάς, ῥυθμίζεται δὲ ὁ σωφρονιστὴς εἶναι ταχθεὶς ἐν ἀρχῇ τῆς γυναικός, καὶ ὅλον εἰπεῖν πάντα τὰ κοσμοῦντα τὴν συζυγίαν ἀντέστραπται. οὐκοῦν καὶ ἡ συμβιβαστικὴ ἀσφάλεια τῆσδε ἀσφαλῶς γεγένηται, ἐν ἀμφιβόλῳ καὶ ἀδήλῳ[3] πέρατι τῆς δίκης διαλυσαμένης, αὐτεξουσίας τυγχανούσης, καὶ μὴ δυναμένης ἢ φόβον ἀνδρὸς προβάλλεσθαι ἢ τὸν τῆς ὑπεξουσιότητος λόγον.

Τ Ι Τ Λ Ο Σ η'.

Περὶ χρόνων καὶ δεσποτείας.

[α'.] Διὰ τριακονταετίαν δεσπόζει ὁ πένης ἀφελόμενός τινα ἐκ πένητος ἢ καὶ τὰ τοῦ πλουσίου, ὁ δὲ δυνατὸς καὶ ἀγοράσας οὐκ ἄλλως δεσπόζει, εἰ μὴ ὑπὲρ τὸν μέγαν λιμὸν τὸν ἐπὶ ῥωμανοῦ τοῦ πρεσβύτου γεγονότα γέγονεν ἡ πρᾶσις κατὰ τὴν πρώτην νομοθεσίαν τοῦ εἰρημένου βασιλέως κυροῦ ῥωμανοῦ καὶ τοῦ κυροῦ βασιλείου, καὶ τότε ἐξ ἐγγράφων καὶ σωματικῶν δικαιωμάτων[4].

[β'.] Ὅτι ὁ καλῇ πίστει ἀγοράζων διὰ δεκαετίαν δεσπόζει καὶ τοῦ ὑποκειμένου ἑτέρῳ. ἐὰν δὲ δικαστὴς ἀγοράσῃ πρᾶγμα καλῇ πίστει, εἶτα ὁ ἔχων κατὰ τοῦ πράτου ἔλθῃ καὶ κινήσῃ κατ᾽ αὐτοῦ τὰς ἐνοχὰς καὶ κατὰ τῶν μετ᾽ αὐτοῦ συναλλαξάντων παρὰ τῷ αὐτῷ δικαστῇ τῷ καὶ τὸ πρᾶγμα ἠγορακότι, ποιεῖ καὶ τὸν δικαστὴν ἐν γνώσει ἐπὶ τῷ ἀγορασθέντι καὶ περικόπτει τὸν χρόνον τῆς δεκαετίας. τοιοῦτον συνέβη ἐπὶ τῷ κτήματι τῷ πραθέντι παρὰ τοῦ ἀνεψιοῦ γοργοπλούτου πρὸς τὸν κοιτωνίτην μιχαήλ.

---

[1] Cf. supra c. 3. [2] Sic lingua vulgari pro ἀπεμπολ. [3] Cod. ἀσύλῳ videbatur habere. [4] Cf. tit. IX c. 1 et de Novellis Romani Senioris et Basilii Bulgaroctoni videsis Mortreuil II p. 330 et p. 358.

[γ'.] Ὅτι τὸν ἀγαθῇ πίστει νομέα ἐντὸς δέκα ἐτῶν δύναμαι διώκειν. αὐτὸν[1] οὐκ εἰσάγεται τὸ ἐναντίον, κἂν δεσπόσας διὰ δεκαετίας θελήσῃ μοι ἄκοντι ἐπιῤῥίπτειν τὸν τόπον, λέγων· σός ἐστι, λάβε αὐτόν.

[δ'.] Ὅτι κατοχῆς μὲν ἕνεκα γῆς καὶ δεσποτείας τοῖς ἐναγομένοις χρόνος ὁ τῆς τριακονταετίας ἀρκεῖ ῥέων ἀνεπιφώνητος· δουλείας δὲ ὁ τῆς δεκαετίας [ἐπὶ] παρόντων καὶ εἰκοσαετίας ἐπὶ ἀπόντων βεβαιοῖ χρόνος, εἰ μήγε στρατιωτικὴ ἀποδημία παρεμπίπτουσα διακόπτει τὸν χρόνον.

[ε'.] Ὅτι[2] εἰ μὲν ἐκκλησιαστικὸν μέρος τὶ κατάσχω, διὰ τεσσαρακονταετίας δεσπόζω αὐτοῦ. εἰ δὲ τὸ μοναστήριον ἦτο[3] ὅλον, οὐδέποτε δύναμαι κτήσασθαι. οὐδὲ γὰρ βοηθεῖ μοι χρόνος οὐδὲ εἷς, διὰ τὸ τὸν νόμον ῥητῶς ἀποφαίνεσθαι τὰ ῥελιγιόσα καὶ τὰ σάκτα καὶ τὰ σάκρα μὴ διὰ χρόνου δεσπόζεσθαι. καὶ τοῦτο φανερόν ἐστιν· ὁ γὰρ ἰδιώτης μέρους μὲν ἐκκλησίας δρασσόμενος ἀνάρχως δεσπόζει τούτου διὰ χρόνου, ὡς εἴρηται· τὴν δὲ ὅλην ἐκκλησίαν κατασχὼν οὐ δεσπόσει ταύτης ποτέ· οὐ γὰρ ἔχει δίκαια ἐφορίας· τοῦτο γὰρ τῶν ἱερέων ἐστίν. εἰ μέντοι ἐπίσκοπος ἐκκλησίαν ἢ μοναστήριον ἑτέρου ἐπισκόπου κατάσχοι, διὰ τριακονταετίας ἀναμφιβόλως δεσπόσει τούτου. ὡσανεὶ γὰρ ἀπὸ ἱερέως εἰς ἱερέα μετηνέχθη τὸν δυνάμενον ἐφορᾶν αὐτό.

[ς'.] Ὅτι[4] μετὰ τὸν τετρακαιδέκατον χρόνον τῆς ἡλικίας ὀφείλει ὁ παῖς τῷ ἀγοραστῇ τοῦ πατρῴου κτήματος εἴ τι δίκαιον ἔχει προφωνεῖσθαι. οὐ γὰρ μετὰ κέ χρόνον ἢ κθ', ἀλλ' ἀπὸ τοῦ ιδ' χρόνου τῷ παιδὶ τρέχει ἡ τῆς κυριότητος τριακονταετία. καὶ εἰ φθάσει κυριεῦσαι διὰ τριακονταετίας ὁ ἀγοραστὴς μετὰ τὸ γενέσθαι τὸν παῖδα ιδ' χρόνων, οὐ φοβεῖται αὐτὸν, ὡς εἶναι τὸν βουλόμενον κινεῖν περὶ τοῦ πατρῴου κτήματος παῖδα μδ' χρόνων· ὑπὲρ τοῦτον γὰρ τὸν χρόνον κινῶν οὐκ ἀκούεται.

[ζ'.] Ὅτι τὸ ἐπὶ τῆς δεκαετίας καὶ εἰκοσαετίας ἀπεῖναι ἢ παρεῖναι οὐ τὰ πράγματα αὐτὰ, περὶ ὧν φιλονεικεῖται, νοεῖται, ἢ τοὺς ἀνθρώπους τοὺς ἔχοντας κατ' ἀλλήλων, ἀλλὰ τὸ ἔχειν ἀμφοτέρους τὰς οἰκήσεις ἐν τῷ αὐτῷ ἐπάρχῳ[5].

[η'.] Ὅτι[6] ὅτε περιγραφῇ τις εἰς διατίμησιν, τὸν τριακονταετῆ[7] χρόνον ἔχει βοηθοῦντα αὐτῷ εἰς τὸ αἰτεῖν πάλιν γενέ-

---

[1] Corruptela hic est, quam frustra sanare studui. [2] Cf. Harm. II, 1, 33. [3] Cod. ἢ τὸ. ἦτο lingua vulgari pro ἦν. Apud Harm. est σχῶ. [4] Cf. tit. XVII c. 5. [5] Malim ἐν τῇ αὐτῇ ἐπαρχίᾳ. [6] Cf. tit. XXII c. 2. [7] Infra τετραετῆ.

σθαι τὴν διατίμησιν, καὶ ἀναλαμβάνειν τὸ ἐκ τῆς περιγραφῆς ποσόν.

[θ'.] Ὅτι ἐὰν περὶ πράγματος μοῦ κινδυνεύοντος, [ὅτι] δεσπόζεται παρά τινος διὰ μακροῦ χρόνου, ἐναγάγω καὶ ἀνανεώσω τὸν χρόνον, καὶ πάλιν ἐπιβῇ τις τῆς τούτου νομῆς, οὐκ ἄλλως δεσπόσει τούτου, εἰ μὴ διὰ τεσσαρακονταετίας. τοῦτο γὰρ ὁ μάγιστρος ἡρμήνευσε λέγων· τὸν μακρὸν χρόνον εἶναι τριακονταετίαν, περικοπέντα δὲ εἰς τεσσαρακονταετίαν ἐκτείνεσθαι.

[ι'.] Ὅτι[1] ἐπὶ τῶν λαμβανόντων δημόσια χρήματα οἷον ἀπολογαριασμοὺς, ὁ χρόνος οὐ σβέννυσι τὴν ἀγωγήν. εἰ γὰρ παρακατάσχωσί τι τῶν δημοσίων, οὐκ ἔχουσι χρόνον βοηθὸν ἢ ἀποκλείουσι τοὺς ἐνάγοντας, ἀλλὰ καὶ αὐτοὶ ἐὰν τελευτήσωσιν, οἱ παῖδες τούτων, κἂν μηδὲν ἐξ αὐτῶν ἐκέρδησαν ἢ εἰς κλῆρον ἔλαβον, κρατούμενοι ἀπολογοῦνται τοῖς ἐνάγουσιν.

[ια'.] Ὅτι ἐὰν ἀγοράσω παρὰ τοῦ κακῇ πίστει κτησαμένου πρᾶγμα, οὐ δεσπόζω τούτου διὰ τῶν δέκα ἢ εἴκοσιν ἐνιαυτῶν, εἰ μὴ καὶ ὁ δεσπότης τοῦ πράγματος γνῷ τὴν μετένεξιν, τουτέστιν εἰ μὴ γνῷ ὁ ἀληθὴς δεσπότης ὅτι ἐγὼ τοῦτο ἠγόρασα παρὰ τοῦ κακῇ πίστει ἔχοντος αὐτό. εἰ μὲν γὰρ γνῷ τὴν μετένεξιν καὶ οὐ κινήσει, δεσπόζω ἐγὼ διὰ τῶν δέκα ἢ εἴκοσιν ἐνιαυτῶν· εἰ δὲ μὴ γνῷ, οὐ δύναμαι δεσπόσαι, ἀλλ' εἰς τριακονταετίαν ἐκτείνεται αὕτη ἡ ἀγωγή. εἰ δὲ ὁ[2] παρὰ τοῦ κακῇ πίστει κτησαμένου ἀγοράσας πωλήσει πρὸς ἕτερον, εἴτε γνῷ ὁ δεσπότης τὴν μετένεξιν εἴτε μὴ γνῷ, ὁ δεύτερος ἀγοραστὴς χρώμενος τοῖς χρόνοις τοῦ πρώτου ἀγοραστοῦ δεσπόζει τοῦ πράγματος διὰ τῶν δέκα ἢ εἴκοσιν ἐνιαυτῶν, καὶ οὐκ ὠφελεῖ ἐνταῦθα τὸν ἀληθῆ δεσπότην ἡ ἄγνοια τῆς μετενέξεως.

[ιβ'.] Ὅτι ἡ ἐντὸς τοῦ πενθίμου χρόνου γαμηθεῖσα ἔγκλημα ἁμαρτάνει, καὶ διὰ εἴκοσι χρόνων ἀποκλείει τοὺς παῖδας ἢ τὸν δημόσιον, εἰς τὸ μὴ κινεῖν καὶ λαμβάνειν τὸ ἥμισυ τῆς ὑπάρξεως αὐτῆς.

[ιγ'.] Ὅτι ἐὰν πατὴρ ἢ μήτηρ ἐκποιήσηταί τι ἔχων παῖδας, καὶ τελευτήσῃ, εἰ μὲν ἄνηβος εἴη ὁ παῖς, ἔχει τριάκοντα χρόνους μετὰ τὴν ἥβην ἤτοι μετὰ τὸν ιδ' χρόνον ἐπὶ τῶν ἀῤῥένων, ἐπὶ δὲ τῶν θηλειῶν μετὰ τὸν ιβ'. εἰ δὲ οὐκ ἦν ἄνηβος ὁ παῖς, ἔχει δεκαετίαν ἢ εἰκοσαετίαν μετὰ τὸν εἰκοστὸν πέμπτον χρόνον εἰς παραγραφήν. ταύτην δὲ κινεῖ ὁ παῖς ἐφ' οἷς

---

[1] Cf. Harm. I, 3, 52. — Idem locus infra est tit. XXXVI c. 14. [2] Cod. ὁ δὲ.

διαφέρει αὐτῷ, τυχὸν τῆς μητρὸς πωλησάσης τὸ πατρῷον τοῦ υἱοῦ ἢ τοῦ πατρὸς πωλήσαντος τὸ μητρῷον.

[ιδ΄.] Ὅτι[1] ἐκεῖνος λέγεται ἀπεῖναι διὰ πρᾶγμα δημόσιον ὁ πεμφθεὶς ἐπὶ πρεσβείᾳ ἢ ἐπὶ τῷ κτίσαι κάστρον ἢ ἐπὶ τοῖς ὁμοίοις. ὁ δὲ κριτὴς καὶ οἱ διοικηταὶ καὶ οἱ στρατηγοὶ καὶ οἱ τὰς τοῦ δημοσίου ἐγκεχειρισμένοι δουλείας οὐ δοκοῦσιν ἀπεῖναι διὰ δημόσιον, οὐδ᾽ ὠφελοῦνται εἰς τὸ κτήσασθαι νομὴν ἢ ἀπολέσαι, διότι πάντες θέλοντες ταύτας τὰς ὑπηρεσίας ὑπεισέρχονται παρέχοντες καί τινα.

[ιε΄.] Ἐὰν ἀγοράσῃ τὶς οἰκίαν παρά τινος νομίζων αὐτὸν δεσπότην, καὶ πάρεστιν ὁ ἀληθὴς δεσπότης καὶ γινώσκει ὡς ἐπράθη τὸ ἴδιον καὶ ἐφησυχάσει ἐπὶ δέκα ἐνιαυτοῖς, οὐκ ἔχει ἀγωγὴν κατὰ τοῦ ἀγοραστοῦ· ἀπεκλείσθη γὰρ τῇ δεκαετίᾳ. ἢ ἐὰν οὐ πάρεστιν ὁ ἀληθὴς δεσπότης, ἀπολιμπάνηται δὲ, καὶ καθ᾽ ὅμοιον γινώσκει ὅτι τὸ πρᾶγμα αὐτοῦ ἐπράθη, καὶ ἐντὸς εἴκοσιν ἐνιαυτῶν οὐκ ἐκίνησεν, ἀποκλείεται τῇ εἰκοσαετίᾳ. ὁ δὲ νεμηθεὶς ἀκωλύτως ἐπὶ τριακονταετίᾳ, κἄν τε γινώσκῃ ὁ δεσπότης τοῦ πράγματος κἄν τε ἀγνοῇ, δεσπόζει τοῦ πράγματος, εἰ μήγε ἐκκλησιαστικόν ἐστιν ἢ δημόσιον. τότε γὰρ τῇ τεσσαρακονταετίᾳ δεσπόζεται.

[ις΄.] Ὅτι δύο παραδραμόντων χρόνων μετὰ τελευτὴν τῆς γυναικὸς τῆς ἀπὸ συναινέσεως λυσάσης τὸν γάμον καὶ εἰς δεύτερον ἐλθούσης, σβέννυται ἡ κίνησις.

[ιζ΄.] Ὅτι καὶ ἡ μοιχεία καὶ ἄλλα ἐγκλήματα[2] μετὰ τελευτὴν τῶν πεπλημμεληκότων σβέννυται, χωρὶς τοῦ τῆς καθοσιώσεως ἐγκλήματος καὶ τοῦ περὶ κλοπῆς ἱερῶν καὶ δημοσίων. φησὶ γὰρ ὁ νόμος[3]· „ἡ τῶν ἐγκλημάτων δήμευσις κατὰ κληρονόμων οὐχ ἁρμόζει, εἰ μὴ ψῆφος κατὰ [τῶν] ἁμαρτώντων ἢ προκάταρξις προῆλθεν· ὑπεξῃρημένων τοῦ περὶ καθοσιώσεως καὶ τοῦ περὶ κλοπῆς ἱερῶν καὶ δημοσίων. ταῦτα γὰρ καὶ ἀπὸ κληρονόμων ἄρχεται, καὶ ἐξότου τὶς αὐτοῖς ὑποπέσῃ, οὔτε τῶν ἰδίων τὶ ἐκποιεῖ, οὔτε ἐλευθεροῦν δύναται.“

[ιη΄.] Ὅτι ἡ τριακονταετὴς καὶ[4] ἡ κινουμένη κατὰ τῆς προσωπικῆς καὶ ἡ τεσσαρακονταετία ἡ κατὰ τῆς ὑποθηκαρίας ἐπὶ τῆς ἀπαιτήσεως τῆς προικὸς τῆς παρὰ γυναικὸς κινουμένης οὐκ ἀπὸ τῆς τῶν συμφώνων ποιήσεως ψηφίζεται, ἀλλ᾽ ἀφ᾽ οὗ νομίμως ἤρξαντο ζῆν, τουτέστιν οὐκ ἀφ᾽ οὗ ἐτέχθησαν, ἀλλ᾽ ἐξό-

---

[1] Cf. Schol. ad Harm. I, 3, 67 ed. Heimb. p. 70 sq. [2] Cod. addit τὰ.
[3] Basil. LX, 34, 20. [4] Legerim τριακονταετία vel τρ. παραγραφή.

του νόμῳ ταύταις εἰς δικαστήριον εἴσοδος δίδοται, καὶ εὐχέρειαν ἔχουσι γυναῖκες εἰς δίκην καλεῖν τὸν ἀντίδικον. καθὼς ὁ νόμος[1] φησίν· „ὥσπερ αἱ ἰδικαὶ ἀγωγαὶ, οὕτως αἱ περὶ ὁμάδος καὶ αἱ προσωπικαὶ ὑπὲρ τριάκοντα ἐνιαυτῶν διάστημα μηδαμῶς ἐκτεινέσθωσαν. ἀλλ' ἐὰν τί ποτε πρᾶγμα ἢ τί ποτε δίκαιον ἀπαιτῆται, ἢ πρόσωπον οἱαδήποτε ἀγωγῇ ἢ μεθοδείᾳ συνωθεῖται, οὐδὲν ἧττον ἔσται τῷ ἐνάγοντι τριάκοντα ἐνιαυτῶν παραγραφὴ ποιητέα. τούτου ἰσχύοντος καὶ εἰς τὸ ἐκείνου πρόσωπον, ὅστις ἐνέχυρον ἢ ὑποθήκην οὐκ ἀπὸ τοῦ ἰδίου χρεώστου, ἀλλ' ἀπὸ ἄλλου ἐπὶ πολὺν χρόνον νεμομένου σπουδάζει ἐκνικῆσαι. αἵτινες οὖν πρότερον οὐκ ἐκινήθησαν αἱ ἀγωγαὶ τριάκοντα ἐνιαυτῶν συναπτῶν σιωπῇ, ἐξ οὗ ἁρμόσαι ἤρξαντο νομίμως, τοῦ ζῆν περαιτέρω μὴ ἐχέτωσαν εὐχέρειαν."

[ιθ'.] Ὅτι οὐκ ἀπὸ τοῦ καιροῦ τῆς τῶν συμφώνων ποιήσεως, ἀλλ' ἀπὸ τοῦ καιροῦ τῆς ποιήσεως τοῦ γάμου ἢ τῆς ἀπορίας τοῦ ἀνδρὸς ἡ τριακονταετία ἡ τῇ προσωπικῇ ὑποκειμένη καὶ τῇ ὑποθηκαρίᾳ τεσσαρακονταετία ἀντίκειται τῇ γυναικί.

[κ'.] Ὅτι οἱ πίστει καλῇ παρὰ τοῦ ἀγαθῇ πίστει νεμομένου ἐξωνησάμενοι διὰ δεκαετίας ἢ εἰκοσαετίας δεσπόζουσιν. ἄντε προικιμαῖον εἴη τοῦτο ἄντε προικὶ ὑποκείμενον, εἴτε ὡς τοῦ[2] ἀνδρὸς ᾖ εἴτε τοῦ ὑποσχομένου, οὐ καλῶς νεμεθήσεται διὰ χρήσεως ἢ μετὰ τὴν ἀπορίαν τοῦ ἀνδρὸς ἢ τὴν τοῦ γάμου λύσιν. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν ἀκινήτων καὶ τοῦ μακροῦ χρόνου κρατεῖ.

[κα'.] Ὅτι τοῖς κακῇ πίστει νομῆς τινὸς πράγματος δραξαμένοις, ἐκπεσοῦσι ταύτης, οὐδεμία δίδοται ἀγωγὴ τοῦ τοιούτου πράγματος εἰς τὸν ἀληθῆ δεσπότην περιελθόντος, κἂν ἀδιακόπως ἐπὶ συναπτῇ τριακονταετίᾳ ἢ τεσσαρακονταετίᾳ νεμηθέντες πρὶν ἐκπεσεῖν κινοῦντα τὸν δεσπότην κατ' αὐτῶν ἀπεκρούοντο. καὶ νόμος[3]· „εἴ τις ἀγορασίας ἢ δωρεᾶς ἢ ἄλλου οἱουδήποτε συναλλάγματος τίτλῳ[4] πρᾶγμά τί ποτε πίστει καλῇ ἐπὶ δέκα ἢ εἴκοσιν ἐνιαυτοὺς κατέσχε, καὶ τὴν μακροῦ χρόνου παραγραφὴν κατὰ τῶν δεσποτῶν αὐτοῦ τοῦ πράγματος ἢ τῶν δανειστῶν τῶν τὴν ὑποθήκην αὐτοῦ προτιμωμένων ἑαυτῷ ἐκτήσατο, καὶ μετὰ ταῦτα κατὰ τύχην τὴν νομὴν ἐκείνου τοῦ πράγματος ἀπώλεσε, δύνασθαι αὐτὸν καὶ ἀγωγὴν εἰς ἐκδικητέον[5] τὸ πρᾶγμα ἔχειν θεσπίζομεν. τοῦτο γὰρ καὶ οἱ παλαιοί, εἴ τις

[1] Basil. L, 14, 5. [2] Cod. verba ὡς τοῦ bis posita habet. Fortasse legendum ἐκ τῶν τοῦ. [3] Basil. L, 14, 9. [4] Cod. pro τίτλῳ habet τουτέστι. Vitium ortum est ex similitudine siglorum τι et τε. [5] Cod. ἐκδίκησιν.

αὐτοὺς ὀρθῶς θεωρήσει, αὐτὸ ἐθέσπιζον. εἰ δέ τις τοῦτο τὸ πρᾶγμα παύσεται νέμεσθαι, οὗτινος ὁ δεσπότης, ἢ εἴ τις ὑποκείμενον αὐτὸ εἶχεν, τῇ παραγραφῇ τῶν λ' ἢ μ' ἐνιαυτῶν ἐξεβλήθη, τὴν εἰρημένην βοήθειαν οὐκ ἀδιστάκτως, ἀλλὰ μετὰ μεμεριμνημένης διαιρέσεως αὐτῷ παρέχειν θεσπίζομεν· ἵνα, εἰ μὲν πίστει καλῇ ἐξ ἀρχῆς τοῦτο τὸ πρᾶγμα διακατέσχεν, ὁμοίᾳ δυνηθείη χρήσασθαι βοηθείᾳ· ἐὰν δὲ πίστει κακῇ τούτου ἐπελάβετο, ἀνάξιος ταύτης δόξῃ. οὕτω μέντοι, ἵνα καινὸς νομεὺς, εἰ μὲν αὐτὸς τοῦ πράγματος ἐξ ἀρχῆς ἦν δεσπότης ἢ ὑποκείμενον αὐτῷ εἶχε, καὶ τῇ τῆς μνημονευθείσης παραγραφῆς ἀνάγκῃ ἐξωθηθείς ἐστι, τῷ[1] κέρδει τῆς διακατοχῆς ἑαυτὸν προσπορίσει· ἐὰν δὲ μηδὲν δίκαιον ἐν τῷ αὐτῷ πράγματι καθ' οἱονδήτινα καιρὸν ἔσχε[2], καὶ τοῖς κληρονόμοις αὐτοῦ ἐκ τοῦ ἀδίκως διακρατήσαντος τοῦτο ἐκδικῆσαι, μὴ ἀντικειμένου αὐτοῖς, ὅτι ὁ πρῶτος νομεὺς λ' ἢ μ' ἐνιαυτῶν παραγραφῇ[3] αὐτοὺς ἀπεκίνησεν.“

[κβ'.] Ὅτι οὐχ ἡ τριακονταετία οὐδ' ἡ τεσσαρακονταετηρὶς δεσποτείαν ποιεῖ τῷ ἀδίκῳ νομεῖ, δῆλόν ἐστιν. ἴσως γὰρ καὶ ὅμοιος εἰς ἐκδίκησιν οὗ ἐξέπεσε πράγματος ὅ τε κακῇ πίστει λ' ἢ μ' ἐνιαυτοὺς νεμηθεὶς καὶ ὁ καλῇ πίστει νεμόμενος μήπω δὲ πληρώσας τὸν νενομισμένον καιρὸν μηδὲ τῷ μακρῷ χρόνῳ δεσπότης γενόμενος. ὥσπερ γὰρ τούτῳ διαπεσόντι οὗ ἐνέμετο πράγματος δίδοται κατὰ παντὸς νομέως ἡ πουβλικιανὴ πλὴν τοῦ ἀληθῶς δεσπότου νεμομένου, οὕτω κἀκείνῳ δίκαιόν τι ἐκδικεῖν τὸ πρᾶγμα κεχάρισται μετὰ τριακονταετίαν, εἰ μὴ ὃς ἐξ ἀρχῆς δεσπότης ἦν τῆς νομῆς τοῦ πράγματος ἐπελάβετο. καὶ γὰρ εἰ δεσπότης ἦν τῆς νομῆς, ἀπέσπασεν ἂν τοῦτο καὶ τοῦ πρώην δεσπότου, ὥσπερ ὁ καλῇ πίστει νομεὺς δεσπότης τῷ χρόνῳ γενόμενος, καὶ ἐκπεσόντος τούτου οὐδεμίαν ἀγωγὴν εἰς ἐκνίκησιν εἶχεν ὁ ἐξ ἀρχῆς δεσπότης. ἀλλὰ τοῦτο ἐστὶ τὸ ἐν τοῖς νόμοις περιθρυλλούμενον μηδέποτε τὸν κακῇ πίστει νεμόμενον διὰ χρονίας νομῆς δεσπόζειν, μηδὲ τὰ φούρτιβα μηδὲ τὰ βὶ πόσσεσσα δεσπόζεσθαι χρόνῳ, πρὶν ἂν πίστις ἀγαθὴ διακαθάρῃ τὸ αἴτιον.

[κγ'.] Ὅτι[4] ἐπὶ τῶν προσωπικῶν ἀγωγῶν ἐὰν ἔσχατος δανειστὴς ἀπολάβῃ τὸ δάνειον, καὶ παραδράμῃ τριετία σιωπηρὰ,

---

[1] Lege: τὸ κέρδος — ἑαυτῷ. [2] Lacuna ob ὁμοιοτέλευτα. Supple: τότε ἐξουσία εἴη τῷ πρώτῳ δεσπότῃ ἢ τῷ δανειστῇ, ὅστις ὀνόματι ὑποθήκης τὸ πρᾶγμα ἐνεχόμενον ἔσχε. [3] Cod. ἀπογραφῆς. [4] Cf. Harm. I, 3, 42.

καὶ γινώσκῃ τοῦτο ὁ πρῶτος δανειστὴς, οὐ μετακινεῖ τὸν προλαβόντα.

[κδ'.] Ὅτι πλημμελήσας τὶς ἀναρχίαν ἐντὸς ἐνιαυτοῦ ἀπεκινήθη παρὰ τοῦ δεσπότου καὶ ἐζήτει ἐκδίκησιν. καὶ ὁ δικαστὴς ἔγραψε· οὐ καλῶς ἐπιζητεῖ ἐκδίκησιν, ὅτι τὰ ἴσα πλημμελήματα ἀντελ[λογ]ίζοντο. ἀμφότεροι γὰρ τῷ αὐτῷ ἐγκλήματι περιπεπτώκασιν, ἢ μᾶλλον ἀναγκαῖον εἰπεῖν, ὅτι ὁ πρῶτος καὶ πλέον ἥμαρτεν ἀνάρχως ἀπελάσας τὸν δεσπότην τοῦ οἰκείου καὶ πρῶτος αἴτιος τοῦ κακοῦ γενόμενος. πλὴν διὰ τὸ φιλάγαθον ὀφείλουσιν ἀμφότεροι τῶν ἐγκλημάτων ἀπολυθῆναι.

[κε'.] Ὅτι τὸ παραχρῆμα τρεῖς ἡμέρας σημαίνει καὶ τοῦτο κεῖται εἰς βι. ζ'[1] τὴν βίαν ἀπωθεῖσθαι παραχῆμα μέντοι. καὶ αἱ μὲν τρεῖς ἡμέραι οὐκ ἐτέθησαν εἰς τὰ βασιλικὰ[2], εἰς δὲ τὸ β' βιβλίον τοῦ πλάτους τῶν κωδίκων τί. θ' κεφ. γ' κεῖται ῥητῶς οὕτως, τὸ παραχρῆμα τρεῖς ἡμέρας σημαίνειν. ὁμοίως τοῦτο κεῖται καὶ εἰς τὰς ῥοπάς[3].

[κϛ'.] Ὅτι[4] τῷ περὶ βίας ἐνάγοντι ἕτεροι διεστιγμένως ἁρμόζουσι χρόνοι, τῷ δὲ ἐναγομένῳ καὶ διὰ παραγραφῆς ταύτην εἰσάγοντι ἰσομήκης τῇ ἀγωγῇ πρόσεστι χρόνος.

[κζ'.] Ὅτι ἐάν τις διαφόρους δίκας ἔχων κατά τινος ἐπιδώσῃ λίβελλον, καὶ ἐγκαλέσῃ κατ' αὐτοῦ, ὅτι ὁ δεῖνα ἠδίκησέ με περὶ τήνδε τὴν ὑπόθεσιν, κἂν μὴ περὶ τῶν ἄλλων ἐγκαλέσῃ, ὅμως κἀκείνας διηνεκεῖς ποιεῖ. φησὶ γὰρ ὁ νόμος[5]· „ἐάν τις τρεῖς ἔχων ἀγωγὰς ἐπιδώσῃ λίβελλον, πάσας διηνεκεῖς ἀποτελεῖ. καὶ τὸ πλέον λέγει ἡ διάταξις, κἂν ἔχων προσωπικὰς καὶ περὶ δεσποτείας καὶ ὑποθηκαρίας ἐπιδώσει λίβελλον ἔχοντα, ὅτι τὰς προσωπικὰς κινεῖ ἢ ὅτι τὰς ὑποθηκαρίας ἢ ὅτι τὰς περὶ δεσποτείας, οὐδὲ αὕτη ἡ ὑπεξαίρεσις ἀδικεῖ αὐτόν." καὶ πάλιν[6]· „ἐὰν ἐξ ἀντιθέσεως ἀνακύψῃ τὶς ἀγωγὴ τὸ τοῦ δικάζοντος ἀκροατήριον ὑπερβαίνουσα βούλεται μὴ διασπᾶσθαι τὸ δικαστήριον ἀλλὰ καὶ τὰ ἐπαναφυόμενα τὸν αὐτὸν δοκιμάζειν."

[κη'.] Καὶ βι. ν' τί. [ια'] κεφ. β' · „Ἡ χρονία νομὴ συμβάλλεται τοῖς πίστει καλῇ νεμηθεῖσι καὶ μηδεμίαν προκάταρξιν ὑπομείνασιν."

[κθ'.] Καὶ κεφ. η'[7]· „Κεχώρισται ἡ αἰτία τῆς νομῆς καὶ τῆς διὰ τοῦ χρᾶσθαι δεσποτείας· ὅθεν ὁ κακῇ πίστει ἀγοράσας νέμεται μὲν ὡς ἀγοραστὴς, διὰ τοῦ χρᾶσθαι δὲ οὐ δεσπόζει."

---

1 Lege ξ'. Videtur enim indicari Basil. LX, 17, 9. 2 Vide Basil. ed. Heimb. I p. 356 not. s. 3 Cf. Αἱ ῥοπαί cap. V §. 2. 4 Cf. tit. XIII c. 2. 5 Basil. L, 15, 3. 6 In Basil. hunc locum non invenio. 7 Lege β'. Basil. L, 4, 1 (2).

[λ'.] Καὶ βιβλ. κε' τίτλ. ε' κεφ. ια'[1]· „Ἐὰν ἐπὶ δανείῳ ὑποθήκας λάβωσι δύο τινὲς, καὶ ὁ δεύτερος πρῶτος ἀπαριθμήσει, προτιμᾶται. ἐξῆν γὰρ τῷ ὑποθεμένῳ μὴ δανείσασθαι ἀπὸ τοῦ πρώτου. εἰ μέντοι ὑπὸ αἵρεσιν ἐπὶ ὑποθήκῃ ἐπερωτήσω σε, καὶ ὁ ἄλλος μετ' ἐμὲ χωρὶς αἱρέσεως[2], γεγενῆσθαι δοκεῖ.“ Παραγραφή· „ταῦτα νόησον, καὶ τότε τὸν ὑπὸ αἵρεσιν προτιμᾶσθαι τοῦ μετ' αὐτὸν καθαρῶς ἐποφληθέντος εἰπὲ, ὅταν μὴ τοιαύτη ἦν ἡ αἵρεσις, ἥτις ἐκβαίνειν οὐκ ἐδύνατο μὴ βουλομένου τοῦ χρεώστου.“

[λα'.] Καὶ κεφ. ι'[3]· „Προσφέρων ὁ δεύτερος τῷ προτέρῳ τὸ χρέος, ἄχρηστον αὐτῷ ποιεῖ τὴν ἐπὶ τῷ χρέει ἀγωγὴν, κἂν μὴ βουληθῇ δέξασθαι.“ Παραγραφή· „σημείωσαι ὅτι μεταγενέστερος δανειστὴς ἄδειαν ἔχει προσφορᾶς, κἂν ὁ πρῶτος μὴ βούληται δέξασθαι, καὶ ἵνα σφραγίσας ἀπόθηται καὶ μὴ συγχρήσηται τῷ χρέει, ὡς κεφ. κθ'.“

[λβ'.] Θέ. γ'· „Ὁ[4] μετ' ἐμὲ λαβὼν ὑποθήκην μεταγενέστερος μέν ἐστι, κἂν πρὸ ἐμοῦ ἐδάνεισεν. ὁ δὲ ὑπὸ ἡμέραν λαβὼν προτιμᾶται τοῦ μετ' αὐτὸν χωρὶς αἱρέσεως λαβόντος.“

[λγ'.] „Ἐάν[5] τις ποιήσῃ ἰδιόχειρον παρουσίᾳ φίλων, εἴτε ἐπὶ διαλύσει ἢ δανείῳ ἢ κοινωνίᾳ, καὶ εἴτε γράψει διὰ χειρὸς ὅλον τὸ ὕφος, εἴτε διὰ νοταρίου ἢ ἄλλου τινὸς καὶ αὐτὸς ὑπογράψει, εἴτε οὖν ὁ ταβουλλάριος, φαμὲν, ὅτι εἰ μὲν προσωπικὴ ἀγωγὴ κινεῖται, τὴν οἰκείαν ἐχέτω δύναμιν. εἰ δὲ ἐνέχυρα ἐξ αὐτοῦ ἀπαιτοῦνται, προτιμᾶται ὁ ἀπὸ ἀγοραίων κινῶν, εἰ μὴ ἄρα τρεῖς εἰσὶ μάρτυρες ὑπογράψαντες εἰς τὸ ἰδιόχειρον[6] ὑπολήψεως λαμπρᾶς.“

[λδ'.] Ὅτι συνεφώνησέ τις διαπωλῆσαι πρὸς τὸν μαρανδὸν κτῆμα, καὶ ἔλαβε χρυσοὺς ρε, καὶ σύμφωνον γέγονε διατιμηθῆναι τὸ κτῆμα, καὶ δοθῆναι ἐγγυητὰς, καὶ οὕτω τὸ πᾶν καταβληθῆναι τίμημα. εἶτα ὁ ποιήσας τὸ τοιοῦτον σύμφωνον ἐδανείσατο ἀπὸ τοῦ υἱοῦ, καὶ διεπώλησεν ἕτερον κτῆμα πρὸς αὐτὸν, ἐδωρήσατο δὲ αὐτῷ καὶ τὸ κτῆμα, ὅπερ[7] συνεφώνησε διαπωλῆσαι πρὸς τὸν μαρανδὸν, καὶ ἐνετείλατο αὐτῷ διαπωλῆσαι τὸ κτῆμα καὶ ἐκ τῆς τιμῆς αὐτοῦ δοῦναι τὰς λίτρας, ἃς ἐκ τοῦ μαρανδοῦ ἔλαβε, καὶ ἑτέρας δέκα, ἃς ἐξ ἑτέρου ἐδα-

---

[1] Cap. 9 in nostris Basil. Cf. ed. Heimb. III p. 79 not. q. [2] Propter ὁμοιοτέλευτα exciderunt haec: εἶτα ἐξέλθῃ ἡ αἵρεσις, ἐγὼ προτιμῶμαι. τῆς αἱρέσεως γὰρ ἐξιούσης ἄνωθεν ἡ ἐπερώτησις χωρὶς αἱρέσεως. [3] In nostris Basil. similiter est c. 9. [4] Basil. XXV, 5, 10. [5] Basil. XXV, 5, 38. [6] Cod. τὸν ἴδιον. [7] Cod. καὶ ὅπερ.

νείσατο προσώπου. μετὰ πολλοὺς τοίνυν χρόνους κινοῦντος τοῦ ἐγγόνου τοῦ ποιήσαντος τὸ σύμφωνον πρὸς τὸν μ α ρ α ν δ ὸ ν, ὡς κατασχομένου τοῦ κτήματος παρ᾽[1] αὐτοῦ τοῦ δεδωρημένου παρὰ τοῦ πάππου τῷ πατρὶ αὐτοῦ, καὶ τῆς πρὸς τὸν υἱὸν δωρεᾶς εὑρεθείσης πολλῷ μεταγενεστέρας τῆς πρὸς τὸν μ α ρ α ν-δ ὸ ν συμφωνίας περὶ πράσεως τοῦ κτήματος, ὁ μ ά γ ι σ τ ρ ο ς κατεδίκασε τὸν ἐνάγοντα, σημειωσάμενος οὕτως· ἡ πρὸς τὸν υἱὸν δωρεὰ μεμνημένη τῆς πρὸς τὸν μ α ρ α ν δ ὸ ν συμφωνίας τὴν μεταγενεστέραν ποίησιν αὐτῆς ἀριδηλοτέρως δείκνυσι, καὶ διὰ τοῦτο οὐκ ἔδοξεν ἰσχυρὰ ἡ ἐν μεταγενεστέρῳ χάρτῃ κατάθεσις περιγράψαι ἢ παραβλάψαι τὴν ἀρχαιοτέραν ἐπὶ τῇ πράσει συμφωνίαν. δάνειον μὲν γὰρ δόσιν ἔχον φανερὰν καὶ ἐνυπόθηκον δύναταί τι κατὰ πράσεως νεωτέρας, κατάθεσις δὲ δευτερεύουσα τῷ χρόνῳ καὶ ἀμαρτύρους διηγουμένη δόσεις ἀρχαίας κατ᾽ οὐδὲν πρᾶσιν πρεσβυτέραν αὐτῆς λυμαίνεται.

Τ Ι Τ Λ Ο Σ Θ΄.

Περὶ τῆς νεαρᾶς τοῦ κυροῦ βασιλείου τοῦ βασιλέως, καὶ περὶ πωλούντων στρατιωτῶν καὶ πενήτων.

[α΄.] Ὅτι ἡ ν ε α ρ ὰ τ ο ῦ μ α κ α ρ ί τ ο υ β α σ ι λ έ ω ς κ υ ρ ο ῦ β α σ ι λ ε ί ο υ[2] περὶ τῶν χωρίων τῶν ἐκποιηθέντων διαλαμβάνουσα οὑτωσὶ δογματίζει· ἵνα εἰ μὲν πτωχὸς ἐξεποιήσατο τὸ αὑτοῦ γήδιον πρὸς πρόσωπον δυνατὸν, μὴ ἄλλως ἰσχύειν τὴν πρᾶσιν, εἰ μὴ τὸν μέγαν λιμὸν τὸν ἐπὶ ῥ ω μ α ν ο ῦ τ ο ῦ π ρ ε-σ β ύ τ ο υ καὶ τὴν ν ε α ρ ὰ ν ν ο μ ο θ ε σ ί α ν ὑπερβαίνει· εἰ δὲ μὴ, μὴ ἰσχύειν· καὶ ταῦτα ἐξ ἐγγράφων καὶ συστατικῶν δικαιωμάτων.

[β΄.] Ὅτι ὁ β έ σ τ η ς εὑρὼν δυνατὸν ἐν χωρίῳ ποιησάμενον ἐπίκτησιν μετὰ τὸν χρόνον τῆς ν ε α ρ ᾶ ς ν ο μ ο θ ε σ ί α ς ἤτοι τοῦ μεγάλου λιμοῦ, κατεδίκασεν ἐκπεσεῖν τῶν ἠγορασμένων ἀναργύρως. περὶ τῶν καρπῶν τῶν μέσων χρόνων οὕτως ἐτύπωσεν· ἵνα, εἰ μὲν χωρὶς τιμήματος περιεδράξατο τῶν τόπων ὁ δυνατὸς, ἀπαιτηθῇ καὶ καρποὺς χρόνων τριῶν. εἰ δὲ μετὰ δόσεως τιμήματος ἐν κατασχέσει τῶν τόπων ἐγένετο, μηδὲν παράσχῃ ὑπὲρ καρπῶν, ἀναργύρως τῶν τόπων ἐκδιωκόμενος.

[γ΄.] Ὅτι δυνατοὶ παρὰ πτωχῶν ὠνούμενοι ἀναργύρως

---

[1] Cod. πρὸς. [2] Cf. tit. VIII c. 1, ibique notam.

διώκονται, εἰ μὴ πρὸ τοῦ μεγάλου λιμοῦ γέγονεν ἡ ἐξώνησις ἀνεπιφώνητος.

[δ'.] Στρατιῶται μὲν παρὰ στρατούντων ὠνούμενοι διὰ τεσσαρακονταετίας ἀνεπιφωνήτως δεσπόζουσιν, ἐντὸς δὲ ταύτης περικόπτεται ἡ πρᾶσις ἀναδιδομένου τοῦ τιμήματος. ὡσαύτως καὶ ἐπὶ τῶν πολιτῶν.

[ε'.] Ἡ κατὰ βίαν πρᾶσις ἰσχύει τῆς τριακονταετίας παρελθούσης ἀνεπιφωνήτου. ἔσωθεν δὲ ταύτης ἀνατρέπεται καὶ τὸ τίμημα ἀντιστρέφεται, εἰ μὴ ὁ πράτης πένης ἐστίν.

[ϛ'.] Ὅτι[1] δυνατοῖς κατὰ πενήτων ἐξ ἀγράφου μαρτυρίας δεικνύειν οὐ συγχωρεῖται παρὰ τῆς νεαρᾶς[2].

[ζ'.] Ὅτι τὸ τοῦ δημοσίου δίκαιον χρόνῳ μὴ ἀποκλείεσθαι παρὰ τῆς νεαρᾶς[3] τετύπωται, ὁμοίως καὶ τὸ τῶν μεγάλων οἴκων, οἷον τῆς νέας τῶν πετρίων.

[η'.] Ὅτι καὶ νεαρὰ[4] ἐστὶ τοῦ κυροῦ λέοντος τοῦ βασιλέως, ἵνα μὴ κτίζῃ τὶς ἐν ταῖς χοροστασίαις, ἀλλ' εἰ μὲν ἐστὶν εὐρυχωρία, φεύγει τόξον βολὰς δύο, εἰ δὲ οὐκ ἐστὶ τέως, βολὴν τόξου μίαν. τοῦτο δὲ καὶ ὁ μάγιστρος ἔκρινεν, εἰπὼν αἰτίαν, ὅτι ὁ κτίζων καὶ βόας ἔχει καὶ ἵππους καὶ οἰκέτας, καὶ ἀνάγκη τούτους καταπατεῖν τὰ νεώματα, καὶ μὴ ἐᾶν τὰ σπειρόμενα τελεσφορεῖν.

[θ'.] Ὅτι ὅτε δυνατοὶ δικάζονται περὶ κτημάτων ἀνακοινώσεως ὄντων χωρίταις[5], τὰ μὲν οἰκεῖα αὐτῶν δημόσια ἤγουν τὰ ἐν τῷ ἰσοκωδίκῳ ἀναγραφόμενα ἕκαστος λαμβάνει, τὰ δὲ λοιπὰ τῶν δημοσίων, εἰ καὶ πολλὰ εἰσὶ καὶ σχεδὸν εἷς περιλέληπται[6] πολίτης, ἐκεῖνος δικαιοῦται ἔχειν πάντα τὰ τῶν χωρίων ἐκστίχια δημόσια, καὶ οἱ δυνατοὶ ἐκ τούτων μακρὰν ἀπελήλανται. καὶ τοῦτο ἔκρινε καὶ ὁ μάγιστρος ἐπιμέσον τοῦ ἐπισκόπου κρατείας καὶ τῶν κληρονόμων τοῦ πατρικίου εὐσεβίου εἰς τὸ χωρίον τῶν ῥυακίων.

[ι'.] Ὅτι ἐκίνησέ τις κατὰ τῆς μονῆς τῶν νησιῶν ὡς ἐχούσης πλείονα τόπια παρὰ τὸ τελούμενον δημόσιον ἐν τῷ χωρίῳ αὐτοῦ. οἱ δὲ τῆς μονῆς προεκόμισαν καὶ πρᾶσιν καὶ χρυσοβούλλας δωρεὰς ὑπερβαινούσας τὸν καιρὸν τῆς πρώτης νομοθεσίας τοῦ κυροῦ ῥωμανοῦ, προεκόμισαν δὲ καὶ ἰσοκώδικον ἔγγραφον, γράφων· „μέρος τρίτον τοῦ ἁγίου ζαχαρίου,

---

[1] Idem locus infra recurrit tit. XXIII c. 3. [2] Sc. Novella Basilii Bulgaroctoni.
[3] Intelligi videtur Nov. Basilii Bulgaroctoni, de qua videatur Mortreuil II p. 360.
[4] Nov. 71. Leonis Sapientis. [5] Cod. χωρίοις. [6] An περιλέλειπται?

μέρος τρίτον τοῦ μαλθοῦ," καὶ ἐπεζήτουν ἐκ τούτων καὶ τὸ τρίτον μέρος τοῦ χωρίου καὶ τὸν τόπον τοῦ δημοσίου, ὅπερ ἐν τῷ ἰσοκωδίκῳ τῶν χωρίων ἐτέλουν, ἢ γ' νομίσματα μιλλιαρήσια ις'. ὁ δὲ μάγιστρος ἔκρινεν· ἡ δικαίωσις τῆς μονῆς προγέγονεν, ἐφ' οἷς τε οἱ προκάτοχοι αὐτῆς ἔσχον μὲν ἐπὶ τοῖς δωρηθεῖσιν αὐτῇ, εἰ καὶ μὴ δημόσιον ἴδιον εἶχεν, ὡς τὸ νεαρὸν θέσπισμα τοῦ κρατοῦντος ἡμῶν βασιλέως[1] βούλεται· ἐκ δὲ τῆς τοῦ δημοσίου φράσεως καὶ δυνάμεως τὸ τρίτον μέρος πάλιν τῆς τοῦ χωρίου περιμέτρου[2] ταύτῃ λαμπρῶς φαίνεται προσῆκον, χρόνου μὴ ἐπιζητουμένου· μακρότερον γὰρ καὶ ἥλικα τοῦτον τῇ κηνσεύσει τὸ τῆς μονῆς παρίστησιν ἰσοκώδικον. ἀλλ' ἐπείπερ ἄνωθεν τῶν χρόνων οἱ προνοοῦντες τῆς μονῆς τὰ ἐκ διαφόρων δικαίων προσόντα εἰς ἓν συναγαγόντες καὶ τῷ τρίτῳ μέρει τοῦ χωρίου ἀρκεσθέντες ἐκείναντο[3], οὕτω καὶ πάλιν ἔδοξε δεῖν ἀρκεῖσθαι ταύτην ἐν τούτῳ, καὶ ἐρευνηθῆναι εἰ πλείονα δεσπόζει. οὕτως ἀπεφήνατο ὁ μάγιστρος, καὶ οὐχ εὑρέθη ἡ μονὴ πλέον τοῦ τρίτου μέρους τοῦ χωρίου κατέχουσα, καὶ κατεδικάσθη ὁ ἐνάγων.

[ια'.] Ὅτι ὁμωνυμοῦσι μὲν χωρία ἐν τοῖς θέμασι καὶ ἐν πολλαῖς διοικήσεσι, οὐ πάντα δὲ μιᾶς εἰσὶ δεσποτείας, ἀλλὰ ταῖς ἐνορίαις διαιροῦται καὶ ταῖς διοικήσεσι καὶ τοῖς ὑπάτοις.

ΤΙΤΛΟΣ ι'.

Περὶ συνηγόρων.

[α'.] Ὅτι καὶ συνηγορεῖν ὁ νόμος[4] ἐπιτρέπει πρωτοσπαθαρίῳ, ἀλλ' οὐ στρατιώτῃ καὶ δυνατοῖς ἀνδράσι, καὶ οὐδοτιοῦν λαμβάνειν λόγῳ μισθοῦ διακελεύεται. φησὶ γὰρ τὸν δεχόμενον εἰς προστασίαν τινὰ, κἂν συγκλητικός ἐστι, πλέον τοῦ διατεταγμένου τιμωρεῖσθαι.

[β'.] Ὅτι ὁ νόμος[5] ἀποτρέπει περὶ μισθοῦ συμφωνεῖν τοὺς δικολόγους, φάσκων, μηδὲ ἓν σύμφωνον ἢ συνάλλαγμα περὶ τῆς δίκης ποιεῖσθαι ἢ περὶ τῶν μισθῶν μετὰ τοῦ οἰκείου πρόσφυγος[6], μηδὲ [μετὰ] καταφρονήσεως εὐτελισμοῦ τοὺς προσφε-

---

[1] Scil. Nov. Basilii Bulgaroctoni. [2] Cod. videbatur habere περιμέπου.
[3] Vox corrupta. Forte ἔμειναν, vel ἐμύναντο. Literae κ et μ facile miscentur.
[4] Basil. VIII, 1, 15. [5] Basil. VIII, 1, 15. [6] Cod. πρόσφατος.

ρομένους δέχεσθαι μισθούς. ὥστε μόνους ἐκείνους ὀφείλει λαβεῖν τοὺς ὑπὸ αἵρεσιν διδομένους. καὶ βι. η΄ τί. α΄ κεφ. ιε΄ καὶ ις΄.

ΤΙΤΛΟΣ ια΄.

Περὶ ἐπερωτήσεων.

[α΄.] Τὸ λεγόμενον νόμιμον δύο ἐπερωτῶντας ἐνόχους γενεσθαι οὕτως ἡρμήνευσεν ὁ πατρίκιος λέγων[1]· τὸ ῥωμαϊκὸν δύο προμιτένδο ἔχει καὶ δύο στιπουλάνδο καὶ δύο ῥέους ἐπερωτῶντας. τὸ οὖν δύο ῥέους οὐ τοὺς ἐναγομένους μόνον, ἀλλὰ καὶ τοὺς ἐνάγοντας σημαίνει, καὶ ὡς ἑρμηνεύεσθαι τὸ ῥωμαϊκὸν οὕτως· δύο ἄνθρωποι κἄντε ἐνάγοντες κἄντε ἐναγόμενοι ἐπερωτῶντες ἔνοχοι γίνονται. οἱ δὲ ἐξελληνίσαντες τὰ νόμιμα, μὴ δυνηθέντες ἐκφράσαι τὸ ῥητὸν καὶ δηλῶσαι καὶ ἐναγομένους καὶ ἐνάγοντας, δύο ἐπερωτῶντας εἶπον[2], ὅπερ ἔχει ἐν ἑαυτῷ καὶ τὴν τοῦ ἐπερωτῶντος καὶ τὴν τοῦ ἐπερωτωμένου σημασίαν. ἄλλοι δὲ οὕτως ἡρμήνευσαν τὸ δύο ἐπερωτῶντας, ὥσπερ ὅτε εἴπω· ὁμολογεῖς μοι δανεῖσαι, εἰ δὲ μὴ δανείσεις, ὑποκεῖσθαι;

ΤΙΤΛΟΣ ιβ΄.

Περὶ ἐγγυωμένων γυναικῶν.

[α΄.] Ὅτι γυναικὶ ἐγγυωμένῃ βοηθεῖται[3], καταβαλοῦσα δὲ ὑπέρ τινος οὐκ ἀναλαμβάνει. τούτου τοῦ νομίμου τὸν νοῦν ὁ βέστης οὕτως ἑρμήνευσεν, ὅτι, ὅτε μὲν ἐγγυᾶται, ἢ ἀγνοεῖ τὸν νόμον τὸν περὶ τῶν ἐγγυητῶν καὶ ὡς γυνὴ συγγινώσκεται, ἢ γινώσκουσα τὸν νόμον ἐλπίζει βοηθεῖσθαι διὰ τοῦ νόμου· ἀρξαμένη δὲ ὑπὲρ τῆς ἐγγύης καταβάλλειν, καὶ μετὰ ταῦτα ἐπιζητοῦσα τὸ καταβληθὲν, οὐκ ἀναλαμβάνει. διατί; ὅτι ἐκ δύο ἁμαρτημάτων ἕλκεται καὶ ὡς ἐγγυησαμένη καὶ ἢ ἀγνοοῦσα τὸν νόμον ἢ δολερῶς ὑπελθοῦσα τὴν ἐγγύην, καὶ ὡς δυναμένη καὶ μετὰ τὴν ἐγγύην ἀντιλέγειν καὶ ὅτε τὴν ἀρχὴν εἵλκετο πρὸς ἀπαίτησιν μὴ[4] ἀντειποῦσα.

---

[1] Cod. λέων habere videtur. [2] Cod. εἰπεῖν. [3] Sc. τὸ δόγμα. Cf. Harm. III, 6, 6. [4] Cod. καὶ μή.

[β'.] Καὶ ἐστὶ κεφ. λϑ' τοῦ ζ' τί. τοῦ κς' βι.· „Εἰ μέντοι μέλλουσα γυνὴ ἀντιφωνεῖν καταβάλλει ἢ δώσει ἀντ' αὐτῆς ἕτερον χρεώστην, χώραν οὐκ ἔχει τὸ δόγμα· αἱ γὰρ ἔνοχοι γενόμεναι βοηθοῦνται, οὐ μὴν αἱ τὰ ἴδια μειώσασαι."

[γ'.] Καὶ κεφ. οα'[1]· „Ἡ γυνὴ καταβαλοῦσα ὑπέρ τινος οὐκ ἀντιφωνεῖ."

[δ'.] Καὶ κεφ. πε'[2]· „Ἐὰν ἀντιφωνήσασα γυνὴ μετὰ δύο ἔτη τῆς ἀντιφωνήσεως ἢ δεύτερον ἐπερωτηθῇ ἢ ἐγγυητὴν παράσχῃ, ἐκπίπτει τῆς ἀπὸ τοῦ δόγματος βοηθείας. εἰ δὲ εἴσω τῆς δεκαετίας[3] τῆς ἐγγύης ἓν ἐκ τούτων ποιήσει, δοκεῖ ὡς ἀπὸ τῆς παλαιᾶς πλάνης ὑπαχθεῖσα ἀντιφωνεῖν καὶ βοηθεῖται."

[ε'.] Ὅτι[4] γυνὴ χρυσίον ἔλαβε παρά τινος ἐπὶ τῷ δοῦναι τοῦτο, ὥστε ἀπολυθῆναι τὸν ἄνδρα αὐτῆς ἀπὸ τῆς φυλακῆς, καὶ ἀπαιτουμένη τὸ χρυσίον ἔλεγεν, ὅτι οὐκ ἐδανεισάμην ἐγὼ, ἀλλὰ τὸ μὲν χρυσίον εἴληφα, ὑπεσχόμην δὲ, ἵνα εἰ μὴ πληρώσῃ τοῦτο ὁ ἀνήρ μου ἐξερχόμενος ἐκ τῆς φυλακῆς, παράσχω τοῦτο αὐτὴ, καὶ ὡς ἐγγυησαμένη τὸν ἄνδρα οὐκ ὀφείλω εὐθύνεσθαι. καὶ ὁ βέστης ἐσημειώσατο· νόμος[5] φησί· „καὶ γυναῖκες ἀντιφωνοῦσαι ἐνέχονται, ἐν ᾧ μὴ ἰντερκεδεύουσιν." εἰ δὲ τὸ ὑπὸ τῆς πρωτοσπαθαρίας πραχθὲν οὐκ ἰντερκεσίων ἐστὶν, ἀλλὰ χρυσοὺς εἰληφυῖα ἐπὶ αἰτίᾳ νόμοις ἐγνωσμένῃ τὴν ἐκπλήρωσιν μεθ' ὅρκου ὑπέσχετο, πῶς ἂν λόγων εὑρήμασι κινηθῇ τις ἀπαλλάξαι ταύτην τῆς ἐνοχῆς; πολλοῦ γε καὶ δεῖ· ἐπεὶ καὶ νόμος[6] φησὶν ἕτερος· „ἐὰν ἀπατῶσα γυνὴ ἢ γινώσκουσα μὴ ἐνέχεσθαι ἀντιφωνήσῃ[7], οὐ βοηθεῖται." εἰ δὲ καὶ ἀντιφώνησις ἦν τὸ πραττόμενον, ᾔδει πάντως μὴ ἐνέχεσθαι· ἤκουε γὰρ τῆς εὐχῆς[8] λεγούσης δεδιέναι γυναικὶ πιστεῦσαι, ὥστε καὶ ὤμνυ καὶ τὴν προῖκα τῇ γυναικὶ καθυπεζεύγνυ· οὐ μὴν ἀλλὰ καὶ ἠπάτησε· τὸ δὲ τοῦτο δῆλον ἐξ ὧν καὶ .... ἑαυτὴν[9] φρικωδεστάτοις καθυπέβαλλεν.

[ϛ'.] Ὅτι γυνὴ μετά τινος ἐδανείσατο, καὶ τὸ δάνειον συνέστη μετ' ἀλληλεγγύου ἐνοχῆς, καὶ ἕλκοντος τοῦ δανειστοῦ τὴν γυναῖκα εἰς τὸ ὅλον χρέος, ἔκρινεν ὁ μάγιστρος καὶ ἠλευθέρωσε ταύτην τῆς ἐνοχῆς τῆς ἐγγύης, γράψας οὕτως· ὁ δανειστὴς τὸ χρέος ἅπαν ἐκ τῆς γυναικὸς ἐπεζήτει διὰ τὸ ἐγγεγράφθαι

---

[1] Apud Heimb. est c. 73. [2] Apud Heimb. c. 86. [3] Lege διετίας.
[4] Cf. Harm. I, 13, 12. [5] Basil. XXVI, 7, 1. [6] Basil. XXVI, 7, 61. [7] Cod. μὴ ἀντιφ. [8] Nempe hoc nomen mulieris est, quae numos suppeditaverat.
[9] Cod. corrupte: εἰς ὃν καὶ ἑαυτῷ. Deesse videtur προστίμοις vel simile quid.

τῇ ὁμολογίᾳ[1] ἑκάτερον πρόσωπον εἰς ὁλόκληρον εὐθύνεσθαι καὶ ἕκαστον ἀντὶ τοῦ ἑτέρου. ἀλλ' οὐ τῷ νόμῳ τοῦτο δοκεῖ, οὐδὲ τὸ δικαστήριον τὴν τοιαύτην προσήκατο πρότασιν[2]. ἐγγύης γὰρ ἁπάσης τὸ θῆλυ γένος ὁ νόμος ἀφῆκεν ἀνώτερον· ταὐτὸν δὲ ἐστὶν ἐγγύη καὶ ἀλληλέγγυος ἐνοχή· ὥστε οὐδὲ ἡ ἐντεθεῖσα τῷ ἐγγράφῳ περὶ τῆς ἀλληλεγγύου εἰσπράξεως συμφωνία[3]. τοῦτο δὲ τὸ νομικὸν ἐκ μονοπλεύρου κρατεῖν εἶχεν ἰσχύν. τῆς μὲν γὰρ γυναικὸς ἀπορούσης πρὸς τὴν ἡμίσειαν τοῦ χρέους ἔκτισιν, πρὸς ἀνάγκης ἂν ἦν τῷ Ἰωάννῃ καὶ εἰς ὁλόκληρον εὐθύνεσθαι· τούτου δὲ πρὸς καταβολὴν ἀτονοῦντος τοῦ ἡμίσεως, ἡ γυνὴ οὐδὲν πλέον τῆς ἐπιβαλλούσης αὐτῇ μερίδος ἐκτίννυσι. ὡς πρωτότυπος μὲν γὰρ εὐθύνην[4] ἔχει, τὸ δ' ἐξεγγυημένον μέρος ἀποδιοπομποῦσι ταύτης αἱ διατάξεις.

ΤΙΤΛΟΣ ιγ'.

Περὶ δεφενσιόνων.

[α'.] Ὅτι κατὰ φύσιν τοῖς συναλλάγμασιν ἕπεται ὁ δεφενσίων. ἀναγκάζεται γὰρ ὁ πωλήσας δεφενδεύειν τὸ πρᾶγμα, καὶ διὰ τοῦτο, εἰ μὲν οὕτως ἐκφωνηθῇ ἐν τῇ πράσει· πέπρακά σοι τὸν ἀγρὸν τὸν δεῖνα, μὴ προκειμένου τοῦ ὀνόματος τοῦ δεφενσίωνος, μετὰ δεφενσίωνος δοκεῖ πραθῆναι. εἰ δὲ πρόκειται καὶ τὸ ἄνευ δεφενσίωνος, ἡ τοῦ διπλοῦ μόνου ἐκ συμφώνου ἀπαίτησις ἀνῄρηται, τὸ δὲ ἁπλοῦν τοῦ τιμήματος ἀναδίδοται. καὶ διὰ τοῦτο ἐπινενόηται ἐν ταῖς ἐπιτροπικαῖς πράσεσι τὸ καὶ ἄνευ ἀντιστροφῆς τιμήματος· τότε γὰρ οὕτω γινομένου τοῦ συμφώνου οὔτε δεφενδεύειν ὁ πράτης οὔτε ἀναδιδόναι τὸ τίμημα ἀναγκάζεται. τὸ αὐτὸ δὲ καὶ ἐπὶ ἀνταλλαγῆς πράγματος καὶ κτήματος εὕροι τις γινόμενον, καὶ ἐπὶ παντὸς συναλλάγματος, ἔνθα δόσις καὶ ἀντίδοσις ἐστίν. εἰ γὰρ κἀκεῖ τοιοῦτόν τι συμφωνηθῇ, τὸ μὴ δεφενδεύειν τοὺς τὰς ἀνταλλαγὰς ποιησαμένους τὰ διδόμενα παρ' αὐτῶν, τὸ διπλοῦν φαίνεται μόνον κωλύεσθαι μὴ ἀπαιτεῖσθαι· ἐπεὶ καὶ ὑπὲρ αὐτοῦ τοῦ ἐκνικωμένου πράγματος ἀναγκάζεται ὁ συναλλάξας οὗ πρὶν ἦν τὸ πρᾶγμα, ἢ τὸ ἀντιδοθὲν ἀντιστρέφειν ἢ τὸ δίκαιον τίμημα.

---

[1] Cod. τὴν ὁμολογίαν. [2] Cod. πρόστασιν. [3] Videtur aliquid deesse. Supple κρατεῖ, nisi altius corruptela lateat. [4] Cod. εὐθύνειν.

[β′.] *Τινὲς ἐναγόμενοι περὶ δεφενσίωνος ἔλεγον κατὰ βίαν τὴν πρᾶσιν*[1] *πεποιηκέναι, καὶ ἐσημειώσατο ὁ μάγιστρος· ἐπεὶ δὲ οἱ αὐτάδελφοι λαβεῖν μὲν εἶπον τὸν τούτων πατέρα τὸ τίμημα, κατὰ βίαν δὲ τοῦτο πεπονθέναι καὶ τὴν πρᾶσιν πεποιηκέναι, τὴν παραγραφὴν ἀντιθέναι καλῶς δεδύνηνται, τυχὸν ἐκ τῶν*[2] *τῆς πράσεως εἰς δεφενσίωνα καθελκόμενοι καὶ διπλασίονα τῆς τιμῆς ἔκτισιν· καὶ συνιστῶντες τὴν παραγραφὴν νομίμως*[3]*, τὴν δὲ διπλασίονα διαδιδράσκουσι. τῷ*[4] *μὲν γὰρ ἐνάγοντι περὶ βίας ἕτεροι διεστιγμένως ἁρμόζουσι χρόνοι, τῷ δὲ ἐναγομένῳ καὶ διὰ παραγραφῆς ταύτην εἰσάγοντι ἰσομήκης τῇ ἀγωγῇ πρόσεστι χρόνος. ὥστε κἀνταῦθα εἴ τις ἐκ τοῦ ὁμοίου τέμνειν ἐθέλειοι τὰ ὅμοια, πρὸς μὲν τὸν δεφενσίωνα ἡ παραγραφὴ δεικνυμένη συμβαλεῖται τῷ πράτῃ, πρὸς δὲ τὸ ἁπλοῦν καὶ τοὺς τούτου τόκους ἀπὸ τοῦ καιροῦ τῆς ἐκνικήσεως τὸ παράπαν οὐ λυσιτελήσει. γίνεται γὰρ τὸ τίμημα, καὶ οὐ συγχωρεῖται κερδαίνειν ἑτέρου ζημιουμένου.*

ΤΙΤΛΟΣ ιδ′.

Περὶ διαθηκῶν.

[α′.] *Ἐάν*[5] *τις διαθήκην γράψῃ καὶ καταλείψῃ τινὰ κληρονόμον, καὶ γράψῃ ἔχειν πράγματα*[6] *τόσα καὶ χρυσίον τόσον καὶ τάδε καὶ τάδε ῥητῶς, τινὰ δὲ καταλείψῃ ἀμνημόνευτα, καὶ τῶν ἀμνημονεύτων ἀντιποιεῖται ὁ κληρονόμος· τῷ γὰρ ἀσωμάτῳ τῆς κληρονομίας ἐνεπάγησαν. ἐὰν δὲ διαθήκην γράφων τὶς ἐπίτροπον*[7] *ἐνστήσηται, καὶ γράψῃ ὅτι ἔχω τόδε καὶ τόδε, ἀφεὶς τινα ἀμνημόνευτα, τῶν ἀμνημονεύτων οἱ ἐξ ἀδιαθέτου συγγενεῖς κληρονομοῦσι, εἰ μήγε προσθήσῃ εἰς τὸ τέλος τῆς διαθήκης· ἐὰν δέ τίς μοι εὑρεθῇ ἀμνημόνευτος ὕπαρξις, βούλομαι καὶ ταῦτα διοικεῖν τὸν ἐμὸν ἐπίτροπον· εἰ γὰρ μὴ τοῦτο πρόσκειται, τὰ ἀμνημόνευτα οἱ συγγενεῖς λαμβάνουσι. πρὸς τοῦτο ἀντεμάχετο ὁ πρωτοασηκρῆτις πέτρος τῷ πατρικίῳ, ἀντιθεὶς, ὅτι οὐ δύναται παγανὸς καὶ ἐκ διαθήκης καὶ ἐξ*

---

[1] Cod. *πρᾶξιν*. [2] Verba *ἐκ τῶν* in Cod. bis posita sunt. [3] Deest aliquid, veluti *εἰ καὶ μὴ τὴν τοῦ τιμήματος ἀπόδοσιν*. Nisi particula *δέ*, quae sequitur, simpliciter delenda sit. [4] Cf. tit. VIII c. 26. [5] Cf. Harm. V, 1, 27, ubi citatur *Ῥωμ. ιδ′, α′.* [6] Cod. *ὑπὲρ πράγματος*. [7] Haec de novo illo tutelae genere, de quo infra tit. XVI c. 5, intellige dicta.

ἀδιαθέτου κληρονομεῖσθαι. ἔλυσε δὲ τοῦτο ὁ πατρίκιος λέγων· ὅτι ὅτε καταλείψει τινὰ[1] κληρονόμον τοῦτο λέγεται, ὅτε δὲ ἐξωτερικὸν ἐνστήσει ἐπίτροπον, οὐκ ἔχει χώραν τὸ νόμιμον.

[β΄.] Ὅτι[2] τὸ λέγειν τὸν νόμον, ὅτι ὁ ἀμνημόνευτος παῖς ῥήγνυσι τὴν διαθήκην, οὐ πᾶσαν τὴν διαθήκην ἀκυροῖ, ἀλλὰ τοσοῦτον καθ᾽ ὅσον περὶ τῶν ἐνστάσεων ἢ ὑποκαταστάσεων διαλαμβάνει. περὶ δὲ τὰ ἄλλα ἔῤῥωται.

[γ΄.] Ὅτι ὅτε γένηται διαθήκη, καὶ τῶν μαρτύρων τυχὸν τελευτησάντων ὀφείλει δέξασθαι βεβαίωσιν. εἰ μὲν περίεισι πέντε μάρτυρες, οὗτοι μόνοι ταύτην βεβαιοῦσι καὶ οὐ χρεία τῆς συγκρίσεως τῆς ὑπογραφῆς τῶν τελευτησάντων. εἰ δὲ μὴ περίεισι πέντε μάρτυρες, τότε οἱ μὲν ζῶντες αὐτοὶ διὰ αὑτῶν βεβαιοῦσι τὰς ὑπογραφὰς αὑτῶν· ἀντὶ δὲ τῶν τελευτησάντων προκομίσει ὁ φέρων τὴν διαθήκην ἀντισύγγραφον καὶ ἑτέρας ὑπογραφὰς αὐτῶν, καὶ τότε διὰ ταβελλιόνων καὶ τοῦ πριμμικυρίου αὐτῶν συγκρίσεως γινομένης βεβαιοῦνται. χρὴ δὲ ἑκάστη ὑπογραφῇ δύο τοῦ αὐτοῦ ἀνδρὸς προσφέρεσθαι ὑπογραφὰς ἐπὶ τοῖς τοιούτοις χάρταις οὔσας ὑπογεγραμμένας, ἔνθα αὐτὸς ὑπογράφων φησί· καὶ μαρτυρῶν ὑπέγραψα ἰδιοχείρως.

[δ΄.] Ὅτι ἐὰν ποιήσω διαθήκην καὶ γράψω τινὰ[3] ἐπίτροπον τῆς ἁπάσης μου περιουσίας, ἤμην δὲ κατὰ τὸν καιρὸν τῆς διαθήκης κατέχων περιουσίαν τυχὸν λιτρῶν δέκα, καὶ μετὰ ταῦτα ἐπεκτησάμην ἑτέρας λίτρας δύο, οὐ δύναταί τις διαμάχεσθαι πρὸς τὸν ἐπίτροπόν μου καὶ λέγειν, ὅτι δέκα μόνων λιτρῶν ἦν κύριος ὁ διαθέμενος. τοῦτο γὰρ ἀναγκάσει πάντως ἐναλλάσσεσθαι τὰς διαθήκας, καθ᾽ ἡμέραν γὰρ καὶ ἀπορία ἐπιγίνεται καὶ εὐπορία. ὥσπερ εἰ γράψω τινὰ κληρονόμον εἰς λίτρας ρ΄, εἶτα ἐκ περιστάσεως εἰς δέκα λίτρας περιστῇ ἡ ὑπόστασίς μου, οὐκ ἐστὶν εὐχερὲς αὐτῷ τὰς ἑκατὸν λίτρας ἐρευνᾶν. ἐπειδὴ καὶ ὁ νόμος[4] οὕτω φησί· „γράφουσιν ἄνθρωποι καὶ πλείονα καὶ ἥττονα ὧν ἔχουσιν."

[ε΄.] Ὅτι ἐπὶ τῆς βεβαιώσεως τῆς διαθήκης, ἐὰν μὲν ὄντων ἑπτὰ ὑπογεγραμμένων μαρτύρων οἱ δύο τελευτήσωσι, δύναται βεβαιωθῆναι διὰ τῶν πέντε τῶν περιόντων· εἰ δὲ πάντες ζῶσι, οὐ δύναται βεβαιωθῆναι, εἰ μὴ πάντες ἔλθωσι καὶ μαρτυρήσωσι. καὶ τοῦτο ὁ πατρίκιος ὁ ἀλωπὸς ἐποίει· καὶ δεκαπέντε γὰρ μαρτύρων ἢ καὶ ἐλαττόνων ὑπογεγραμμένων

---

[1] Videtur deesse συγγενῆ. [2] Cf. tit. LXVII c. 2. [3] Cod. videbatur habere γράψη τόν. [4] In Basil. nostris non invenio.

ὄντων[1] ἐν διαθήκῃ καὶ ζώντων πάντας παρίστα, καὶ οὕτως ἐδίδου τὸ χιστὸν[2] τῇ διαθήκῃ. ὁ δὲ μάγιστρος ἀντέλεγεν εἰς τοῦτο, καινοτομίαν εἶναι τὸ πρᾶγμα νόμου[3] ἐνιστάμενος.

[ϛ΄.] Ὅτι[4] οὔτε τῷ πολιτικῷ νόμῳ οὔτε τῷ πραιτωρίῳ οὔτε τῇ αὐθεντίᾳ τῶν διατάξεων ἰσχὺν ἔχει ἡ παρὰ τριῶν μόνων ὑπογραφεῖσα διαθήκη, ἀλλ' οἱ ἐξ ἀδιαθέτου καλούμενοι χώραν ἔχουσιν εἰς τὴν τοῦ κλήρου κατάσχεσιν. καὶ εἴπερ εἰσὶν ἐκ πλαγίου ἤγουν ἐξάδελφοι οὐχὶ κατὰ σειρὰν καλοῦνται, ὅπερ ὁ ῥωμαῖος ἰν κάπιτά φησιν, ἀλλὰ διαιροῦνται τὸν κλῆρον, πρότερον τῆς ὅλης περιουσίας τοῦ τρίτου ἀφοριζομένου εἰς ψυχικὸν τοῦ τελευτήσαντος[5].

[ζ΄.] Ὅτι ὅτε ὕπεισι τῷ τελευτήσαντι παῖδες, καὶ προβαίνει ἄνοιξις τῆς διαθήκης, τότε ὀμνύειν ὀφείλουσιν οἱ μάρτυρες καὶ βεβαιοῦν αὐτήν.

[η΄.] Ὅτι τό· εἴη τοὺς τρεῖς χρόνους περιέχει. καὶ τοῦτο δηλοῖ τὰ ἐν τῇ διαθήκῃ γραφόμενα, ὡς τὸ ὅσα εἴη ἔχων ὁ δοῦλος ἐχέτω. καὶ ὅσα γὰρ μετὰ τὴν ποίησιν τῆς διαθήκης κτήσεται, ἕξει.

[θ΄.] Ὅτι[6] υἱὸς τελευτῶν καὶ διαθήκην γράφων οὐ τὰ εἰκότα τὴν φύσιν ἐθεράπευσεν, ἀλλὰ ῥαθύμως τό γε πρὸς τοὺς φύσαντας αὐτὸν ἥκων καὶ παρακεκλιμένως διέθετο δι' εὐτελῶν λεγάτων τούτων ἐπιμνησθεὶς, καὶ ὥσπερ αἰτίαν τοῦ μὴ καὶ πλειόνων τούτους ἀξιοῦν ἀπέδωκε τὸ πρὸς τὸ μηδὲν παρ' αὐτῶν ἀπενέγκεσθαι πώποτε, καὶ πολλὰ πάνυ τούτοις περιὼν χορηγῆσαι. ἀλλὰ τὸ ἡμαρτημένον ἐκείνῳ δικαστικὴ τοῦ μαγίστρου διωρθώσατο ψῆφος, τὸ τρίτον τῆς πάσης περιουσίας τούτου τὸν πατέρα καὶ τὴν μητέρα νομικαῖς ἐπιταγαῖς ἀπολαβεῖν δικαιώσασα. ὁ γὰρ νόμος[7] φησί· „μὴ ἐξεῖναι τοῖς πατράσι ἀποκλήρους ἢ ἀμνημονεύτους ποιεῖν τοὺς παῖδας, κἂν διὰ λεγάτου ἢ ἀποκαταστάσεως ἢ δωρεᾶς ἢ ἄλλου οἱουδήποτε τρόπου τὴν ὀφειλομένην αὐτοῖς μοῖραν παράσχοιεν.“ ἔπειτα δὲ καὶ περὶ τῶν διαθηκῶν τῶν παίδων φησί· „θεσπίζομεν μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀμνημονεύτους καταλιμπάνειν ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων, ἐν οἷς[8] ἔχουσι διατίθεσθαι, τούτους ἀλλοτρίους ποιεῖσθαι, εἰ μὴ τὰς αἰτίας, ἃς ἀριθμοῦμεν, ἐν ταῖς ἰδίαις ἰδικῶς ἐγγράψαιεν

---

1 Cod. τῶν. 2 An βιστόν i. e. Visum? 3 Cod. νόμον. 4 Cf. cap. 23 infra h. t. 5 Cf. infra tit. XLVIII c. 3 et 10. 6 Cf. Harm. V, 9, 13, ubi dicitur hic locus esse ἐκ τοῦ περὶ διαθηκῶν, et citatur tit. 14 c. 12. 7 Nov. 115 c. 3. 4. 8 Adde ἐξουσίαν.

διαθήκαις.“ καὶ κατὰ μέρος εἰπὼν τὰς τῆς ἀχαριστίας αἰτίας τέλος ἐπάγει· „εἰ δὲ μὴ ταῦτα παραφυλαχθείη μηδεμίαν [δύναμιν τὴν τοιαύτην] διαθήκην τό γε εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἔχειν θεσπίζομεν, ἀλλ' ἀνατρεπομένης τῆς διαθήκης τοῖς ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν καλουμένοις τὰ ἐκείνου πράγματα δίδοσθαι διατυποῦμεν, τῶν λεγάτων δηλονότι εἴτε ἀποκαταστάσεων καὶ ἐλευθεριῶν καὶ τῶν δόσεων τῶν ἐπιτρόπων καὶ τῶν ἄλλων κεφαλαίων, καθάπερ ἀνωτέρω εἴρηται, την ἰδίαν ἐχόντων ἰσχύν.“

[ι'.] Ὅτι ὁ υἱὸς ποιήσας διαθήκην, καὶ μή τινα μὲν κληρονόμον ἐνστησάμενος, τὴν δὲ πᾶσαν περιουσίαν εἰς ψυχικὰ καὶ λεγάτα διαμορίσας, καὶ τοὺς ἰδίους γονεῖς τοῦ φαλκιδίου ἀποστερήσας, καὶ μὴ εἰπὼν αἰτίας ἐγνωσμένας τῷ νόμῳ, οὐκ ἠκούσθη. καὶ ἐσημειώσατο ὁ μάγιστρος οὕτως· ἐν ταύτῃ τῇ διαθήκῃ ἔνστασιν μὲν οὐκ ἦν εὑρεῖν, ἣν ὁ νόμος ἐπὶ τῶν τοιούτων ἀκυροῦν οἶδεν. ὧν δὲ νόμος περιέχεται, λεγάτων φημὶ καὶ ψυχικῶν, τούτων εἰκότως καὶ ἡ δικαστικὴ ψῆφος ἐφείσατο, μόνον ἀναπεπληρωκυῖα τοῖς πατρᾶσι τοῦ πατρίου φαλκιδίου τὸ ἐνδεές. φησὶ γὰρ ὁ νόμος[1]· „ἐπειδὴ ἐν ταῖς πρώταις διατάξεσιν ἐκεῖνο ὡρίσαμεν, ἵνα εἴ τι ἔλαττον τοῦ νομίμου μέρους τούτοις κατελείφθη, εἴ τινες ἐκ τῶν ἀρχαίων νόμων τὴν περὶ ἀκαθηκούσης διαθήκης ἀγωγὴν κινεῖν ἐδύναντο, ἀναπληρωθῇ, καὶ ἵνα μὴ τῇ προφάσει τῆς ἐλάττονος ποσότητος ἡ διαθήκη ἀνατρέπηται, διὰ τοῦτο ἐν τῷ παρόντι προστεθῆναι θεσπίζομεν, ἵνα ἐάν τισι αἱρέσεσιν ἢ ὑπερθέσεσιν ἢ ἄλλῃ τινὶ διατυπώσει ὑπέρθεσιν ἢ τρόπον ἢ ἄλλο βάρος εἰσαγαγούσῃ τὰ δίκαια ἐκείνων, οἵτινες εἰς τὴν μνημονευθεῖσαν ἀγωγὴν ἐκαλοῦντο, σημαιωθῆναι[2] δόξωσιν, αὕτη ἡ αἵρεσις ἢ ἄλλη διατύπωσις τὴν ἀναβολὴν ἢ τὸ οἱονδήποτε βάρος εἰσάγουσα ἀναιρεθῇ, καὶ οὕτω τὸ πρᾶγμα προβῇ, ὡς ἂν εἰ μηδὲν αὐτῶν τῇ διαθήκῃ προσέκειτο.“ οὐκοῦν τῆς ἐν τῇ διαθήκῃ ἐπ' ἐλαττώσει τοῦ τοῖς γεννήτορσιν ἐποφειλομένου περιπλακείσης[3] ἀφορμῆς μηδὲ γραφῆναι τὴν ἀρχὴν λογισθείσης, εὖ καὶ κατὰ καιρὸν ἔδοξε τὴν ἐκ τοῦ φαλκιδίου τοῖς πατρᾶσιν ἀναλογίαν ἀνασωθῆναι.

[ια'.] Ὅτι ἀνασφραγισμὸν τῆς διαθήκης οὕτως ἐποιήσατο ὁ μάγιστρος. προσεκαλέσατο τὸν κοιαίστωρα καὶ τοὺς ἀντιγραφεῖς πάντας[4] καὶ τοὺς νοταρίους καὶ ἑτέρους μάρτυρας,

---

[1] Basil. XXXIX, 1, 54. [2] Forte ζημιωθῆναι. Basil.: μειωθῆναι. [3] Cod. περιπλακήσας. [4] Cod. ἀντιγράφων εἰς πάντα habere videbatur.

καὶ ἐνώπιον αὐτῶν προσεκομίσθη ἡ διαθήκη μηδενὸς παρόντος μάρτυρος τῶν ἐν αὐτῇ ὑπογραψάντων· καὶ ἐσημειώσαντο οἱ νοτάριοι τοῦ κοιαιστωρίου τὴν ἡμέραν, καθ' ἣν ἐγένετο ὁ ἀνασφραγισμὸς, καὶ τὸν τόπον, ἐν ᾧ, καὶ τοὺς μάρτυρας, ὧν ἐνώπιον προεκάθισαν, καὶ τοὺς μάρτυράς τοὺς γεγραμμένους σφραγῖσιν ἐν τῇ διαθήκῃ· εἶτα ἐκόπη τὸ λίγανον μετὰ τῶν σφραγίδων, καὶ ἀνεγνώσθη ἡ πᾶσα ὑφὴ τῆς γραφῆς, καὶ ἐγένετο τὸ ἶσον. καὶ τότε ἐνεβλήθησαν καὶ πρῶται σφραγῖδες ἔσωθεν ταύτης τῆς διαθήκης, καὶ ἔξωθεν ἐδέθη ἑτέρῳ λίνῳ μετὰ τῶν πρώτων σφραγίδων, καὶ ἐσφράγισαν ταύτην οἱ νῦν παρακληθέντες μάρτυρες, καὶ ἔγραψαν ἕκαστος ἐν τῇ σφραγῖδι· σφραγὶς ἐμοῦ εἰμὶ τοῦ δεῖνος, ἵνα ὑπάρχῃ φανερὸν, ὅτι αὐτὸς ἐκεῖνος ἐσημειώσατο τὸ ὄνομα αὐτοῦ. ἔσωθεν δὲ ταύτης οὐχ ὑπεῖραν[1]. ἐβούλλωσε δὲ ταύτην ὁ κοιαίστωρ, καὶ οὕτως γέγονεν ὁ ἀνασφραγισμός.

[ιβ'.] Ὅτι δευτέρα διαθήκη φαινομένη τὴν μὴ φαινομένην πρώτην ἢ καὶ φαινομένην ἀνίσχυρον ποιεῖ, ἕως ἂν ἡ δευτέρα ἀκυρωθῇ. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος ἐπὶ τῇ δίκῃ τοῦ καπιχαβῆ, καὶ τέθεικε νόμιμον βιβλ. λθ'[2]· „Ἡ παράνομος λέγεται διαθήκη[3], ὅτε δευτέρα γένηται, ἐξ ἧς ἐδύνατό τις κληρονομῆσαι, ἢ ὑπεξούσιος ἐπιτεχθῇ· ἄκυρος διαθήκη ἐστὶν, ὅτε μὴ κληρονομεῖται ἡ κληρονομία.“[4]

[ιγ'.] Ὅτι ἡ δευτέρα διαθήκη, κἂν ἐπὶ δήλοις πράγμασι σχῇ τὴν ἔνστασιν, ἔῤῥωται καὶ τὴν πρώτην ἀνατρέπει.

[ιδ'.] Ὅτι πολλάκις ἀτελὴς δευτέρα διαθήκη ἀμαυροῖ τὴν τελείαν πρώτην. καὶ κεφ. [β'][5]· „Ἡ ἀτελὴς δευτέρα τὴν πρώτην οὐ ῥήσσει, εἰ μὴ στρατιωτική ἐστι ἢ εἷς ἐν αὐτῇ τῶν ἐξ ἀδιαθέτου γέγραπται.“

[ιε'.] Ὅτι μαρτυρούντων τινῶν ὑπογράψαι ἐν διαθήκῃ, καὶ μεμνῆσθαι δύο τυχὸν ἢ τριῶν πράξεων τοῦ διαθεμένου, περὶ δὲ τῶν ἄλλων ἀγνοεῖν, οὐκ ἐδέξατο ὁ μάγιστρος τὴν τοιαύτην μαρτυρίαν εἰς βεβαίωσιν τῆς διαθήκης, εἰπών· νόμος[6] ἐστὶ, ὅτι ὅτε[7] τὶς πολλὰ εἰπὼν, βουλόμενος δὲ καὶ ἕτερα εἰπεῖν διακοπῇ τὴν φωνὴν, οὐδὲ τὰ προεκπεφωνημένα ἐνεργά εἰσι διὰ τὸ τελευτῆσαι τὸν ἄνθρωπον.

[ις'.] Ὅτι ὁ δεῖνα ὁ πατρίκιος διέθετο, καὶ ἔγραψε

---

[1] An ὑπέγραψαν? [2] Cod. λε'. Est Basil. XXXIX, 2, 1. 2. [3] Quaedam omissa sunt, quae huc non pertinerent. [4] Cod. addit καὶ κεφ. [5] Basil. XXXIX, 2, 2. [6] Basil. XXXV, 1, 25. [7] Cf. Harm. V, 1, 11, ubi citatur Ῥωμ. ιδ', ιζ'.

τὴν δευτέραν αὐτοῦ γαμετὴν κυρίαν καὶ ἐξουσιάστριαν τῆς πάσης αὐτοῦ περιουσίας. εἶχε δὲ οὗτος ἐκ πρώτου γάμου θυγατέρα, ἥτις εὑρίσκεται πολλῷ ἐλάττονα λαβοῦσα τῆς μητρυᾶς. καὶ ἐσημειώσατο ὁ μάγιστρος οὕτως· ὅτι ὁ διαθέμενος, εἰ καὶ βαρβαρικοῦ γένους ἦν, ἀλλὰ τῇ ῥωμαϊκῇ βασιλείᾳ προσεληλυθὼς καὶ ἀξιώματι μεγάλῳ τιμηθεὶς καὶ πολλῶν δωρεῶν ἀξιωθεὶς, ἀνάγκην εἶχε τοῖς ῥωμαίων ἕπεσθαι νόμοις καὶ μὴ ἐθνικῶς[1] διατίθεσθαι. εἰ γὰρ καὶ μὴ ᾔδει τὴν τῶν νόμων ἀκρίβειαν, ὅμως εἶχε τοὺς ὀφείλοντας ἐρωτᾶσθαι καὶ διδάσκειν τὸ δέον αὐτόν. καὶ διὰ τοῦτο πρὸς τὴν νομικὴν ἀκρίβειαν καὶ γνώμην τὰ τῆς διαθήκης ἰθύνθη.

[ιζ΄.] Καὶ βι. κα΄. τί. α΄ κεφ. α΄[2]· „Οἱ ἄρχοντες ἑκάστου τόπου μαρτυροῦσιν ἐν διαθήκῃ καὶ παρασκευάζουσιν ἄλλοις μαρτυρεῖν.“

[ιη΄.] Καὶ κεφ. ιγ΄[3]· „Ὁ καταδικασθεὶς ἄρχων τῷ περὶ ἀδικίας δικαστῶν ἢ ἄρχοντος οὐ μαρτυρεῖ ἐν διαθήκῃ.“

[ιθ΄.] Καὶ κεφ. ιε΄[4] τοῦ [α΄ τί. τοῦ] κα΄ βι. Ὅτι[5] „πατὴρ καὶ υἱὸς ὑπεξούσιος καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι [δύνανται μαρτυρεῖν ἐν τῇ αὐτῇ διαθήκῃ].“

[κ΄. Καὶ κεφ. ιγ΄· „Ὁ καταδικασθεὶς τῷ περὶ μοιχείας ἐγκλήματι οὐ μαρτυρεῖ. καὶ ἐὰν ἐν διαθήκῃ] μαρτυρήσῃ[6], ἄκυρός ἐστιν ἡ διαθήκη καὶ πολιτικῶς καὶ πραιτωρίως.“ Ἠρώτησα ἐγὼ τὸν μάγιστρον· τί οὖν; εἰ πέντε ὄντων μαρτύρων ὁ εἷς ἐλεγχθῇ μοι, καλῶς ἀκυροῦται ἡ διαθήκη ὡς τοῦ ἀριθμοῦ ἐλλείποντος; εἰ δὲ τυχὸν ἐννέα μάρτυρες ἢ ἑπτὰ ἐν διαθήκῃ ὑπέγραψαν, ἐκ τούτων τοῦ ἑνὸς ἐλεγχομένου μοιχοῦ ἀκυρωθήσεται ἡ διαθήκη καὶ οὐ καρποῦσιν οἱ ἓξ ἢ ὀκτὼ ἀδιάβλητοι μάρτυρες βεβαιῶσαι ταύτην; καὶ εἶπεν οὗτος ὅτι καλῶς ἐξεφωνήθη τὸ νόμιμον. οὐ γὰρ εἶπεν, ὅτι[7] ἐλεγχόμενος μοιχὸς ὕστερον μετὰ τὴν ποίησιν τῆς διαθήκης ἀκυροῖ ταύτην σωζομένου τοῦ ἄλλου ἀριθμοῦ τῶν μαρτύρων, ἀλλ᾽ οὕτως εἶπεν· „ὁ καταδικασθεὶς τῷ περὶ μοιχείας οὐ μαρτυρεῖ.“ ἐὰν οὖν τις καταδεδικασμένος ὢν τῷ περὶ μοιχείας ἐγκλήματι καὶ γινωσκόμενος προσκληθῇ παρὰ τοῦ διατιθεμένου ἢ παρὰ τῶν ἑτέρων μαρτύρων καὶ ὑπογράψῃ ἐν διαθήκῃ, ἀκυροῖ ταύτην. φανερὸν γάρ ἐστιν, ὅτι χρήσιμοί τινες καὶ εὐϋπόληπτοι ὄντες

[1] Cf. tit. LIV c. 6. [2] Apud Heimbach. est c. 21. [3] Apud Heimbach. est c. 14. [4] Apud Heimbach. est c. 16. [5] Cod. Ὅτι ὅπου. [6] Cod. μαρτυροῦσιν. [7] Cod. εἰ ὁ.

οἱ λοιποὶ ἢ καὶ ὁ διαθέμενος οὐκ ἂν τὸν προφανῶς τοιούτῳ ἐγκλήματι καταδικασθέντα παρεδέξαντο συνυπογράψαι αὐτοῖς, καὶ διὰ τὴν τοιαύτην ὑπόληψιν ἀκυροῦται ἡ διαθήκη. τὸν γὰρ καταδικασθέντα φησὶν ἐπὶ μοιχείᾳ μὴ μαρτυρεῖν, τουτέστι τὸν γινωσκόμενον μοιχὸν καὶ φανερὸν ὄντα, οὐ τὸν λανθάνοντα.

[κα΄.] Ὅτι ἡ διαθήκη κοινόν ἐστι δικαίωμα, καὶ ἐπιζητουμένῳ ἐμφανίζεται. πλὴν ὁ μάγιστρος ἐψηφίσατο, ἵνα ὁ ἐπιζητῶν τὴν τοιαύτην ἄνοιξιν καὶ βεβαίωσιν, εἰ μὲν ἀληθῶς φανῇ λέγων καὶ εὑρεθῇ οὕτως ἔχουσα ἡ διαθήκη καθὼς καὶ αὐτὸς λέγει, οἷον λεγάτον ἐπιζητῶν ἢ ἕτερόν τι, μὴ εὐθύνεται· εἰ δὲ μὴ εὑρεθῇ γεγραμμένον τὸ ἐπιζητούμενον παρὰ τοῦ ἐνάγοντος, ζημιοῦται τὰ εἰς βεβαίωσιν τῆς διαθήκης ἀναλωθέντα. ἀλλὰ καὶ τὸ ἶσον ταύτης μὴ πᾶν δίδοσθαι τῷ ἐνάγοντι, ἀλλ' ἀναγινώσκεσθαι τὴν πᾶσαν ὑφὴν τῆς διαθήκης ἐπὶ τοῦ δικαστηρίου, καὶ τὸ συμβαλλόμενον μόνον τῷ ἐνάγοντι ῥητὸν μεταγράφεσθαι καὶ δίδοσθαι. πολλὰ γὰρ ἐκ τούτου γίνονται ἐναντία ἐκφόρων γινομένων τῶν γραφομένων.

[κβ΄.] Ὅτι μὴ ἔχων τὶς οἰκείαν περιουσίαν, ἀλλὰ θυγατρὸς αὐτοῦ καὶ γυναικὸς προτελευτησάσης ὕπαρξιν, καὶ γράφων διαθήκην κατέλιπεν ἐπίτροπον τὸν καθηγούμενον τῆς νέας κώμης, καὶ τὴν περιουσίαν τῆς θυγατρὸς πρὸς τὴν μονὴν κατέλιπε. τὴν τοιαύτην διαθήκην βεβαιωθεῖσαν ὑπὸ τοῦ ξηροῦ ὁ μάγιστρος ἀνέτρεψε, γράψας οὕτως· τοιαύτην οὐκ ἐξῆν δικαστῇ παραδέξασθαι διαθήκην. κἂν γὰρ ἰδίαν ἀκίνητον ὑπόστασιν ὁ διαθέμενος ἐκέκτητο καὶ βεβαίως διέθετο, ὅμως τὸ δυνατὸν πρόσωπον τῆς τούτου διαδοχῆς πολλοῖς νόμων τρόποις ἀπελαυνόμενον ἀνίσχυρον τὴν διαθήκην ἀπετέλει. ὅπου δὲ καὶ ἐπ' ἀλλοτρίοις καὶ ὀρφανικοῖς προέβη ἡ διάταξις[1] καὶ δυνατὸς ἐκλήθη πρὸς τὴν διαδοχὴν, οὐκ ἔδει τὸν δικαστὴν ἐν μέσῳ πενήτων, ᾧ οὐκ ἐξῆν, ἀφεῖναι κληρονομίαν. ἐκρίθη τοιγαροῦν τὴν μὲν ὀρφανὴν μηδεμίαν ὑποστῆναι περιγραφὴν ἐπὶ τοῖς μητρῴοις αὐτῆς πράγμασι, τὴν δὲ ἐπιτροπὴν ἐπιτιθέναι τῷ πάππῳ ταύτης καὶ τῇ μάμμῃ.

[κγ΄.] Ὅτι ὁ μάγιστρος εὑρὼν διαθήκην ὑπὸ τριῶν μόνον σφραγισθεῖσαν, οὐ παρεδέξατο ταύτην, γράψας οὕτως· οὔτε[2] τῷ πολιτικῷ οὔτε τῷ πραιτωρίῳ νόμῳ οὔτε τῇ αὐθεντίᾳ τῶν διατάξεων ἰσχὺν ἔσχεν ἡ ἐμφανισθεῖσα διαθήκη. οὐδὲ γὰρ αὐτάρκης ἀριθμὸς μαρτύρων ἐν αὐτῇ παρελήφθη, οὐθ' ὑπο-

---

[1] Forte διαθήκη. [2] Cf. cap. 6 supra h. t.

γραφαὶ ἦσαν ἐπὶ τούτῳ, ἀλλὰ τρεῖς μόναι σφραγῖδες ἐπέκειντο τῷ χάρτῃ.

[κδʹ.] Ὅτι συνεκλήθησαν τινὲς μάρτυρες εἰς διαθήκην. εἶτα ὁ μὲν εἷς ὑπέγραψεν, ὁ ἕτερος σταυρὸν μόνον ἐχάραξεν, ἕτεροι δὲ τρεῖς μετὰ τὸ τὴν φωνὴν ἐκκοπῆναι τοῦ διαθεμένου καὶ τὰς φρένας ἀλλοιωθῆναι ἐλθόντες καὶ τοῖς δυσὶ πιστεύσαντες ὑπέγραψαν καὶ ἐσφράγισαν. καὶ ἔγραψεν ὁ μάγιστρος, ὡς μὴ κατὰ νόμον ἡ διαθήκη γενομένη οὔτε βεβαίωσιν ἐδέξατο οὔτε τὰ ἐξ ἀδιαθέτου δίκαια τῶν καλουμένων παρέβλαψεν.

ΤΙΤΛΟΣ ιεʹ.

Περὶ μισθωτιῶν καὶ μισθώσεων [ἱερῶν][1] οἴκων καὶ λοιπῶν προνομίων αὐτῶν.

[αʹ.] Ὁ μισθωτὸς μὴ καταβάλλων τὸ μίσθωμα ἐπὶ μὲν πολιτικῶν πραγμάτων καὶ κοσμικῶν τὸν τρίτον ἔχει ἐνιαυτὸν ἐξεοῦντα τοῦτον τῆς μισθώσεως, ἐπὶ δὲ τῶν ἐκκλησιαστικῶν τὸν διετῆ χρόνον.

[βʹ.] Ὅτι παροίκους εὑρισκομένους ἀδιακόπως νεμηθέντας τὰ τῆς παροικίας αὐτῶν τόπια καὶ τὸ πάκτον διδόντας ἐπὶ τριακονταετίᾳ, ὁ βέστης ἔλεγε μὴ ἔχειν τὸν δεσπότην ἰσχὺν ἐκδιώκειν αὐτούς. δοκοῦσι γὰρ οὗτοι ὡς δεσπόται μὲν τῶν τόπων διὰ τῆς χρονίας νομῆς, ἀνάγκην δὲ ἔχουσι παρέχειν τὸ πάκτον. τοῦτο δὲ ἔλεγεν ἀκούσας καὶ τοῦ μακαρίτου βασιλέως κυροῦ βασιλείου τοὺς ἰδίους παροίκους πυκνῶς ἀποκινεῖν.

[γʹ.] Ὅτι ὁ μισθωσάμενος ἐπὶ πενταετίᾳ καὶ πληρώσας τὴν μίσθωσιν καὶ νεμηθεὶς ἐπὶ μῆνα τυχὸν ἢ δύο, ἀναγκάζεται πληρῶσαι τὸν ἐνιαυτόν. μετὰ μέντοι τὴν μίσθωσιν εἰ ἐπιμείνοι ὁ μισθωτὸς κατέχων τὸν ἀγρὸν ἐπὶ τριακονταετίᾳ, οὐκ ἐκβληθεὶς παρὰ τοῦ δεσπότου, δεσπόζει. καὶ ἔλεγεν ὁ βέστης, ὅτι, ὅτε τὶς μισθώσεται ἐπὶ χρόνοις ῥητοῖς, μετὰ τὴν τῶν χρόνων συμπλήρωσιν βοηθεῖται τῇ τριακονταετίᾳ εἰς τὸ δεσπόσαι· ὅτε δὲ μισθώσεται ἐπὶ τῷ αὐτῷ προσώπῳ ἢ τυχὸν δυσὶν ἢ τρισὶν, εἰ μὴ πληρωθῇ ὁ ὅρος καὶ συμπαρέλθῃ ἡ τριακονταετία,

---

[1] Ex Indice supplevi. Ibi hic titulus post titulum sequentem περὶ ἐπιτρόπων collocatus est, ut sit tit. 16.

οὐ δεσπόζει· εἰς ἀμφότερα δὲ δίδωσι τὰ μισθώματα. οἱ δὲ πάροικοι ἡμῶν ἐπὶ τριάκοντα ἐνιαυτοῖς κατέχοντες τὴν γῆν καὶ μὴ μεταθέντες, δεσπόζουσιν εἰς τὸ μὴ ἐκβάλλεσθαι τῆς στάσεως ἧς ἔχουσι· παρέχουσι μέντοι τὸ μίσθωμα κατὰ[1] τὴν βίβλον τῶν βασιλέων τίτλ. α΄ διατ. ιη΄, ὅπερ ἐστὶ τῶν κωδίκων βιβλ. ια΄ τίτλ. μη΄. ἑρμηνεύει δὲ εἰς τοῦτο καὶ ὁ ϛέφανος[2]. ἐστὶ δὲ καὶ μελέτη τοῦ βέστου ἐν τῇ τοιαύτῃ ὑποθέσει, ὅτε ἐδικάζετο ὁ νικαίας, ὅτε καὶ τὸ ὑπόμνημα τοῦ πατρικίου νικολάου ἀνετράπη, καὶ ζήτει τὴν μελέτην.

[δ΄.] Ὅτι ἡ μονὴ τοῦ πιπεράτου ἐξ ἀρχῆς οἶκος ἦν κοσμικοῦ τινος, ὃς ἐδωρήθη εὐλαβεῖ τινι μοναχῷ, καὶ οὕτως σεμνεῖον τοῦτο ποιήσας τῷ κυρῷ ῥωμανῷ τῷ γέροντι πρὸ τοῦ βασιλεῦσαι δέδωκε. καὶ οὗτος μετὰ τὴν ἀρχὴν ἐπὶ μέγα αὐτὴν ἐπῆρε καὶ μαριανῷ πρωτοβεστιαρίῳ ὄντι ταύτην δέδωκε, οἷον[3] καὶ αὐτὴν καὶ τοὺς αὐτῆς ὡς βούλεται καὶ ἐφεξῆς. ὕστερον δὲ ὁ πατριάρχης κῦρος νικόλαος[4] ἐζήτει τὴν μονὴν ἐπὶ[5] τὰ πατριαρχικὰ δίκαια ὑποποιήσασθαι. ὁ δὲ κρίνων βασιλεὺς καὶ δικαστὴς ἐσημειώσατο, μὴ δικαίως λέγειν τὸν πατριάρχην· οὐ γὰρ εὑρέθη ἡ μονὴ ὑπὸ τὴν ἐξουσίαν τῆς ἐκκλησίας ὑπογεγραμμένη· καὶ διὰ τοῦτο ἐκώλυσαν τὸν πατριάρχην, εἰπόντες ὅτι καὶ ἀπ᾽ αὐτῶν τῶν ἐκκλησιαστικῶν κανόνων καὶ τῶν παλαιῶν νόμων ἀπηγόρευται, οὐδὲ ἀφήρηται τὰ τῆς αὐτοδεσπότου ἐξουσίας, ἢ συγκεχώρηται πρὸς ἕτερον ὑπάγεσθαι ἢ ἀπογράφεσθαι ἢ βρεβοῦσθαι. εἰ δὲ ὡς ἀπὸ ἔθους ἴσως ἔχῃ[6] ἐν πολλοῖς χώραν ἡ μετάθεσις ἐκ τῶν διαδόχων παραχωρηθεῖσα τῇ σφῶν ἀνεξικακίᾳ, τὸ παρὰ κανόνα ἢ [κατὰ] πλάνην γεγονὸς οὐ δίκαιον ἡγεῖσθαι κύριον. νόμος φησὶ βι. β΄ τῶν βασιλ. τί. α΄ κεφ. μη΄[7]· „τὸ ἐν ἀρχῇ κατὰ πλάνην καὶ ἀλογίστως εἰσενεχθὲν καὶ μετα τοῦτο τῇ συνηθείᾳ βεβαιωθὲν ἐπὶ τῶν ὁμοίων οὐκ ἐκτείνεται.“ ὡς βι. β΄ τῶν βασιλ. τί. α΄ κεφ. μη΄.

[ε΄.] Ὅτι ἐκ τῆς βίας τοῦ σεισμοῦ καταπεσόντος γηροκομείου καὶ ἀκινήτου μέλλοντος ἐκποιεῖσθαι εἰς ἀνοικοδομὴν τούτου, εὐδόκησεν ὁ δικαστὴς τὴν διαπώλησιν τούτου, καὶ ὥρισε τὸν ἀγοραστὴν παρεῖναι τῇ κατακενώσει τοῦ τιμήματος καὶ ἐπιβλέπειν καὶ πρακτικὸν ποιήσασθαι τῆς ἐξόδου.

[ϛ΄.] Ὅτι τὰ μὲν ἱερὰ ἀνεκποίητα τηροῦνται, τὰ δὲ περὶ

---

[1] Legendum: κατὰ τὸ νε΄ βι. τῶν βασιλικῶν τί. α΄ κεφ. ιη΄. [2] Hallucinatur auctor. Certe Basilicorum scholia Stephani ἑρμηνείαν Codicis non continebant. [3] Verba donationis indicantur. [4] Sub Basilio et Constantino. [5] An ὑπό? [6] Cod. videbatur habere ἔχων. [7] Apud Heimb. est c. 47.

τὰ ἱερά, οἷον ἀγρὸς, οἰκήματα, καὶ πιπράσκονται καὶ μισθοῦνται καὶ εἰς τὸ διηνεκὲς ἐμφυτεύονται. καὶ τὰ πρότερον περὶ τὸ ἱερὸν ὄντα καὶ σακράρια ὀνομαζόμενα ἐκποιοῦνται, καὶ εἰς ἰδιώτην καταβιβάζονται τῷ λόγῳ τῆς ἐκποιήσεως.

[ζ΄.] Ὅτι τοῖς πράγμασι τὰ τέλη ἕπονται. εἰ γάρ τις ἐκποιήσεται οἶκον καὶ συμφωνήσει αὐτὸς παρασχεῖν τὸ ἐμφύτευμα, ὁ ἐμφυτευτὴς[1] οὐκ ἔχει ἀνάγκην τὸν πρῶτον πράτην κρατεῖν, ἀλλὰ τὸν νεμόμενον τὸν οἶκον.

[η΄.] Ὅτι ἐν τῇ τῶν χαλδαίων γῇ κώμη τίς ἐστιν ἐπ᾽ ὀνόματι τοῦ ἁγίου αὐξεντίου καὶ ναὸς τῷ τοῦ μάρτυρος καλούμενος ὀνόματι. ἐν τούτῳ τῷ ναῷ πολλοὶ τῶν φιλοθέων ἀνδρῶν προσφέρουσι δῶρα, καὶ οἱ κάτοικοι τῆς χώρας ταύτης διακερίξονται[2]. ἀλλ᾽ ἐκ μακρῶν τῶν χρόνων οὐκ οἶδ᾽ ὅπως ὀλίγοι τινὲς ὑπεισελθόντες ἐκράτησαν τὴν ἐκκλησίαν, εἶτα καὶ ἄλλοι προσετέθησαν καὶ τὰς προσόδους διῄρουν. πρὸ διολίας[3] ἐγκαλέσαντες ἐπὶ τοῦ θεματικοῦ δικαστοῦ οἱ ἐξ ἀρχαίων τῶν χρόνων προνόμια ἔχοντες εἰς τὴν ἐκκλησίαν, ἐδικαιώθησαν μερίζειν, μὴ προστεθεικότος τοῦ δικαστοῦ καὶ πῶς καὶ εἰς πόσα. νῦν δὲ ἧκον οἱ αὐτοὶ ἐγκαλοῦντες καὶ ὁ μάγιστρος ἀπεφήνατο, τὰ μὲν παρὰ φιλοθέων ἀνδρῶν εἰσφερόμενα[4], ὅσα ἐν ἐπίπλοις ἢ σκεύεσιν ἀργυρίοις ἢ χρυσέοις εἰσὶν, ἢ εἰς ἀνάθημα τῆς ἐκκλησίας προσηνέχθησαν, ταῦτα μόνῃ τῇ ἐκκλησίᾳ ἀνήκειν· τῶν δὲ λοιπῶν μίαν μερίδα λαμβάνειν τὴν ἐκκλησίαν, καὶ ταύτην διαλαγχάνειν τοὺς ἱερεῖς, τὰς δὲ λοιπὰς τρεῖς μερίδας εἰς τοὺς χωρίτας διαιρεῖσθαι τοὺς ἔχοντας προνόμιον ἐξ ἀρχαίων, καὶ τούτους ὡς τὸ πρῴην διαιρεῖν ταῦτα εἰς ἑαυτούς. τὸν μέντοι πρωτοπαπᾶ μὴ ἀποκινεῖσθαι τῆς ἀρχιερωσύνης, ἀλλ᾽ εἴπερ εὑρεθῇ νοσφιζόμενος χρήματα, τῆς μὲν διοικήσεως τῶν πραγμάτων μετακινεῖσθαι, τοῦ δὲ βαθμοῦ μὴ ἐξεοῦσθαι.

[θ΄.] Ὅτι αἱ ἐκκλησίαι ἐπὶ τοῖς ἐκδοθεῖσι παρ᾽ αὐτῶν ἀγροῖς ποιοῦσι χειρὸς ἐπιβολὴν καὶ οὐ δοκοῦσιν ἀναρχίαν πλημμελεῖν. καὶ τοῦτο ἐκρίθη ἐν τῷ ἱπποδρόμῳ παρὰ τοῦ μαγίστρου καὶ τῶν ἐκκρίτων[5] ἐπὶ τοιαύτῃ ὑποθέσει. οἱ γὰρ τῆς μονῆς τοῦ ἁγίου φωκᾶ προάστειον ἐκδεδώκασι πρός τινα, χωρὶς συναινέσεως τοῦ ἐπὶ τῇ σακέλλῃ ἢ τινὸς

---

[1] i. e. dominus emphyteuseos. Itaque forte legendum: ὁ ἐμφυτευσάμενος.
[2] Videtur legendum: ταύτῃ διακηρύξονται vel διακηρύσσονται. [3] An διετίας?
[4] Cod. προσφερ., sed correctum in εἰσφερ. [5] Legerim ε΄ κριτῶν. Cf. tamen Synopsin minorem lit. A c. 40 „τοῖς ἐκκρίτοις τῶν πολιτῶν“.

τῶν σεκρετικῶν, ἐπὶ χρόνοις κθ'. ὁ δὲ ἐκλαβόμενος δέδωκε τὸ κτῆμα πρὸς τὸν ζωγράφον καὶ κατεῖχε τοῦτο αὐτός. ὁ δὲ ῥαίκτωρ νικήτας ἔχων διὰ χαριστικῆς τὴν μονὴν μετὰ ιε' χρόνους τῆς ἐκδόσεως ἀνελάβετο τὸ προάστειον χωρὶς προσελεύσεως δικαστικῆς. καὶ προσῆλθον οἱ τοῦ ζωγράφου τῷ βασιλεῖ, καὶ κατεπέμφθη εἰς τὸν δρουγγάριον, καὶ ἐνήχθη ὁ ῥαίκτωρ, καὶ ὡμολόγησεν, ὅτι αὐτὸς κατέσχε τὸ κτῆμα. ὁ δὲ μάγιστρος οὐκ ἔκρινεν ἀναρχίαν. εἶπε γάρ, ὅτι κατὰ μὲν τὸ ἀκριβὲς, διότι αὐτονόμως κατέσχε τὸ προάστειον, ὀφείλει[1] νῦν πρὸς ῥοπὴν γίνεσθαι ἀποκατάστασις τοῦ κτήματος πρὸς τὸν ζωγράφον, καὶ αὐτίκα ἡ ἀντιπαράδοσις πρὸς τὴν μονὴν, ἐπειδὴ[2] καὶ ἀπὸ τοῦ νόμου τοῦ διδόντος ταῖς ἐκκλησίαις ἐξουσίαν χειρὸς ἐπιβολὴν ποιεῖν ἐπὶ τοῖς ἐκδιδομένοις παρ' αὐτῶν, καὶ μὴ πλημμελεῖν ἀναρχίαν, ἀλλὰ σκοπεῖσθαι, εἰ καλῶς ἀφείλετο τὸ πρᾶγμα ἡ ἐκδεδωκυῖα, ἢ μὴ βοηθεῖται ὁ ῥαίκτωρ εἰς πρόσωπον τῆς μονῆς, καὶ μὴ καταδικάζεται εἰς ἔκπτωσιν τοῦ οἰκείου. ἡ μὲν οὖν ἔκδοσις ἀκυρωθήσεται ὡς μὴ γνώμῃ ἢ εἰδήσει τοῦ ἐπὶ τῇ σακέλλῃ προβεβηκυῖα, λογαριασθήσεται δὲ ὁ ἐκλαβόμενος εἴς τε τὰς μειώσεις καὶ τὰς βελτιώσεις καὶ εἰς τὸ δεκτικὸν ὃ δέδωκε καὶ τὸν τούτου τόκον καὶ εἰς τὰς προσόδους, καὶ φαινόμενος χρεωστούμενος λάβῃ τὸ ἱκανὸν, οὐχὶ ἀπὸ τῆς μονῆς, ἀλλὰ ἀπὸ τῶν ἐκδεδωκότων μοναχῶν.

[ι'.] Ὅτι[3] ὁ μητροπολίτης κλαυδιουπόλεως πρὸ χρόνων πολλῶν ἐξέδοτο κτῆμα τῆς μονῆς βλάχνας πρὸς τὸ μέρος τοῦ πατρικίου εὐσεβίου, καὶ πολλῶν χρόνων διαῤῥευσάντων ὕστερον ἐκίνησεν ὁ μητροπολίτης ἐπὶ τοῦ μαγίστρου τοῦτο. καὶ εὑρὼν διελθόντας τοὺς τῆς ἐκδόσεως χρόνους, ἐδικαίωσε τὸν μητροπολίτην ἀναλαβεῖν τὸ ἴδιον μετὰ καὶ καρπῶν χρόνων τριῶν, καὶ δημόσιον, ὅσον δείξει αὐτοὺς μὴ[4] ὑπὲρ τοῦ κτήματος καταβαλεῖν. ἀλλὰ τῆς παραδόσεως μελλούσης γίνεσθαι γέγονεν ἀμφιβολία· συνεχύθησαν γὰρ οἱ ὅροι, ἐπειδὴ ἡ μονὴ καὶ ἰδιόστατον εἶχε προνόμιον καὶ ἀνακοίνωσιν εἰς τὸ χωρίον τῶν ῥυακίων. καὶ διὰ ταῦτα πάλιν ὁ μάγιστρος δικάζων ἐψηφίσατο, ἵνα τὸ μὲν ἰδιόστατον κτῆμα τῆς μητροπόλεως περιορισθῇ ἢ ἀγράφοις ἢ ἐγγράφοις μαρτυρίαις· — οὐ γὰρ ἐδέξατο τὸ προκομιζόμενον πρακτικὸν ἀπὸ τοῦ μέρους τῆς μητροπόλεως, γεγονὸς μὲν παρὰ νοταρίου μανουὴλ καὶ

---

[1] Cod. καὶ ὀφ. [2] Oratio ita parum procedit, ut corruptela sequentibus inesse videatur. [3] Cf. de hac causa tit. XIX c. 25. [4] Cod. αὐτῇ.

κριτοῦ καὶ ἔχον περιορισμὸν τοῦ κτήματος, μὴ ἔχον δὲ ὑπογραφὰς ἢ βοῦλλαν τοῦ κριτοῦ· — ἐψηφίσατο, ὡς εἴρηται, δι' ἀποδείξεων[1] περιορισθῆναι τὸ ἰδιόστατον κτῆμα. τὰ μέντοι ἐν τῇ ἀνακοινώσει τοῦ χωρίου ἐπιζητούμενα οὕτως διεῖλεν· εὗρε γὰρ ἐν τῷ ἰσοκωδίκῳ τοῦ χωρίου ὡς ἀπὸ τελέσματος ἔχουσαν τὴν μονὴν δημόσιον καὶ ἀπὸ μεταθέσεως ἑνουμένην εἰς τὸ ἰδιόστατον, καὶ ταῦτα εἶπεν εἶναι τῆς μονῆς. ἀντιλεγόντων δὲ τῶν τῆς μητροπόλεως, ὅτι ἰδοὺ ἐν τῷ στίχῳ τῆς μονῆς γέγραπται· „ἐτέλεσε δανιὴλ ἡγούμενος", καὶ κρίνεις τοῦτον εἶναι ἡμέτερον, καὶ ὁ δεύτερος στίχος ἔχει τελεστὴν δανιήλ, καὶ διὰ τί καὶ τοῦτον οὐ τυποῖς εἶναι τῆς μονῆς; ἀντέφησεν ὁ μάγιστρος, ὅτι ἐν τῷ χωρίῳ πολλοὶ εἰσὶ δανιήλ, καὶ ἐὰν λάβητε ἐξουσίαν τοὺς τελουμένους στίχους ὑπὸ δανιὴλ λαμβάνειν, οὐδὲν ἄστιχον ἀφήσετε· ἐπεὶ γὰρ ἰσοκώδικον γέγονε, καὶ οἱ τὰ ἰσοκώδικα γράψαντες ἀκρίβειαν εἶχον, ἵνα μὴ[2] τοὺς μετὰ τὸν κῦρον λέοντα τὸν βασιλέα δυναστὰς τελοῦντας ἐγγράψωσιν εἰς τὸ ἰσοκώδικον, εἰ εὗρον καὶ τὸν δεύτερον δανιὴλ ἡγούμενον ὄντα, πάντως ἂν προσεγράψαντο[3] καὶ τὸ „ἡγούμενος"[4] καὶ ἐμαρτυρεῖτο ὁ στίχος τῆς μονῆς· ἐπεὶ δὲ τὸ τοῦ ἡγουμένου ἐδίωξαν ὄνομα, δοκεῖ ὁ στίχος χωριτικὸς, καὶ διὰ τοῦτο οὐ δύναμαι τυπῶσαι αὐτὸν τῆς μονῆς. καὶ ἦν προφητείας ὡς ἔοικε τὸ λεγόμενον καὶ τῆς ἀληθείας ἐπίνοια. εὑρεθέντων γὰρ παρ' ἐμοῦ παλαιῶν ἐκστίχων προστάξει αὐτοῦ, πέντε μὲν στίχοι εἶχον δανιὴλ τελεστὴν, εἷς δὲ μόνον εἶχε προσγεγραμμένον[5] καὶ τὸ „ἡγούμενος", ὅπερ καὶ οἱ ἰσοκωδικάριοι ἀπεβάλλοντο. τέως δ' οὖν ἐτύπωσεν ὁ μάγιστρος, ἵνα ἐκ τοῦ ὑποτεταγμένου καὶ τῆς ἀνακοινώσεως τοῦ χωρίου τὰ δημόσια[6] διαιρεθῶσιν ἐκ τοῦ ἰσοκωδίκου, καὶ διῄρησε ταῦτα, καὶ ἐψηφίσατο, ἵνα, εἰ μὲν δύναται δι' ἀποδείξεων ἐγγράφων ἢ ἀγράφων διαιρῆσαι τὸ οἰκεῖον κτῆμα ἡ μητρόπολις, ἔχῃ τοῦτο· εἰ δὲ οὐ δυνηθῇ, ἀπολάβῃ ἐξ ἀναδασμοῦ τοῦ ὅλου ὑποτεταγμένου τοῦ χωρίου τὴν προσήκουσαν αὐτῇ τῶν δημοσίων αὐτῆς γῆν. ἀντεῖπον οἱ τῆς μητροπόλεως· ἀλλὰ καὶ οἱ ἀντίδικοι ἡμῶν δυνατοὶ εἰσὶ, καὶ διὰ τί αὐτοῖς ἐᾷς τὴν λοιπὴν πᾶσαν τοῦ χωρίου, καὶ οὐ παρέχεις αὐτοῖς τὰ οἰκεῖα δημόσια; καὶ ἐσημειώσατο ὁ μάγιστρος, ἵνα ἐκείνοις τὰ οἰκεῖα διαιρεθῶσι δημόσια καὶ λάβωσι ταῦτα· καὶ τὰ λοιπὰ χωριτικὰ στοιχεῖα, εἴπερ καὶ νήπιον μόνον περιλέλειπται

---

[1] Cod. ἀπόδων. [2] Delendum videtur. [3] Cod. προεγρ. [4] Cod. τὸν ἡγούμενον. [5] Cod. προγεγρ. [6] Cod. videbatur habere ιδκύσι α.

ἐν τῷ χωρίῳ ἐκ τῶν πολιτῶν κληρονομοῦν[1], λάβῃ πάντα καὶ ἔχῃ. προτιμᾶται γὰρ τοῦτο ὑπὲρ πάντας τοὺς δυνατοὺς ἔχειν τὰ τῶν ἐξαλειφθέντων χωριτῶν δημοσία.

[ια΄.] Βι. κγ΄ τί. γ΄ κεφ. κ΄[2]· Ὅτι „τοῦ ἔχοντος ἐμφυτευτικὸν ἀγρὸν οἱ καρποὶ ἅμα τῷ χωρισθῆναι τῆς γῆς γίνονται.“

[ιβ΄.] Ὅτι ὁ ἅγιος ἡλίας τὸ γηροκομεῖον τόπους ἐκδέδωκε πρὸς ἐκκλησίαν, καὶ μετὰ πολλοὺς χρόνους ἐκινήθη δίκη, ὅτι ἐμπεριγράφως ἐξεδόθησαν οἱ τόποι, καὶ ἠρωτήθη ὁ μάγιστρος, εἰ ἰσχύει ἡ ἐμφύτευσις ἢ μή, καὶ εἰ ὀφείλουσιν εὐθύνεσθαι οἱ ἐκδεδωκότες. καὶ εἶπεν, ὅτι, ἐπειδὴ ἦλθεν ἡ τριακονταετία, οὐ δύναται ἀνατραπῆναι ἡ ἔκδοσις· εἰ γὰρ καὶ βιαίως ἐνεμήθη τὸ πρᾶγμα, ἐδύνατο ἡ ἐκκλησία νικῆσαι τὸ γηροκομεῖον διὰ τοῦ τοσούτου χρόνου· τῆς μέντοι περιγραφῆς φαινομένης εὐθυνθήσονται οἱ ἐκδεδωκότες χαρτουλάριοι καὶ οἱ τούτων κληρονόμοι καὶ οὐδεμίαν ἀπὸ τοῦ χρόνου ἕξουσι βοήθειαν. καὶ ἡρμήνευσεν[3] ὁ μάγιστρος, ὅτι οἴκους εὐαγεῖς οὐ πᾶν μοναστήριον εἶπεν ἢ γηροκομεῖον ἀλλὰ μόνους τοὺς οἰκείους[4] τοὺς ὑπὸ βασιλέως τὴν σύστασιν δεξαμένους ὡς τὰ πέτρια καὶ τὸ μυρέλαιον· [τὰ δὲ] συσταθέντα ὑπὸ ἀρχόντων καὶ ἰδιωτῶν ἔχειν τὸ τοῦ δημοσίου προνόμιον οὐκ ἐθεματίσθη ποτὲ οὐδὲ ἐτυπώθη ἄχρι τῆς σήμερον. καὶ διὰ ταῦτα ἐπεὶ ὁ ὀρφανοτρόφος τὴν εἰρημένην δίκην παρέπεμψεν, ἐμήνυσεν αὐτῷ, ἵνα ὑπομνήσῃ, ποῖος τυποῦται ὁ οἶκος τοῦ ἁγίου ἡλίου, καὶ εἴτε ὡς βασιλικὸς, εἴτε ὡς ὑπό τινος συσταθεὶς ἑτέρου ἄρχοντος, καὶ τὰ αὐτὰ ἔχων δίκαια τοῖς ἑτέροις γηροκομείοις καὶ ξενῶσι.

[ιγ΄.] Βι. ιθ΄ τί. α΄ κεφ. ογ΄[5]· „Καὶ πεσόντος τοῦ ἱεροῦ οἴκου ὁ τόπος οὐ γίνεται βέβηλος, ὅθεν οὐδὲ πωλεῖται. ἐὰν ἔσωθεν τοῦ θρηκοῦ[6] τῶν τάφων ὦσι καθαροὶ τόποι γεωργούμενοι, καὶ μὴ ὑπεξεῖλεν αὐτοὺς ὁ πράτης, τῷ ἀγοραστῇ ἁρμόζουσιν.“

[ιδ΄.] Ὅτι ἐκίνησαν μοναχοί τινες κατὰ τοῦ σκληροῦ ὡς ἀνάρχως κατασχόντος κτῆμα τῆς μονῆς. ὁ δὲ εἶπεν, ὅτι ἐξελαβόμην τοῦτο καὶ δέδωκα εἰσδεκτικὸν, καὶ οὐκ ἴσχυσε τοῦτο συστῆσαι, καὶ κατεδικάσθη. ἐπεὶ γὰρ οὐ μόνον τὸ κτῆμα κατασχεῖν ἀλλὰ καὶ πολλὴν πρόσοδον ἔχειν τοῦτο ἐνίσταντο οἱ

---

[1] Cod. videbatur habere ἐκ τῶν παλαιῶν κληρονόμων. [2] Apud Heimb. est c. 25. [3] Scil. ad Basil. V, 2, 5. [4] Lege: οἴκους. [5] Cf. Suppl. edit. Basil. Heimb. p. 260. Ibi adde supplementum ex hoc loco olim a me praetermissum. [6] An ῥηχοῦ?

μοναχοὶ, ἔκρινεν ὁ μάγιστρος, ἵνα, εἰ μὴ δείξει ἔκδοσιν γεγονυῖαν παρὰ τῶν μοναχῶν, τότε θεωρηθῇ πόσην ἔχει πρόσοδον τὸ κτῆμα καὶ τί συνεφωνήθη πάκτον καὶ πόσον εἰσδεκτικὸν δέδωκεν ὁ μάγιστρος[1], καὶ τότε τοῦ ἕκτου τῆς προσόδου κατασπωμένου ἐπὶ τῷ λοιπῷ θεωρεῖσθαι, εἰ καλῶς γέγονεν ἡ ἐκδίκησις[2]. ὁ γὰρ νόμος[3] φησὶ μόνου τοῦ ἕκτου μέρους κουφιζομένου τῷ ἐκλαβομένῳ· εἰ δὲ μὴ δειχθῇ ἔκδοσις, τότε κρίνεσθαι αὐτὸν κακὸν νομέα καὶ λογαριάζεσθαι καὶ ἀπαιτεῖσθαι τοὺς καρποὺς πάντας τοῦ κτήματος. καὶ ἀντεῖπον οἱ κριταί· ἐὰν δὲ ἐγένετο σύμφωνον ἐκδόσεως καὶ ὡρίσθη πάκτον, οὐ κρατήσει τὸ σύμφωνον καὶ κατ᾽ αὐτὸ κριθήσεται; καὶ εἶπεν ὁ δρουγγάριος, ὅτι εἰ μὲν κατὰ τὸν νόμον γέγονε τὸ σύμφωνον, καὶ μόνου τοῦ ἕκτου μέρους κουφισμὸς γέγονε, τὸ δὲ λοιπὸν συνεφωνήθη δίδοσθαι, καλῶς γέγονε καὶ κρατήσει· εἰ δὲ ἄλλως συνετέθη, ἀκυρωθήσεται ὡς παρὰ τὸν νόμον γεγονὸς, καὶ τὸ παράνομον οὐκ ἰσχύει.

[ιε΄.] Ὅτι πωλήσας τὶς ἀλλότρια οἰκήματα πρὸς τὴν μονὴν τῆς ἐλεούσης, δέδωκεν ὑπὲρ ἐγγόνου ἀποταγὴν εἰς τὴν μονὴν τῆς χώρας. καὶ τῶν οἰκημάτων ἐκνικηθέντων ἀπὸ τῆς ἐλεούσης καὶ μὴ εὐποροῦντος τοῦ πράτου ποιῆσαι τὸ ἱκανὸν πρὸς τὴν μονὴν, ἔκρινεν ὁ μάγιστρος καὶ κατεδίκασε τοὺς τῆς μονῆς τῆς χώρας τὸ χρυσίον, ὅπερ ὑπὲρ ἀποταγῆς ἔλαβεν, ἀποδοῦναι πρὸς τὴν ἐλεοῦσαν, καὶ μηκέτι παρέχειν σιτηρέσιον τῷ ἐγγόνῳ τοῦ πράτου. καὶ γέγονε τοῦτο διὰ σημειώσεως μεγάλης.

[ις΄.] Ὅτι ἡ πρωτοσπαθαρία[4] μαρία ἡ τοῦ σκληροῦ θυγάτηρ, χρεωστουμένη ἀπὸ τοῦ πατρικίου πανβηρίου κλῆρον λιτρῶν ξβ΄, ἐπεζήτει ταῦτα, καὶ μὴ εὑρισκομένης φανερᾶς περιουσίας ᾔτησε καὶ ἔλαβε τὴν μονὴν τοῦ ἁγίου μάμαντος καὶ τὰ περὶ αὐτὴν πάντα, οὐκ ἐπὶ τῷ ἐκποιεῖσθαί τι τούτων, ἀλλ᾽ ἐπὶ τῷ διοικεῖν ταύτην, [καθὼς][5] καὶ ὁ συστησάμενος αὐτὴν διετάξατο.

[ιζ΄.] Ὅτι ἐπὶ τῆς δίκης τῶν νικαέων μετὰ τοῦ μητροπολίτου κυροῦ γρηγορίου τῆς μεγάλης καὶ θαυμαστῆς ἐσημειώσατο ὁ μάγιστρος, καὶ πάλιν κινηθείσης ἐσημειώσατο οὕτως· ἔγνωσται μὲν γὰρ νόμοις ἡ διηνεκὴς, καὶ

---

[1] Sc. ὁ σκληρός. [2] Lege ἔκδοσις. [3] Basil. V, 2, 6. [4] Cod. videbatur habere μοναχή. Sed sigla αχ (μοναχή) cum sigla αθ (πρωτοσπαθαρία) permixta est. [5] Lacuna est in Cod.

ἡ ἐπὶ τρισὶ προσώποις ἐμφύτευσις, καὶ ἡ μὴ ὑπερεκπίπτουσα τὴν τριακονταετίαν μίσθωσις. ἔπειτα δὲ καὶ τοιάσδε τινὰς ἐκδόσεις εἰσενήνεκται πράττεσθαι, φθινούσας μὲν ἑνὸς μόνου προσώπου τελευτῇ, ἀνισταμένας δὲ καὶ ζωπυρουμένας ἑτέρου τρίτου παραλήψει προσώπου, ὡς ὑπεῖναι ταύταις[1] πρὸς τὰς διηνεκεῖς ἐμφυτεύσεις κοινωνίαν τε καὶ διαφορὰν, ὡς τὸ ἐπίτροπος καὶ ὡς ἐπίτροπος καὶ ὡς ὁ ἐπίτροπος.

ΤΙΤΛΟΣ ιϛʹ[2].

Περὶ ἐπιτρόπων.

[αʹ.] Ἐὰν ἐπιτροπεύσω τινὸς πρῶτον, εἶτα ὕστερον καὶ ἑτέρου, καὶ καταφάγω πράγματα τῶν δύο ἐπιτροπῶν, καὶ ἐστὶν ἀπορία ἐμοῦ εἰς τὰ εὑρισκόμενά μου, προτιμῶνται οἱ τῆς πρώτης ἐπιτροπῆς.

[βʹ.] Ὅτι γραφέντος τινὸς ἐπιτρόπου νέων, ὃς ὕστερον ἐκίνει ἀγωγὰς κατ' αὐτῶν τῶν ἀφηλίκων, ᾠκονόμησεν ὁ βέστης, ἀποστῆναι τοῦτον τῆς ἐπιτροπῆς καὶ ἄλλον κηδεμόνα δοθῆναι. ἀλλ' αὐτοῦ ἀφέντος τὰς ἡμισείας τῶν κινουμένων ἀγωγῶν παρ' αὐτοῦ, ἐκύρωσε πάλιν αὐτὸν κηδεμόνα τῶν νέων[3].

[γʹ.] Ὅτι οὐ δίδοται ἐπιτροπὴ μοναχῷ, ἐν ᾗ εἰσὶν ἀφήλικες[4].

[δʹ.] Ὅτι εἰ ἐπιτροπεύσω ἀνήβου, καὶ μετὰ τὴν ἐνηλικίωσιν κινήσει οὗτος περὶ ἀποκρυβῆς πραγμάτων γονικῶν αὐτοῦ, οὐκ ἔχει ἐξουσίαν τιμωρεῖσθαι τοὺς ἐμοὺς δούλους καὶ ἐξετάζειν, εἴ τινα τῆς περιουσίας αὐτοῦ ἀπέκρυψα· ἀλλὰ μᾶλλον τοὺς κληρονομιαίους αὐτοῦ δούλους τιμωρεῖται καὶ ἐρευνᾷ περὶ τῆς γονικῆς ὑπάρξεως. διὰ τοῦτο[5] γὰρ, κἂν τῶν ὑπὸ φθορὰν εἰσὶν οἱ δοῦλοι, οὐκ ἐκποιοῦνται τοῦ κλήρου.

[εʹ.] Ὅτι τὸ νόμιμον[6] τὸ λέγον· „ἡ ἐπιτροπὴ εἰς κληρονόμους οὐ παραπέμπεται“, οὕτω διῄρει ὁ βέστης[7], ἐκείνην τὴν ἐπιτροπὴν μὴ διαβαίνειν εἰς κληρονόμους λέγων, τὴν ἔχουσαν ὀρφανοὺς καὶ ὑποκαταστάτους κληρονόμους. οἷον εἴ τις τυχὸν τελευτήσει καταλιπὼν δύο υἱοὺς ἀφήλικας, καὶ καταλείψει

---

[1] Cod. *ὑπὲρ ταύτας* habere videbatur. [2] Index vocat tit. 15, quippe quem praeposuerit titulo praecedenti *περὶ μισθωτῶν κτλ.* [3] Cf. infra c. 22. [4] Sc. committitur ei tutela rerum hereditariarum. [5] Cf. tit. XVII c. 3. [6] Basil. XXXVII, 1, 16. [7] Cf. Schol. ad Harm. V, 11, 7.

ἐπίτροπον διοικεῖν τὰ τῶν παίδων, δοῦναι δὲ καί τινα τῶν ψυχικῶν, ὁ καταλειφθεὶς ἐν τῇ τοιαύτῃ διαθήκῃ ἐπίτροπος τελευτῶν οὐδὲν ἕξει δίκαιον παραπέμψαι τὴν ἐπιτροπὴν πρὸς τοὺς ἑαυτοῦ ἰδίους κληρονόμους· ἀλλ᾽ εἰ μὲν ἐστὶ συνεπίτροπος, πρὸς ἐκεῖνον μεταποιεῖται ἡ ἐπιτροπὴ, εἰ δὲ μὴ ἐστὶν, ὁ κοιαίστωρ φροντίσει τῆς τῶν παίδων διοικήσεως καὶ δώσει αὐτοῖς κουράτωρα. τὸ δὲ ἄλλο σκέλος, ἤγουν τὴν διαθήκην τὴν μὴ ἔχουσαν παῖδα ἀλλὰ μόνον ψυχικῶν διανομὴν καὶ ἐλευθερίας καὶ λεγάτα, ταῦτα καὶ πρὸς κληρονόμους ἐξουσίαν ἔχειν παραπέμπειν τὸν ἐπίτροπον. οἷον εἴ τις μὴ ἔχων παῖδας γράψει οὕτως· θέλω καὶ παρακαλῶ τὸν δεῖνα γενέσθαι μου ἐπίτροπον καὶ διανεῖμαι τὴν περιουσίαν μου εἰς τόσα, καὶ τόσα μὲν διανεῖμαι τοῖς πένησι, τόσα δὲ δοῦναι λεγάτα, καὶ τοὺς ἐμοὺς ἐλευθερῶσαι οἰκέτας· ταύτην οὖν τὴν ἐπιτροπὴν εἰ ὑπεισέλθῃ γραφεὶς ὁ ἐπίτροπος, καὶ δώσει μὲν τὰ λεγάτα, τιμήσει δὲ καὶ τοὺς οἰκέτας ἐλευθερίᾳ, εἶτα καὶ τὰ ψυχικὰ πάντα μὴ φθάσει διανεῖμαι, τελευτῶν ἐξουσίαν ἔχει ἐπίτροπον γράφειν εἰς τὴν διαθήκην αὐτοῦ, καὶ ἐντέλλεσθαι αὐτῷ διοικεῖν καὶ διανέμειν τὰ καταλειφθέντα παρ᾽ αὐτῷ ἐκ τῆς ὑποστάσεως ἐκείνου, οὗ κατελείφθη ἐπίτροπος· καὶ οὐκ ἔχει ἐξουσίαν τὶς τῶν τούτου ἰδίων λογαριάζειν ἢ ἕλκειν εἰς δίκην τὸν ἐπίτροπον καὶ ἀφαιρεῖσθαι ἀπ᾽ αὐτοῦ τὰ τῆς περιουσίας τοῦ συγγενοῦς, εἰ μήτιγε δανειστὴς εἴη. ὁ γὰρ ἐπίτροπος ἀνεδέξατο πᾶσαν τὴν ἁμαρτίαν τὴν ὀφείλουσαν ἐξαλειφθῆναι τῇ διανομῇ τῶν χρημάτων, καὶ τῷ ἀπελθόντι οὐ μὴν τοῖς συγγενέσιν αὐτοῦ ὀφείλει ποιεῖν λόγον.

[ϛ΄.] Ὅτι οἱ ἐκ διαθήκης ἐπίτροποι προτιμότεροι εἰσὶ τῆς μητρὸς εἰς τὴν τῶν ἀνήβων ἐπιτροπίαν.

[ζ΄.] Ὅτι ἡ γυνὴ παντὸς προτιμᾶται εἰς τὴν νομίμην ἐπιτροπὴν τῶν παίδων κατὰ τὸν νόμον[1], ὅς οὕτως φησί· „ταῖς γυναιξὶ καὶ ἡμεῖς ἀπαγορεύομεν τὰ τῆς ἐπιτροπῆς ὑπελθεῖν λειτουργήματα, εἰ μὴ μήτηρ ἢ μάμμη εἴη. ταύταις γὰρ μόναις κατὰ τὴν τῆς κληρονομίας τάξιν καὶ τὴν ἐπιτροπὴν ὑπελθεῖν ἀφίεμεν, δηλονότι[2] ἐὰν ἐν ὑπομνήμασι καὶ γάμοις ἑτέροις καὶ τῇ βοηθείᾳ τοῦ βελιανίου δόγματος ἀπαγορεύσωσι. ταῦτα γὰρ φυλάττουσαι πάντων τῶν ἐκ πλαγίων συγγενῶν εἰς τὴν ἐπιτροπὴν προτιμηθήσονται, τῶν ἐκ διαθήκης μόνων ἐπιτρόπων προ-

---

[1] Nov. 118 c. 5. (Basil. XXXVII, 4, 10.) [2] Cod. δέ.

λαμβανόντων αὐτάς. τὴν γὰρ τοῦ τελευτήσαντος βούλησίν τε καὶ ἐπιλογὴν προτιμᾶσθαι βουλόμεθα."

[η'.] „Ὁ[1] ἐπίτροπος καὶ ἐν ἀπορίᾳ πάσης ἀποδείξεως ὅρκον ἐπιφέρει καὶ τότε ἀποκλείει τὸν ἄνηβον." καὶ χρησάμενος τῷ κοινῷ νομίμῳ καὶ διὰ τοῦ ἐκδικητοῦ ὅρκου ἀπαιτῶν, εἴργεται καὶ τὸν ὅρκον ἀναψηλαφᾶν καὶ ὡς ἀπὸ καινοῦ δικαιώματος τοῦ ἀντιδίκου ὕστερον ἀναφανέντος πρὸς δευτέρους ἀγῶνας παρὰ τὸν νόμον παλινδρομεῖν.

[θ'.] Ὅτι τὸ γράφον νόμιμον[2]· „δήλῳ πράγματι ἢ αἰτίᾳ ἐπίτροπος οὐ δίδοται" φιλονεικηθὲν καὶ στασιασθὲν παρὰ τῶν κριτῶν ὁ μάγιστρος ἐρευνήσας ἀκριβῶς καὶ τὸν ἑρμηνευτὴν στέφανον ἀναγνοὺς οὕτως ἡρμήνευσεν ἑπόμενος τῇ ἑρμηνείᾳ τοῦ στεφάνου. ἔφησε γάρ[3]· ὅτι πάντα τὰ νόμιμα τὰ περὶ ἐπιτροπῆς περὶ ἐκείνων φησὶν, οἵτινες ἐπίτροποι ἀνήβοις δίδονται. οὐκ ἔστιν εὑρεῖν εἰ[4] καὶ μόνον νόμιμον μὴ διαλαμβάνον περὶ[5] ἀνήβου. καὶ ὅτε ἐστὶ καὶ ὑπόκειται ἄνηβος, οὐ δύναται δοθῆναι τούτῳ ἐπίτροπος ἐπὶ αἰτίᾳ· οἷον ἔστω ὁ δεῖνα ἐπίτροπος τοῦ παιδός μου, ἵνα μόνον διδάξῃ αὐτὸν γράμματα, καὶ ἐπὶ τῇδε ἢ τῇδε τῇ δίκῃ. ἢ ἐπὶ δήλῳ πράγματι[6]· οἷον ἔστω ὁ δεῖνα ἐπίτροπος τοῦ υἱοῦ μου ἐπὶ τοῖς κινητοῖς ἢ ἀκινήτοις πράγμασι. ταῦτα γὰρ οὐ κρατοῦσι γινόμενα, ὅτε[7] ὑπόκειται ἄνηβος. „προσώπῳ[8] γὰρ ἡ ἐπιτροπὴ καὶ οὐ πράγματι δίδοται." οἷον τῷ ἀνήβῳ δίδοται ἐπίτροπος, ὥστε [διοικεῖν πάντα τὰ τούτου καλῶς, οὐχὶ τοῖς πράγμασιν αὐτοῦ δίδοται ἐπίτροπος, ὥστε][9] τὰ μὲν ἔχειν ἐξουσίαν διοικεῖν, αὐτοῦ δὲ τοῦ ἀνήβου μὴ φροντίζειν. ταῦτα οὖν πάντα τὰ ῥητὰ καὶ τὰ νόμιμα, ὡς εἴρηται, ἔλυσεν ὁ μάγιστρος κρατεῖν καὶ ἐνεργεῖν, ὅτε ἐστὶ ἄνηβος ἐν διαθήκῃ. ἔνθα δὲ οὐκ ἔστιν ἄνηβος ἐν διαθήκῃ, οἱ διδόμενοι ἐπίτροποι, κἄντε μερικοὶ ὦσι κἄντε καθόλου, διοικοῦσι καθὼς προσταχθῶσιν. οὐ γὰρ πρόσωπα ὑπόκεινται ἐνταῦθα, ἵνα κρατήσῃ τὸ λέγον νόμιμον· „προσώπῳ γὰρ οὐ πράγματι δίδοται ἡ ἐπιτροπή." ποῖον γὰρ πρόσωπον ὑπόκειται ἐν τῇ τοῦ εὐνούχου διαθήκῃ, ἢ ἐν τῇ τοῦ ἄπαιδος; ἀλλὰ πάντα τὰ γεγραμμένα, ὡς εἴρηται, καὶ ἡ αἰτία καὶ τὸ δῆλον πρᾶγμα ἐν οἷς εἰσὶν ἄνηβοι τὴν ἰσχὺν ἔχουσι. τὰ δὲ

---

[1] Cf. infra tit. LXVIII c. 7. Est Basil. XXII, 5, 35. [2] Basil. XXXVII, 2, 11. [3] Cf. Schol. ad Harm. V, 11, 8. [4] Malim ἕν. [5] Cod. καὶ περὶ. [6] Cod. videbatur habere *δικαίου πράγματος*. Apud Harm. in scholio est: *δικαίῳ πράγματι.* [7] Cod. *καὶ ὅτε.* [8] Basil. XXXVII, 2, 13. [9] Haec supplevi ex schol. Harm.

γραφόμενα περὶ τῶν ἐπιτρόπων ἐν ταῖς λοιπαῖς διαθήκαις ὁμοιοῦσι τοῖς περὶ ἐνστάσεων καὶ ἀποκαταστάσεων νομίμοις, καὶ καθὼς ἂν γραφῶσιν, εἴτε μερικῶς εἴτε ὁλοκλήρως, κρατοῦσιν. οὕτως ἡρμήνευσε καὶ ὁ μάγιστρος καὶ ὁ ὀφρυδὰς καὶ ὁ θυλακὰς καὶ οἱ λοιποὶ κριταὶ ζητοῦντες τοιαύτην δίκην ἐπείσθησαν. καὶ γὰρ ὁ στρατιωτικὸς παῦλος γράφων διαθήκην ἔγραψεν οὕτως· κληρονόμον καὶ ἐπίτροπον καταλιμπάνω ταύτης μου τῆς μυστικῆς διατυπώσεως τήν τε γυναῖκα καὶ τοὺς παῖδάς μου, ἐπίτροπον δὲ τόν τε κῦρον μιχαὴλ, ἵνα συνεργῇ τῇ γυναικί μου εἰς τὰ ψυχικά μου, καὶ τὸν κῦρον ἰωάννην τὸν ἀνεψιόν μου, ἵνα συνεργῇ τῇ γυναικί μου πανταχοῦ καὶ ἔχῃ αὐτὸν συναγωνιζόμενον ἀντ᾽ ἐμοῦ. οὕτως ἐχούσης τῆς διαθήκης οἱ κριταὶ, ὅσον ἐκ τοῦ προλεχθέντος νομίμου, ὡς ἐπὶ αἰτίᾳ δοθέντας καὶ ὡς μερικοὺς ἐπιτρόπους ἔσπευδον ἐξῶσαι τοὺς εἰρημένους· ἀλλ᾽ ὁ μάγιστρος κοινωθείσης τῆς ὑποθέσεως ἔδειξε, μὴ ἁρμόζειν τὸ νόμιμον ἐνταῦθα. οὐ γὰρ ἄνηβοι ὑπέκειντο παῖδες ἐνταῦθα, καὶ διὰ τοῦτο ἐκύρωσεν αὐτοὺς ὡς καλῶς δοθέντας, πεισθέντων καὶ τῶν κριτῶν, εἰ καὶ ὕστερον ἐδιώχθη ὁ ἰωάννης ἐξ οἰκείου σφάλματος. ἔχει δὲ καὶ τὸ πλάτος[1] οὕτως· „οὐ δύναταί τις ἐπίτροπον διδόναι φανερῷ πράγματι ἢ αἰτίᾳ. οἷον ὁ δεῖνα ἐπίτροπος ἔστω τοῦ ἐμοῦ παιδὸς ἐπὶ τοῖς κινητοῖς πράγμασιν· ἢ ἔστω ἐπίτροπος ἐπὶ τῇδε ἢ τῇδε τῇ δίκῃ.“ καὶ πάλιν· „οὐ δύναταί τις παρέχειν ἐπίτροπον ὑπεξῃρημένων πραγμάτων. οἷον ἔστω ἐπίτροπος τοῦ ἐμοῦ παιδὸς ἐπὶ πᾶσι τοῖς διαφέρουσιν αὐτῷ πράγμασι πλὴν τοῦδε καὶ τοῦδε. εἰ δὲ ἐδόθη τὶς ἐπίτροπος φανερῷ πράγματι ἢ αἰτίᾳ ὑπεξαιρεθέντων πραγμάτων τινῶν, ἄχρηστος πᾶσι ἡ τοῦ ἐπιτρόπου γίνεται δόσις. ἐπειδὴ ὁ ἐπίτροπος προσώπῳ μᾶλλον ἢ πράγματι ἢ αἰτίᾳ παρέχεται.“

[ι΄.] Ὅτι ἐστὶ νόμιμον[2] λέγον ὅτι „ἐπίτροπος καλῶς δίδοται τοῖς ἐν συρίᾳ ἢ ἀφρικῇ πράγμασι τοῦ ἀνήβου.“ καὶ φαίνεταί πως ἐναντίον τοῖς προρηθεῖσιν. ἀλλὰ τοῦτο καὶ ὁ στέφανος καὶ ὁ μάγιστρος ἡρμήνευσε, ὅτι ἀκεραία ἐστὶν ἡ ἐν ἀφρικῇ καὶ ἐν συρίᾳ ὑπόστασις τοῦ ἀνήβου· καὶ ἅμα οὐ δύναται ὁ ἐν βυζαντίῳ ἐπιτροπεύων παιδὸς, καὶ τῶν ἐν ἀφρικῇ αὐτοῦ πραγμάτων τυχὸν φροντίζειν καλῶς διὰ τὸ τῆς ὁδοῦ μῆκος· καὶ διὰ τοῦτο εἴπερ ὁ διαθέμενος εἰδὼς ἐάσει καὶ ἑτε-

---

[1] Stephani nimirum. Cf. Basil. ed. Heimb. III p. 648. [2] Basil. XXXVII, 2, 14.

ρον ἐπίτροπον ἐν τῇ ὑποστάσει τῆς ἑτέρας ἐπαρχίας, τῷ νέῳ καλῶς δίδοται.

[ια΄.] Ὅτι τοῖς ἐκ διαθήκης γενομένοις ἐπιτρόποις καὶ διοικήσασι τὰ τῶν ἀπελθόντων πράγματα οὐ δύναται ἀγωγὴν ἐπάγειν υἱὸς αὐτεξούσιος καὶ τὸ νόμιμον λαβὼν μέρος, κἄν τι καὶ τῆς περιουσίας ἐπερίσσευσε. καὶ τοῦτο ἐκρίθη εἰς τὴν περιουσίαν τοῦ μαγίστρου τοῦ γοργοπλούτου. προστάξει γὰρ βασιλικῇ διὰ χρέος λογαριασθέντων τῶν ἐπιτρόπων παρὰ τοῦ ἐξάκτωρος ἐγκλήσει τῆς θυγατρὸς ἐκείνου, καὶ περισσεύσαντος ποσοῦ μετὰ τὴν τοῦ χρέους ἀπόφλησιν, καὶ ἐκνικᾶν ἐπιχειρούσης τῆς θυγατρὸς τὸ περιλειφθὲν, ἐσημειώσατο οὕτως· οἷς ἐκ διαθήκης ἐπιτροπὴ περιέρχεται προστάσσουσα πᾶσαν ἐξαντλῆσαι τὴν περιουσίαν ἀδεῶς, τοῦτο μὲν λεγάτοις, τοῦτο δὲ πρεσβείοις, ἔτι δὲ φιδεικομίσσοις, καὶ μέντοι καὶ διανεμήσεσιν ἀῤῥήτοις εἰς ψυχικὴν διαβαινούσαις ὠφέλειαν, τούτοις ἡ μὲν τοῦ θανόντος ἐπίσκηψις καιρὸν οὐχ ὑποτίθησιν ὑπερθέσεως, δοκεῖ δὲ μᾶλλον τοὐναντίον ἐπιτρέπειν ἥκιστα τὰ πεπραγμένα βραδέως ἐπιτελεῖν. ἀλλὰ καὶ ὁ νόμος οὔτε τὸν ἐπίτροπον, εἴπερ ἐτύγχανεν ἔτι ζῶν, ὑπὸ εὐθύνην ἐποίησεν ἂν μεθ' ἑτέρων συντετηρημένως διῳκηκότα, τὴν δὲ ἐκείνου γαμετὴν πολλῷ πλέον οὐκ εὐθυνεῖ τὰ ὑφ' ἑτέρων πεπραγμένα λέγουσαν ἀγνοεῖν. εἰ μὲν γὰρ οὐχ, ὥσπερ διηγόρευται, πρόσθεν ἀπό τε τῆς τοῦ μαγίστρου βουλήσεως, ἀπό τε τῆς βασιλικῆς γραφῆς ἄδεια τοῖς ἐπιτρόποις προσῆν καὶ τὴν ὕπαρξιν ἐκκενοῦν, εἰκοτέροις λογισμοῖς ὑπέκειντο οἱ ἐπίτροποι· ἐπεὶ δὲ διοίκησις μὲν ἐλευθέρα τούτοις ἀνίετο, οἱ δὲ καὶ ταύτην ὑπὲρ τὴν ἀκρίβειαν κατεπράξαντο, τίς ἂν τὸ ἀμεμφὲς αἰτιάσηται;

[ιβ΄.] Ὅτι ἐκ συνηθείας ἐπὶ τετραετίαν ἔχουσιν [ἀνάγκην] οἱ ἐπίτροποι παρακατέχειν [τὰ] πράγματα τοῦ τελευτήσαντος διὰ τὰς ἴσως αναφυομένας ἐνοχάς. καὶ ἐσημειώσατο ὁ μάγιστρος· ἡ τῶν πραγμάτων ἀκολουθία διὰ τὰς περιστάσεις καὶ τὰς ἀναφαινομένας ὥσπερ ἐκ μηχανῆς ἀπροσδοκήτως δίκας συνήθειαν εἰσηγήσατο, ὥστε μέχρι τετραετίας φείδεσθαι τοὺς ἐπιτρόπους τῶν ἀποκτήσεων. τὸ[1] δ' ἐντεῦθεν ὄντα ἐκείνοις ἀναγκαῖα τὰ τῆς φειδοῦς, καὶ τοῖς ἐπιφυομένοις ὥστε δίκας ἐπισείειν αἰτία μᾶλλον προσάπτεται ῥᾳθυμήσασι καὶ βραδέως ἢ πρὸς ἧττον τῶν οἰκείων ἐπιμνησθεῖσι. ὥσπερ γὰρ [εἰ] παρα

[1] Haec verba corruptela laborant: videntur indicari rationes, quibus nitatur consuetudo illa.

βασιλέως πρὸς ἄλλους μεταφέρεται τὰ ἑτέροις προσήκοντα, τετραετίας ὅρος εἰς προσέλευσιν ἥπλωται τοῖς οἰομένοις βεβλάφθαι τῶν εἰληφότων ἀνενοχλήτων μενόντων, οὕτω κἂν ταῖς ἐπιτροπικαῖς διοικήσεσι πραγμάτων διανεμηθῆναι μελλόντων εἰς ψυχῆς λυσιτέλειαν ἀνθρώπων[1], οὓς οὔτε θεῖος οὔτ' ἀνθρώπινος νόμος ὑπὸ εὐθύνην καθίστησιν, τὴν τετραετίαν φυλάττεσθαι ἡ συνήθεια τοῖς ἐπιτρόποις παρεγγυᾷ· τοῖς δ' οὕτω πράξασι μετὰ ταῦτα ἐπιτιμᾶν οὐκ ἐνὸν ἐπὶ τῇ ἀορίστῳ τῆς ὑπάρξεως ἀποβολῇ. εἰ[2] μὲν οὖν ὡς νόμος ἤδη κρατοῦσα συνήθεια ταῦτα βούλεται, πολλὰ μὲν δυναμένη καὶ παρ' ἑαυτῇ ἐξευρίσκειν, πολλὰ δὲ καὶ πρὸς νόμους ἀναφέρουσα πράττειν, καὶ τοῦ νόμου θεσπίζοντος ἐκ τῶν ὁμοίων τὰ περὶ ὧν οὐ κεῖται νόμος τέμνεσθαι δεῖν, ἀλλὰ καὶ οἱ ἔγγραφοι νόμοι ἔστιν[3] ὅπου κἂν τοῖς ἀναγκαίοις ὀφείλουσι φυλάττεσθαι, πεφροντισμένως τῶν ἐπιτρόπων κηδόμενοι φαίνονται διὰ τὴν τοῦ ὀφφικίου κοινωφελῆ χρείαν.

[ιγ'.] Ὅτι ἐπίτροπος ἔχων χρυσίον τοῦ ἀπελθόντος, εἰς τόκους τούτου οὐκ εὐθύνεται, εἰ μὴ συγχρήσεται τούτῳ. καὶ ἔκρινεν ὁ μάγιστρος οὕτως· ὁ πρωτοσπαθάριος μύρων καὶ κοιαίστωρ οὐχ ὑπ' εὐθύνην τὸν ἐπίτροπον στενηλάσει τόκων ἐκτίσεως, μὴ συγχρησάμενον τῷ ἀποθέντι χρυσίῳ μηδὲ εἰς ἰδίαν χρείαν τοῦτο στρέψαντα, ἀλλ' ὡς παρείληφε τοῦτο παρὰ τοῦ πατρικίου καὶ κοιαίστωρος συντηροῦντα, ἕως ἡ τοῦ δημοσίου ἐπελθοῦσα ἐνοχὴ αὐτῷ ἐκεῖνο τὸ χρυσίον ἀφείλετο.

[ιδ'.] Ὅτι οὐκ ἀναγκάζονται οἱ ἐπίτροποι ἐν ἀλλοτρίῳ τόπῳ τὰς ὑπὲρ τοῦ ὀφφικίου ἐγγυμνάζειν ἀγωγὰς μὴ ἐπιφερόμενοι δικαιώματα.

[ιε'.] Ζήτει βι. ιθ' τί. ια' κεφ. δ'[4]· „Τοῦ ἐπιτρόπου πωλήσαντος, ἐὰν ἐκνίκησις γένηται, ὁ ἐπιτροπευθεὶς ἐνάγεται, εἰς ὅσον εἰσήχθη τοῖς λογισμοῖς αὐτοῦ, ἢ καὶ εἰς ὁλόκληρον, εἰ ὁ ἐπίτροπος ἀπορεῖ.“ θεμάτισον τὸν ἐπίτροπον κατὰ τὴν νόμιμον εἰς τὸν[5] πωλήσαντα παρατήρησιν.

[ις'.] Καὶ τί. α' κεφ. κη'[6]· „ἐπίτροπος οὐ δύναται τοῦ

---

[1] Cod. ἀνους habere videbatur. Forte ἀνθρώπου, ὅν. [2] Legerim: ἡ. ' [3] Haec corrupta esse crediderim. [4] Cf. Suppl. edit. Basil. Heimb. p. 282. — Caeterum Cod. post κεφ. δ' subjicit: ζήτει τοῦτο εἰς τὸ περὶ τόκων. Quae quid sibi velint, equidem nescio: certe in tit. XIX nihil occurrit, quod huc faciat. Fortasse in fine capitis 13 collocari debent. [5] Verba εἰς τόν, nisi quid exciderit, omnino abundant, nisi forte αὐτὸ legendum sit. [6] Cf. Suppl. cit. p. 258.

ἀνήβου ἀγοράσαι πράγματα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων, κουράτωρος καὶ φροντιστοῦ καὶ διοικητοῦ καὶ τοῦ παρὰ γνώμην τοῦ δεσπότου ἀλλότρια διαπωλοῦντος[1]."

[ιζ'.] Καὶ τί. ε' κεφ. κ'[2]· „Ἠγόρασα παρά σου συμφωνήσας ἀναλυθῆναι τὴν πρᾶσιν, εἰ μὴ τὸ τίμημα καταβάλω εἴσω τῆσδε τῆς προθεσμίας· καὶ μετὰ θάνατόν σου [ἐπίτροπος] γενόμενος τοῦ υἱοῦ σου σὺν ἑτέροις, οὔτε αὐτοῖς κατέβαλον οὔτε τοῖς λογισμοῖς εἰσήγαγον. ἀναγόραστον γίνεται τὸ πρᾶγμα."

[ιη'.] Ὅτι ὁ μὴ ἀπογραφόμενος ἐπίτροπος ὑπόκειται τῷ ἐνδίκῳ ἢ τῷ ἰν λιτὲμ ὅρκῳ. ἄνθρωπος ὑπεσχέθη προῖκα καὶ ἔλαβε ταύτην· εἶτα ἐξενικήθη μέρος ταύτης· καὶ θανόντος τοῦ προικίσαντος ἠναγκάζετο ὁ ἐπίτροπος ποιῆσαι τὸ ἱκανὸν τῆς ἐκνικήσεως. ὁ δὲ ἔλεγε, μὴ ἀρκεῖν τὴν ὑπόστασιν, καὶ ἀπῃτεῖτο ἀπογραφὴν, καὶ μὴ ἀπογραφόμενος ηὐθύνθη παρὰ τοῦ μαγίστρου, οὐκ εἰς πάντα ὅσα εὐπορεῖ ὁ διαθέμενος, ἀλλ' εἰς μόνον τὸ χρέος, ὅπερ ὁ ἐνάγων ἀπὸ τῆς προικὸς ἐχρεωστεῖτο. ἔγραψε γὰρ οὕτως· ὅσα γε προσῆν τῷ διαθεμένῳ διὰ τοῦ ἰν λιτὲμ ὅρκου καταδικασθήσεται[3], ὅτι μηδ' ὁ ἐνάγων δίκαιός ἐστι πάντα οἰκειοῦσθαι, ποσότητα κεχρεωστημένος ῥητὴν, ἀλλὰ πρὸς τὰ ἐπηγγελμένα καὶ λεληγατευμένα τούτῳ εὐθυνθήσεται, μὴ πείθων αὐτὸν δι' ἐμφανείας ἀπογραφῆς. φησὶ γὰρ βι. [λζ'.] τί. [ζ'] κεφ. [ς']· „ἐὰν χωρὶς εὐλόγου αἰτίας ὁ ἐπίτροπος μὴ ποιήσῃ ἀπογραφὴν, ὡς δόλον ἁμαρτάνων ὑπόκειται τῷ ἐνδίκῳ[4] ὅρκῳ εἰς τὸ διαφέρον. πρὸ δὲ τῆς ποιήσεως αὐτῆς διοικεῖν οὐδὲν ὀφείλει, εἰ μὴ τὰ μηδὲ μετρίας ὑπερθέσεως δεόμενα[5]." „εἰ[6] δέ τις ἐκ προπετοῦς προθέσεως διάσκεψιν μὲν αἰτήσει, ἀπογραφὴν δὲ μηδαμῶς ποιήσει, καὶ ἢ καταδέξεται τὴν κληρονομίαν ἢ μηδαμῶς αὐτὴν παραιτήσηται, οὐ[7] μόνον τοῖς δανεισταῖς καὶ λεγαταρίοις εἰς ὁλόκληρον κατεχέσθω, ἀλλὰ καὶ τῇ τοῦ φαλκιδίου νόμου εὐεργεσίᾳ μηδαμῶς κεχρήσθω."

[ιθ'.] Ὅτι ὁ ἐπίτροπος κακῶς διοικήσας τὰ τοῦ ἀνήβου οἴκοθεν ζημιοῦται. ἔκρινε γὰρ ὁ μάγιστρος· δίκαια λέγειν ἔδοξεν ὁ ἐνάγων, εἴπερ οὐσίας ὑπούσης τὴν περὶ χρέους ἀγωγὴν οὐκ ἔλυσαν οἱ ἐπίτροποι ἀφ' ὧν ἐχρῆν, ἀλλ' ἐζημίωσαν τὸν κληρονόμον στερήσει μὴ καθαρῶν καρπῶν τοσου-

---

[1] Lege *διοικοῦντος*. [2] Cf. Suppl. cit. p. 265. [3] Negatio deesse videtur. [4] Cod. *ἀντιδ.* [5] Heimb. *ἀνεχόμενα* legi vult. [6] Sequentia quomodo huc pertineant non video. Fortasse lacuna est. Sunt autem *ἐκ τοῦ κατὰ πόδας* l. 22 §. 14 C. de jure delib. 6, 30: ideoque restituenda in lib. XXXV Basil. tit. 14 c. 110 ed. Heimb. III p. 618 sq. [7] Cod. *καί*.

των ἐνιαυτῶν, οὓς καταβαλεῖν οἴκοθεν ὡς κακῶς διῳκηκότες δίκαιοί εἰσιν.

[κ'.] Ὅτι ὁ σακελλάριος ἐπίτροπος κατελείφθη τοῦ πριμμικερίου ἀνθίμου. ὁ δὲ κατέλιπε τῷ ἀνεψιᾷ αὐτοῦ λεγάτον, καὶ ἀτελεῖ τὴν ἡλικίαν ὄντι οὐκ ἐπίστευσε τὸ λεγάτον αὐτῷ ὁ ἐπίτροπος, ἀλλὰ δανείζων τοῦτο τὸν τόκον παρεῖχε πρὸς αὐτόν· εἶτα φοβηθεὶς προσήνεγκε τὸ χρυσίον εἰς τὸ δικαστήριον τοῦ μαγίστρου κοιαίστωρος ὄντος καὶ ᾐτήσατο σφραγισθῆναι. καὶ ἐδέξατο τοῦτο ὁ μάγιστρος, καὶ ἐσφράγισε καὶ ἀπέθετο ἐν ναῷ, γράψας οὕτως· ἐκδανεῖσαι μὲν τὸ χρυσίον ὁ ἐπίτροπος οὐκ ἐθάῤῥει διὰ τὰς ἀπροσδοκήτους τῶν δανειζομένων βιωτικὰς περιτροπὰς ἢ καὶ κακουργίας καὶ ὑπερθέσεις, τὸ δὲ κατέχειν ἀσφράγιστον ἀνάξιον αὐτὸ κηδεμόνος ἔμφρονος ἐνόμισεν εἶναι· ἀμέλει καὶ προσενεχθὲν ἐσφραγίσθη παρ᾽ ἡμῶν ἐπὶ ἀσφαλεστέρᾳ συντηρήσει, ἕως ὁ λεγατάριος τῆς ἐντελοῦς ἡλικίας γένηται.

[κα'.] Ὅτι κἂν ἡ ἐπιτροπὴ εἰς κληρονόμους οὐ παραπέμπεται, ὅμως ἐκ τῆς τῶν πατέρων διοικήσεως καὶ παῖδες κληρονομοῦντες τούτους εὐθύνονται.

[κβ'.] Ὅτι κατέλιπέ τις ἐπίτροπόν τινα, καὶ κλῆρον ἀφῆκεν ἑτέροις ἀφήλιξιν. ὁ δὲ ἐπίτροπος ἀγωγὴν ἐκίνει καὶ κατ᾽ αὐτοῦ τελευτήσαντος καὶ τοῦ πρώτου τῶν ἀφηλίκων. καὶ ὁ μάγιστρος ἔγραψεν· ἄτοπον ἦν κηδεμόνα τοῦτον ἀναδειχθῆναι τῶν νέων δίκας ἔχοντα κατ᾽ αὐτῶν· εἰ γὰρ ὁ καθ᾽ ἑτέρων τῶν νέων ὑπερμαχῆσαι ὀφείλων, οὗτος κατ᾽ αὐτῶν δίκας τρέφων κηδεμὼν χειροτονηθείη, ποῖα ἐλπὶς μὴ πάντα μὲν κατὰ τῶν νέων πραχθῆναι, πάντα δὲ ἐπ᾽ ὀλέθρῳ τῆς τοῦ κηδεμονεύοντος ψυχῆς; ἀλλ᾽ οὗτος εἰδὼς ὅτι καὶ αὐτὸς παίδων ὢν πατὴρ ἴσως ἑτέρου δεηθήσεται τοῦ μετὰ θάνατον προστησομένου τῶν[1] παίδων αὐτοῦ, ὑπῆλθε τὴν κηδεμονίαν παραιτησάμενος καὶ ἀφεὶς πασῶν τῶν ἀγωγῶν τὴν ἡμίσειαν[2].

---

[1] Cod. πῶς. Forte πῶς τῶν. [2] Cf. supra c. 2.

ΤΙΤΛΟΣ ιζ΄.

Περὶ ἀφηλίκων δωρεῶν καὶ λοιπῶν πραγμάτων καὶ περὶ ἀποκαταστάσεων.

[α΄.] Ὁ δωρούμενός τι ἀφήλικι, καὶ ὕστερον παρὰ τοῦ ἀφήλικος ἀφαιρούμενός τι πρᾶγμα, οἰκείῳ δικαίῳ ἀναδίδωσι τοῦτο, μὴ προβάλλων ὡς ἄρα ἐδωρήσατο, μήτε τοῦ ἀφήλικος δεδιότος τὸ τῆς ἀχαριστίας ἐπιτίμιον εἰς τὸ νικᾶν κατὰ τοῦ ἀφελομένου ἢ καταλογιζομένου τὸ δωρηθὲν εἰς τὸ ἀφαιρεθέν· οὐ γὰρ διὰ τοῦτο ἐδωρήσατο, ἵνα πάλιν ζημιώσῃ· εἰ γὰρ τοῦτο ἦν, μήτε δωρήσασθαι ἐχρῆν μήτε ζημιῶσαι. ἀλλὰ μὴν ὁ μὲν ἀφήλιξ ὅπερ ἐδωρήθη αὐτῷ κερδαίνει, ὁ δὲ ἀφαιρούμενος ἀποδίδωσιν αὐτῷ.

[β΄.] Ὅτι ἐὰν ὠνήσομαι οἶκον παρά τινος ἀφήλικος μὴ εἰδώς, ὁ νέος δύναται κινεῖν κατ' ἐμοῦ μετὰ τὸν κε΄ χρόνον ἔχων τὴν δεκαετίαν ἢ εἰκοσαετίαν, καὶ ἔκτοτε τρέχει ὁ χρόνος.

[γ΄.] Ὅτι[1] τὰ ἐν ὑποστάσει τοῦ ὀρφανοῦ ἀνδράποδα οὐκ ἐκποιοῦνται, διά τε τὰς ἀποδείξεις τῆς ὑποστάσεως καὶ τοῦ ἐλέγχους. ὅτε δὲ εἰσὶ πράγματα καὶ χρυσίον, οὐ συγχωρεῖται ἀγοράζεσθαι ἀνδράποδα· οὐ γὰρ χρὴ τὰ μὴ φθειρόμενα μεταβάλλεσθαι εἰς εὔφθαρτα καὶ εἰς[2] ὑπὸ ψυχήν, διότι καὶ τὰ εὔφθαρτα τῶν πραγμάτων ἀναγκάζονται ἐξαργυρίζειν οἱ ἐπίτροποι.

[δ΄.] Ὅτι[3] μετὰ ιδ΄ χρόνον τῆς ἡλικίας ὀφείλει ὁ παῖς τῷ ἀγοραστῇ τοῦ πατρῴου οἰκήματος ἢ κτήματος εἴ τι ἔχει δίκαιον προφωνεῖσθαι. οὐδὲ γὰρ μετὰ τὸν κε΄ ἢ κθ΄, ἀλλ' ἀπὸ τοῦ ἰδίου[4] χρόνου τοῦ παιδὸς τρέχει ἡ τῆς κυριότητος τριακονταετία. καὶ εἰ φθάσει κυριεῦσαι διὰ τριακονταετίας ὁ ἀγοραστὴς μετὰ τὸ γενέσθαι τὸν παῖδα ιδ΄ χρόνων, οὐ φοβεῖται αὐτόν, ὡς εἶναι τὸν βουλόμενον κινεῖν περὶ πατρῴου κτήματος παῖδα χρόνων μδ΄. ὑπὲρ τοῦτον γὰρ τὸν χρόνον κινῶν οὐκ ἀκούεται, ἀλλ' ἀποκλείεται.

[ε΄.] Ὅτι ἀφήλιξ ὑπερβὰς τὸν ιδ΄ χρόνον καὶ γαμικὸν σύμφωνον ποιῶν, εἰς ἃ μὲν περὶ τὰ πράγματα ἢ πρὸς ἄλλας τινὰς ὑποθέσεις περιεγράφη, βοηθεῖται· τὸν δὲ γάμον μέλλων διαλύειν οὐκ ἀκούεται ὡς ἄνηβος. καὶ γὰρ ἔλεγεν ὁ μάγιστρος, ὅτι εἰ τοῦτο δοίημεν, οὐδὲ διαθήκη συστήσεται ἀνήβου, καίπερ νόμου κειμένου, τὸν ὑπὲρ τὰ ιδ΄ ἔτη γεγονότα νομίμως

---

[1] Cf. tit. XVI c. 4. [2] Cod. τήν. [3] Cf. tit. VIII c. 6. [4] Lege ιδ΄.

διατίθεσθαι. τοῦτο ὕστερον ἔκρινεν ἐπὶ τοῦ υἱοῦ τοῦ κομνηνοῦ[1]· καὶ γὰρ εἰκοστοῦ ὄντος ἔτους καὶ μέλλοντος λύειν τὴν μνηστείαν, ἀπήτησε πρόστιμον· τέως δὲ τὸν ιή χρόνον ἀρκεῖν εἰς τὸ μὴ προβάλλεσθαι ἀφηλικιότητα ἐν τοῖς γαμικοῖς συμβολαίοις καὶ συναλλάγμασι.

[ς'.] „Ἐάν[2] τινα πράγματα πρὸ τῶν γάμων μετὰ τῆς πρεπούσης συμμετρίας ὁ ἐλάττων τῶν κέ ἐνιαυτῶν ἐν τῷ καιρῷ τῆς μνηστείας δωρήσηται, παρόντος αὐτῷ τοῦ προκουράτωρος, τῷ προκαλύμματι τῆς ἡλικίας αἱ τοιαῦται δωρεαὶ οὐκ ἀνακαλοῦνται.“ τὸ „τινὰ πράγματα“ πρὸς εὐτελῆ καὶ οὐ πρὸς μεγίστην ποσότητα ἀναβιβάζεται· οὐ γὰρ συγχωρεῖται ὁ ἀφῆλιξ πρὸς μνηστὴν δωρεὰν μεγίστην ποιεῖσθαι. τὸ δὲ „μετὰ τῆς πρεπούσης συμμετρίας“ τὸ μὴ εἰς ὀβολοὺς ἐλαχίστους καταβιβάζεσθαι μήτε ὑπὲρ τὸ μέτρον καθίστασθαι· τὸ γὰρ σύμμετρον οὐκ ἐπὶ μέγα[3] βούλεται τὸν κλῆρον τοῦ ἀφήλικος ἀκρωτηριάζεσθαι.

[ζ'.] Ὅτι ὁ καταπραξάμενος ἐν ἀφηλικιότητι δωρεάν, βοηθεῖται μετὰ τὸ τὴν τελείαν ἡλικίαν ὑπερελάσαι ἐντὸς δέκα ἐνιαυτῶν. ὡς βι. ί τί. δ' κεφ. νβ'[4].

[η'.] Ὅτι ὁ πατὴρ μέλλων ἐκδοῦναι πρὸς γάμον τὴν θυγατέρα, ἐπεχείρησε πωλῆσαι τινὰ πράγματα, ἐξ ὧν ἔμελλεν ὑποθέσθαι[5] τῇ θυγατρί. ὁ δὲ μνηστὴρ δέδωκε τὸ χρυσίον πρὸς τὸν πενθερόν, καὶ ἔγραψεν ὁ πενθερὸς οὕτως· ἔμελλον πωλῆσαι τὰ κτήματα, καὶ διὰ τὸ ἔχειν σὲ τὸν γαμβρόν μου ἐπὶ χεῖρας λογάριον, προύκρινας ἐπιδοῦναί μοι λ' λίτρας, καὶ τὰ τοιαῦτα κτήματα διαμένειν εἰς προῖκα μὲν τῆς ἐμῆς θυγατρὸς ἀπαρασάλευτα, σοῦ δὲ στεφάνου μετὰ θεοῦ μελλομνηστῆς. καὶ τῆς γυναικὸς ἐν τῷ γάμῳ τελευτησάσης τὸ μέρος αὐτῆς ἐπειράθη τὰς τριάκοντα λίτρας αὖθις λαμβάνειν, προτεινόμενον καὶ τὸ χρυσίον δωρηθῆναι παρὰ τοῦ στεφάνου πρὸς τὴν μνηστήν. καὶ ὁ δικάζων ἔκρινε, τὴν τοιαύτην μὴ εἶναι δωρεάν, ἀλλὰ τὸν πενθερὸν μὴ βούλεσθαι πρὸς ξενικὸν διαβιβάσαι τὰ κτήματα πρόσωπον, ἀλλὰ τῇ ἰδίᾳ ἀπογονῇ ταῦτα παραπεμφθῆναι.

[θ'.] Ὅτι δίκη ἐκινήθη, ὡς ὁ πατήρ τινος ἐτελεύτησε μὴ ζητήσας τὴν μητρῴαν κληρονομίαν, καὶ ὁ τούτου υἱὸς ἐζήτει τὴν μαμμῴαν κληρονομίαν, καὶ εὑρέθη, ὅτι ὁ πατὴρ αὐτοῦ μετὰ

---

[1] Cf. infra c. 14. [2] Cf. Harm. IV, 3, 4. — Basil. X, 12, 1. [3] Vel μέρος. [4] Videtur indicari c. 63 apud Heimbach. [5] Forte προῖκα θέσθαι.

τὸ αὐτεξούσιος γενέσθαι χρόνων διελθόντων λ' οὐκ ἐζήτησέ τι τῶν μητρῴων. καὶ ὁ δικαστὴς ἔπαυσε τὸν τούτου υἱὸν ἐπιζητεῖν τὴν κληρονομίαν, εἰπών, μὴ δυνήσασθαι τοῦτον εἰς ἕτερον χρόνον καταφεύγειν, καὶ ἴσως προβάλλεσθαι κατὰ τὴν τελευτὴν τοῦ πατρὸς πάντη ἄνηβος εἶναι καὶ ὑπὸ ἐπίτροπον τελεῖν, καὶ χρόνους ἀνηβότητος ὑπεξαιρεῖν. ὅτι ὁ νόμος[1] *λέγει· εἴπερ ὁ ἐλάττων τὸν ἐνήλικον διαδέξεται, μὴ πλέον ἐκείνου προνόμιον ἔχει, ἀλλὰ τοὺς βοηθοῦντας τῷ ἀπελθόντι χρόνους δίδωσιν αὐτῷ, καὶ ἀνεπιφωνήτων τῶν χρόνων τρεχόντων ἀποκλείεται τῆς κινήσεως, καὶ τὸ τῆς ἡλικίας ἀτελὲς οὐδὲν αὐτῷ συμβάλλεται.*

[ι'.] *Ὅτε*[2] *ἀποδείξεις ἔχων ὁ νέος οὐ χρήσεται ταύταις, ἀλλ' ἕληται ὅρκον, ἔχει ἀποκατάστασιν· ὅτε δὲ ἀπορῶν ἀποδείξεων κατὰ τὸν καιρὸν τῶν ἀγώνων ἐκδικητὴν καὶ συνέκδημον ἔχων τὸν ὅρκον ἐπήγαγε, τῷ κοινῷ χρησάμενος νόμῳ καὶ ᾧτινι οἱ τέλειοι, οὐκ ἀποκαθίσταται. καὶ φησὶ βι. κθ' τί. ε' κεφ. λβ'*[3]*· „παλαιός ἐστιν ὁ τῆς διατάξεως ταύτης κανών, λέγων μὴ δοκεῖν τὸν ἐλάττονα περιγράφεσθαι ἐν ἐκείνοις, ἐν οἷς τῷ κοινῷ νομίμῳ χρῆται.“ καὶ βι. β' τί. δ' κεφ. ιζ'*[4]*· „ταῖς ἐλάττοσι μηδὲν κερδᾶναι βουλομέναις ἀντικείσθω ἡ τοῦ νόμου ἄγνοια.“*

[ια'.] *Ὅτι ἐτελεύτησέ τις ἐπὶ παισὶ καὶ χρέεσι, καὶ ὁ κοιαίστωρ ᾠκονόμησε, παλαιὸς*[5] *δὲ οὗτος ἦν, διαπωληθῆναι ἀκίνητον τοῦ τελευτήσαντος· οὐ γὰρ ἤρκει ἡ κινητὴ οὐσία, μικρὰ οὖσα, τὰ δὲ χρέα μέγιστα. τοῦτο δὲ ἐποίησε διὰ τὸ μὴ τοὺς τόκους πλεονάσαντας πᾶσαν τὴν ἐκείνου ὕπαρξιν ἐξαντλῆσαι.*

[ιβ'.] *Βι. ιθ' τί. ια' κεφ. ..*[6]*· „ἀπολιμπανομένου τοῦ ἐπιτρόπου κατὰ τὸ φιλάγαθον ὁ ἄνηβος παραγγέλλεται.“ τοῦτο προσθήκη ἐστὶν, ἔνθα περὶ ἐκνικήσεως κινεῖται κατὰ*[7] *τοῦ ἀγοραστοῦ ἀγωγή.*

[ιγ'.] *Καὶ βι. β' τί. δ'*[8] *κεφ. ι'· „οἱ ἄνηβοι χωρὶς τῶν ἐπιτρόπων πράττοντες οὐδὲν δοκοῦσι δύνασθαι ἢ γινώσκειν.“*

[ιδ'.] *Ὅτι*[9] *ὁ υἱὸς τοῦ κομνηνοῦ ιη' ὢν ἐτῶν ἐποίησε χαρτίον μετὰ τοῦ πρωτοσπαθαρίου ἡλίου, ἵνα λάβῃ τὴν θυγατέρα αὐτοῦ· πλὴν ἵνα ἐξέλθῃ ἔξω διὰ τὸ κατεπείγεσθαι τοὺς καρποὺς συγκλεῖσαι, καὶ ἐὰν μὴ ἐντὸς ἓξ μηνῶν ἔλθῃ καὶ ποιήσῃ χαρτία ἀῤῥαβωνικὰ καὶ παραλάβῃ τὴν προῖκα, ἵνα δῷ*

[1] Cf. Harm. I, 3, 19. — In Basil. non invenio. [2] Cf. infra tit. LXVIII c. 7. [3] Potius Basil. X, 4, 59. — Cf. Harm. I, 12, 49. [4] Apud Heimb. est c. 20. [5] Antiquus Quaestor, non Eustathius. [6] Cf. Suppl. edit. Basil. Heimb. p. 284. [7] Lege *παρὰ*. [8] Cod. *β'*. [9] Cf. supra c. 5.

πρόστιμον λίτρας κέ. εἶτα εἰσῆλθε, καὶ ἐξέθετο χαρτία τοῦ ἀῤῥαβῶνος καὶ παρέλαβε τὴν προῖκα λιτρῶν ϛʹ, καὶ τέθεικε πρόστιμον, ἐὰν μὴ πληρώσῃ τὸν γάμον, λίτρας λʹ, ὁμολογήσας ὑποκεῖσθαι καὶ εἰς τὸ πρόστιμον τοῦ πρώτου χαρτίου τῶν κέ λιτρῶν. προέβη οὖν ἡ μνηστεία ὑπὸ ἀνύσει βασιλικῇ. χρόνῳ τινὶ ὕστερον ἀφήνδασε πρὸς τὸν γάμον ὁ κομνηνὸς, καὶ ὠργίσθη κατ' αὐτοῦ ὁ βασιλεύς. ὁ δὲ εἶπεν, ὅτι ἀφῆλιξ ἤμην καὶ ἠπατήθην ὑπὸ τοῦ βαϊούλου μου. ὁ δὲ βασιλεὺς καὶ οὕτως ἀπεπέμψατο τοῦτον, εἰπὼν, ὅτι ἐγὼ ὥρισα τοῦτο, καὶ οὐκ ἐῤῥόγευσεν αὐτόν. ἐτελεύτησεν ὁ βασιλεὺς, καὶ ὁ μάγιστρος ἐζήτει τὴν δίκην, καὶ ὁ μετὰ τοῦτον βασιλεὺς λέγοντα τὸν κομνηνὸν ὅτι ἀφῆλιξ ἤμην, ὅτε ἐποίησα τὴν μνηστείαν, οὐ προσεδέξατο, εἰπὼν, ὅτι ἀφήλικες ἐν οἷς περιγράφουσιν ἄλλους, οὐ βοηθοῦνται· μείζων δὲ ποῖα ἄλλη περιγραφὴ ἢ τὸ εἰσελθεῖν εἰς οἶκον ξένον εὐγενοῦς γυναικὸς καὶ συγκλητικοῦ ἀνδρὸς καὶ ἰδεῖν τὴν θυγατέρα αὐτοῦ καὶ ὁμιλῆσαι αὐτῇ καὶ ἀναπαύσασθαι ἐν τῷ οἴκῳ, ὑπισχνούμενος μνηστείαν συνιστᾶν; ἀλλὰ καὶ ὁ[1] ἀφῆλιξ ἄῤῥην μετὰ τὸν ιδʹ ἐνιαυτὸν διαθήκην ποιεῖ καὶ βεβαία ἐστὶν αὕτη καὶ οὐ διὰ τὴν ἀφηλικιότητα διαῤῥήσσεται· καὶ ζῶν ὁ ἀφῆλιξ μετὰ τὸν ιβʹ[2] ἐνιαυτὸν ἐλευθεροῖ καὶ οὐκ ἀνατρέπεται ἡ ἐλευθερία, καὶ μέχρι μὲν τοῦ ιδʹ ἐνιαυτοῦ ὑπὸ ἐπιτρόπου τελεῖ, μετὰ δὲ τὸν ιδʹ ἄχρι τοῦ κέ ὑπὸ κουράτωρος, καὶ ἐὰν ὁ κουράτωρ συστήσῃ γάμον τῷ ἀφήλικι καὶ οὗτος κινήσῃ ὡς περιγραφεὶς, σκοπεῖται ἡ περιγραφὴ, καὶ ἐὰν εὐπορῇ ὁ προκουράτωρ, ἐκεῖθεν γίνεται τὸ ἱκανὸν τῷ ἀφήλικι, ὁ δὲ γάμος οὐ διαῤῥήσσεται. καὶ ἐνταῦθα εἰ μὲν προέβη περιγραφὴ, καλῶς ἐπιχειρεῖς διαλύειν τὴν μνηστείαν· εἰ δὲ μὴ, χωρὶς προστίμου οὐ λυθήσεται. καὶ προέθετο ὁ δικολόγος περιγραφὴν μίαν μὲν, ὅτι δύο πρόστιμα ἐπερωτήθη ὁ ἀφῆλιξ· ὁ δὲ μάγιστρος εἶπε· γενέσθω ἡ μνηστεία, καὶ ἀργείτωσαν τὰ πρόστιμα. καὶ γὰρ τὸ πρόστιμον διὰ τὴν λύσιν τῆς μνηστείας ἐτέθη· σὺ μὴ λύε ταύτην, καὶ προστίμου δώσει οὐχ ὑποκείσῃ. ἑτέραν εἶπε περιγραφὴν, ὅτι οὐ καλῶς ἀποτιμήθη ἡ προῖξ· καὶ ὁ μάγιστρος· καὶ ἔτι ἀποτιμηθήσεται καὶ σκοπήσομεν τὴν περιγραφὴν, καὶ ταύτην ἰασόμεθα. τρίτη περιγραφὴ προσετέθη, ὅτι νέῳ ὄντι μοι κατεπιστεύθη ἡ προῖξ, καὶ ἀνήλωσα ταύτην καὶ ἐστὶν ἡ γυνὴ ἄπροικος· καὶ τοῦτο ὁ μάγιστρος εἶπε δύνασθαι

---

[1] Cf. Harm. I, 12, 10. Ibi laudatur Ῥωμ. ιζʹ, ιʹ. [2] An ιδʹ secundum Nov. 119 c. 2?

ἰάσασθαι, ποιοῦντος χαρτία τοῦ πενθεροῦ νῦν πρὸς τὴν θυγατέρα, ὅτι εἰ καὶ καταφάγῃ ταύτην ὁ ἀνὴρ, αὐτὸς καὶ πάλιν ἐκτίσει τῇ θυγατρὶ, εἰπὼν καὶ χαρίεντα λόγον, ὅτι πῶς εἶ ἀφῆλιξ καὶ περιγραφεὶς ὁ διανοούμενος ταῦτα καὶ λέγων τὰ μὲν οἰκεῖα μέλλω φυλάττειν, τὰ δὲ τῆς γυναικὸς κατασπαταλᾶν· πάντως γὰρ, εἰ μὴ εἶχες τὰ τῆς γυναικὸς, τὰ οἰκεῖα ἂν κατέφαγες. ἑτέραν περιγραφὴν προσέθετο, ὅτι πλείονα προῖκα ὀφείλομεν λαβεῖν ἐξ ἑτέρας. καὶ εἰς τοῦτο οὐ πάνυ τὶ προσέσχεν ὁ μάγιστρος, εἰπὼν, ὅτι αἱ προῖκες αἱ πλείονες οὖσαι τῶν ρ̄ λιτρῶν βάρος εἰσί· πλὴν ἐπέτρεψε δεικνύειν τὸν ἀφήλικα τὴν οἰκείαν περιουσίαν, ὅση ἐστὶν, ἵνα διαγνωσθῇ, εἰ ἐλάττονα προῖκα τῆς ἀξίας αὐτοῦ ἔλαβεν. εἶπε γὰρ, ὅτι καὶ ἐπὶ τῶν μαρτύρων, ὅτε μὲν περὶ τρόπου ζητεῖται ἤ τινος ἑτέρου ἁμαρτήματος, ἀνάγκην ἔχει ὁ διαβάλλων αὐτοὺς δεικνύειν τὰ ἁμαρτήματα· ὅτε δὲ περὶ εὐπορίας, αὐτὸς ὁ μάρτυς ἀναγκάζεται δεικνύειν τὴν οἰκείαν εὐπορίαν. τελευταία περιγραφὴ προσετέθη, ὅτι πρὸς τὸ ἥμισυ ἐτέθη ὑπόβολον καὶ ὑπεσχέθη παρὰ τοῦ ἀφήλικος, δυναμένου ἐνηλίκου ὄντος ἔλαττον ὑπόβολον συμφωνῆσαι. καὶ τοῦτο ἐκ νόμου ἔλυσεν ὁ μάγιστρος. εἶπε γὰρ, ὅτι ἐν τοῖς βασιλικοῖς εἰς τὸ περὶ προικὸς εἰς τὸ ἴσον ἔχει συμφωνεῖν τὸν ἄνδρα καὶ τὴν γυναῖκα· νεαρὰ δὲ τοῦ κυροῦ λέοντος τοῦ βασιλέως[1] τοῦτο ἐκαινοτόμησε, καὶ ἐτύπωσε πρὸς τὸ ἥμισυ γίνεσθαι, φυλάξασα τὴν συνήθειαν· καὶ ἔνθα μηδὲν περὶ ὑποβόλου συμφωνηθῇ, τὸ ἥμισυ τῆς προικὸς δεχόμεθα· κἂν πλέον τοῦ ἡμίσεως συμφωνηθῇ, στασιάζεται εἴπερ ἀπαιτηθῇ τὸ ὑπέρπλεον· καὶ οἱ κατωτικοὶ ὑπόβολον μὲν ὀλίγον συμφωνοῦσι διὰ τοὺς παῖδας καὶ τὸ ἄδηλον τῆς ἐκβάσεως, θεώρετρον δὲ πλέον. οὕτως οὖν τῶν λεγομένων περιγραφῶν διαλυθεισῶν, κατένευσεν ὁ κομνηνὸς δοῦναι τὸ πρόστιμον καὶ λῦσαι τὴν μνηστείαν. ὁ δὲ μάγιστρος, τῶν κριτῶν ἀμφιβαλλόντων εἰ χρὴ τὰ ἐν ἀμφοτέροις τοῖς χάρταις ἀπαιτηθῆναι πρόστιμα, εἶπεν, ὅτι τὸ μὲν πρώτως γραφὲν πρόστιμον, εἰ καὶ ἐν τῷ δευτέρῳ χαρτίῳ ἐμνημονεύθη, μὴ ὀφείλει ἀπαιτηθῆναι· δοκεῖ γάρ πως μηδὲ παρακαθεῖναι τὸ πρῶτον χαρτίον. ἐτέλεσε γὰρ τὴν μνηστείαν οὗτος εἰσελθὼν, ἀλλὰ καὶ ἀφῆλιξ ἦν καὶ τοιαύτας ἐννοίας αὐτὸν δέχεσθαι οὐκ εὐχερὲς πιστευθῆναι, ὅτι ἀμφοτέροις ὑποπεσεῖται τοῖς προστίμοις ἐκ τοῦ γραφῆναι ἐν τῷ δευτέρῳ χαρτίῳ καὶ τὸ πρῶτον πρόστιμον, ὅτι καὶ εἰς πολὺ τὸ τοῦ προστίμου

---

[1] Nov. 20 Leonis Sapientis.

ἐκτείνεται εἰς λίτρας ξ΄[1]. τὸ δὲ δεύτερον πρόστιμον, ὅτιπερ ὅτε ἡ μνηστεία προέβη ἐτύπωσε, καὶ κατεδίκασεν αὐτὸν δοῦναι ὡς τέλειον τὴν ἡλικίαν. ἔφη γάρ, ὅτι τίς ἡ ἀνάγκη συστῆσαι χαρτίον καὶ πρόστιμον θεῖναι, εἶτα χρόνον πολὺν διελθεῖν, καὶ μὴ μεταμεληθῆναι, ἀλλὰ τελέσαι τὴν μνηστείαν καὶ παραλαβεῖν προῖκα· μετὰ δὲ τὸ προστάξαι τὸν βασιλέα καὶ ἀποδέξασθαι τὸν γάμον τότε προβάλλειν τὴν ἀφηλικιότητα καὶ πειρᾶσθαι λύειν τὴν μνηστείαν ἀποινικῶς; εἰ γὰρ τοῦτο δοίη τὶς, οὐκ ἄν ποτε συσταθῇ γάμος. οἱ πλείονες γὰρ ὀρφανοὶ καταλιμπανόμενοι γάμους τελοῦσι, καὶ πῶς δύναται ἄνθρωπος περιμένειν τὸν κε΄ ἐνιαυτὸν, ὅτε καὶ οἱ ἐξ αὐτοῦ γενόμενοι μνηστεύονται καλῶς; τέως δὲ μετὰ τὸν ιη΄ ἐνιαυτὸν τὴν προβᾶσαν μνηστείαν ὁ μάγιστρος ἐτύπωσε καλῶς προβαίνειν, καὶ χωρὶς προστίμων δύναται[2] ἀνατρέπεσθαι, διότι ἐν τῷ κ̄ χρόνῳ συγγνώμη ἡλικίας δίδοται· ἐὰν δὲ προφανὴς φανῇ περιγραφὴ τοῦ ἀφήλικος, ἀνατρέπεται. ἠρώτησα ἐγὼ, τὸ ἀπαιτούμενον πρόστιμον παρὰ τίνος ὀφείλει κερδανθῆναι, τῆς θυγατρὸς ἢ τοῦ πατρός; καὶ εἶπεν ὁ μάγιστρος, ὅτι παρὰ τοῦ πατρός. ἐπεὶ γὰρ οὐ συνέστη γάμος, οὐδὲ ἐπισημαίνει[3] τοῦτο τῇ θυγατρί· κινδύνῳ γὰρ τοῦ πατρὸς γίνονται τὰ σύμφωνα, καὶ ἐξ ἀποτυχίας αὐτὸς καταδικάζεται ὁ συμφωνῶν. ἐξ ὁμοίου γὰρ ἐὰν ὁ πατὴρ ἀπήρεκε πρῶτον ποιήσασθαι αὐτὸν γαμβρὸν, αὐτὸς ὀφείλει ζημιωθῆναι τὸ πρόστιμον, καὶ οὐχ ἡ θυγάτηρ. μέχρις οὗ γὰρ συστῇ ὁ γάμος καὶ ἁρμόσῃ τῇ γυναικὶ ἡ προῖξ, δύναται ὁ πατὴρ καὶ ἐλαττοῦν τὴν προῖκα καὶ αὔξειν, καὶ διὰ τοῦτο καὶ τοῖς προστίμοις αὐτὸς ὑπόκειται καὶ αὐτὸς πάλιν ἀπαιτῶν κερδαίνει.

[ιε΄.] Ὅτι ἀφήλιξ, ὅσα πράξει ἐντὸς τῆς ἀφηλικιότητος, ἔχει[4] τὸν χρόνον τῆς ἀποκαταστάσεως βοηθοῦντα, ἤγουν μετὰ τὸν κε΄ χρόνον τὴν τετραετίαν, ἵνα ἐντὸς ταύτης κινήσῃ περὶ ὧν περιεγράφη ἐν ἀφηλικιότητι, καὶ εἰ μὴ ἐντὸς τούτων περὶ ὧν δοκεῖ περιγραφῆναι ποιήσεται ἀγωγὴν, ἀποκλείεται. εἰς ὅσα δὲ μετὰ τὸν κε΄ ἐνιαυτὸν[5] κινήσει ἐν δικαστηρίῳ, λέγων ὅτι τόδε καὶ τόδε περιεγράφην, ἄρτι οὐ δύναται εἰς ταῦτα αἰτῆσαι ἀποκατάστασιν, οἷον ἵνα εἴπῃ, ὅτι εἰ καὶ μὴ εἰμὶ ἀφήλιξ ἀλλ᾽ οὖν ἐντὸς τοῦ χρόνου τῆς ἀποκαταστάσεως πράξας αἰτῶ ἀνατρέπειν αὐτά[6]. τοῦτο γὰρ λέγων οὐκ ἀκούεται, ἀλλ᾽ ὅσα καὶ πράξει τὶς

---

[1] Imo νε΄. [2] Lege οὐ δύν. [3] An ἐπισυμβαίνει? [4] Cod. ἔχοντα.
[5] Adde πράξει, εἰ. [6] Cod. corrupte ἀποκαταστάσεως εἰς αὐτὸν ἀνατρέπειν αὐτάς.

καὶ εἴπῃ μετὰ τὸν κε' ἐνιαυτὸν, ταῦτα βέβαια δοκοῦσι καὶ οὐδεμίαν ἐπ' αὐτοῖς ἔχει βοήθειαν εἰς τὸ ἀναπαλαίειν αὐτὰ ἢ χρόνον ἀποκαταστάσεως αἰτεῖν.

[ιϛ'.] Ὅτι οὐ δύναται ἀφῆλιξ ἐνάγειν κατὰ τοῦ ἐπιτρόπου τοῦ πατρὸς αὐτοῦ, καὶ λέγειν, ὅτι οὐκ ἀπέδωκας τὸν πάντα κλῆρον τῷ πατρί μου, εἴπερ ὁ ἐπίτροπος ἀπόδειξιν ἔχει τοῦ πατρὸς τοῦ ἀφήλικος. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος, εἰπὼν, ὁπότε κἂν ἠδίκητό τι περιφανῶς ὁ πατὴρ, καὶ οὕτως ἡ τῶν ἀσφαλειῶν μετὰ τὴν ἐντέλειαν τῆς ἡλικίας προέβη ποίησις, τά τε παραδεδομένα διατρανοῦσα, καὶ μηδὲν παρὰ ταῦτα κεχρεωστημένον αὐτῷ τυγχάνειν ἢ πατρόθεν ἢ μητρόθεν ἢ ἐκ τῆς μάμμης βεβαιοῦσα, πᾶσαν ἐκείνῳ τε καὶ τοῖς ἐξ ἐκείνου ἀπέφραξεν ἀγωγήν.

[ιζ'.] Ὅτι ἐν ταῖς ἀποκαταστάσεσιν οὐχ ὁ αὐτός ἐστι χρόνος, ἀλλ' ἄλλος μὲν ἐπὶ ταῖς δωρεαῖς, ἄλλος δὲ ἐπὶ ταῖς πράσεσι, καὶ ἄλλος ἐπ' ἄλλοις. καὶ ἀναγίνωσκε τὰ ὑποκείμενα νόμιμα. φησὶ γὰρ βι. ι' τί. δ'[1], ὅπερ ἐστὶ βι. δ' τῶν διγέστων τί. δ'[2] κεφ. ιη'· „καὶ οἱ διάδοχοι τῶν νέων ἀποκαθίστανται καὶ τέλειοι ὄντες." Ὅτι[3] „ἔσθ' ὅτε καὶ πλέον τοῦ ἐνιαυτοῦ ἔχει ἡ διαδοχή. ἐὰν γὰρ αὐτὸς ἀφῆλιξ ἐστὶ μετὰ τὸν κε̄ ἐνιαυτὸν ἔχει τὸν τετραετῆ χρόνον τῆς ἀποκαταστάσεως. εἰ δὲ ὀλίγον ὑπελείπετο τῷ τελευτήσαντι[4]." λέγει κεφ. νζ'[5]· „ἀγωγὴν εἶχον κατὰ σοῦ χρονικὴν ἥτινι τυχὸν ι̅ ἡμέραι ὑπελείποντο· αὕτη εἰς νέον μετετέθη· ἀποκαθισταμένου αὐτοῦ, μόναι αἱ ι̅ ἡμέραι ἀποκαθίστανται." καὶ κεφ. ξ'· „ἐπίτροπος ἐτελεύτησεν ἐπὶ γυναικί τινι κληρονόμῳ. αὕτη ὀρφανικὸν ἀγρὸν ἐξεποίησεν· ὁ δὲ ἀγοράσας ἐπὶ χρόνον ἐνέμετο πολύν. προσῆλθεν ὁ νεώτερος τῷ βασιλεῖ, βουλόμενος ἐκδικῆσαι τὸν ἀγρὸν καὶ μὴ ἀντιτεθῆναι αὐτῷ τὴν τοῦ μακροῦ χρόνου παραγραφήν. καὶ ἀντιγράφει πρὸς αὐτὸν ὁ βασιλεὺς οὕτως· ὅτι εἰ μὲν πέπρακεν ἡ γυνὴ τὸν ἀγρὸν, εἰδυῖα σοὶ αὐτὸν διαφέρειν, κακῇ πίστει ἔλαβεν ὁ ἀγοραστὴς τὸν ἀγρὸν παρὰ τῆς μὴ ἐχούσης δίκαιον τοῦ πιπράσκειν καὶ οὐδὲ ὁ χρόνος αὐτὸν ὠφελεῖ. εἰ δὲ ὡς ἴδιον πέπρακεν ἡ γυνὴ καὶ ὁ ἀγοραστὴς καλῇ πίστει ἠγόρασε, δύναται δι' αὐτοῦ δεσπόσαι, ἐὰν μετὰ τὴν μείζονά σου ἡλικίαν ἔδραμε χρόνος

[1] c. 18. [2] Cod.: .. δ τ .. δ^τ τί. ιδ'. [3] Basil. X, 4, 19. [4] Nonnulla omissa sunt ob ὁμοιοτέλευτα. Nimirum haec: ὁ διάδοχος αὐτοῦ νέος ὢν οὐκ ἔχει τέλειον τὸν οὐτίλιον ἐνιαυτὸν (vel τετραετῆ χρόνον) μετὰ τὸ πληρῶσαι τὸν κε' ἐνιαυτὸν, ἀλλὰ μόνον τὸν ὑπολειφθέντα τῷ τελευτήσαντι. [5] Apud Heimb. c. 50.

τοσοῦτος, ὃς ἀρκεῖ εἰς τὴν τοῦ μακροῦ χρόνου παραγραφην,“ τουτέστιν ἐπὶ τῶν παρόντων δεκαετία, καὶ ἐπὶ τῶν ἀπόντων εἰκοσαετία. καὶ κεφ. ..[1] „τοῖς ἐλάττοσι τῶν κε ἐνιαυτῶν οὐ τρέχει τοῦ μακροῦ χρόνου παραγραφή.“ καὶ κεφ. ξγ΄· „ἐδωρήθη πρᾶγμα τοῦ ἀφήλικος δίχα ἀποφάσεως ἄρχοντος· καὶ ὁ λαβὼν αὐτὸ κατὰ δωρεὰν πέπρακεν αὐτὸ ἑτέρῳ τινί. λέγει οὖν ἡ διάταξις, ὅτι ἐπεὶ εὔλογον τίτλον τῆς νομῆς ἔσχεν ὁ ἀγοραστὴς, ἐὰν μετὰ τὸ γενέσθαι μείζονα τὸν νέον ἢ παρόντος αὐτοῦ δεκαετίᾳ ἐνεμήθη ὁ ἀγοραστὴς ἢ ἀπόντος εἰκοσαετίᾳ, ἀντιτιθεμένης αὐτῷ τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς τὸν ἐνάγοντα χρὴ ἀποκλείεσθαι.“

[ιη΄.] Ὅτι μαγκλαβίτης τὶς ἀφήλιξ ὢν κατηγορεῖτο ὡς πεποιηκὼς βίαν καὶ ἀφαρπάσας πράγματα. καὶ ἔκρινεν ὁ μάγιστρος δειχθῆναι τὴν βίαν, καὶ εἰ μηδὲν ἴδιον δείκνυται νῦν ὁ ἐπίτροπος τοῦ μαγκλαβίτου κεκτημένος, οὐ παρὰ τοῦτο ἐλεγχόμενος ζημίας ἔσται ἐλεύθερος εἰς τὸ διηνεκὲς, ἀλλ᾽ ἐπὶ μὲν τοῖς μητρῴοις αὐτοῦ, εἴγε τούτων καὶ δεσπότης ἐστὶ καὶ τῆς χρήσεως κύριος, ἐντεῦθεν ἤδη· ἐπὶ δὲ τοῖς πατρῴοις, ὅτε μετὰ τελευτὴν τοῦ πατρὸς κληρονόμος ἀναφανεῖ, ἢ εἰς ὁλόκληρον ἢ εἰς μέρος εὐθυνθήσεται, ἐγγραφῆς νῦν γενομένης τοῖς δικαιωθεῖσι δεδομένης.

[ιθ΄.] Ὅτι ἡ πατρικία μαρία ἡ καστόρισσα σύμφωνον ἐποίησεν ὑπὲρ τοῦ ἐγγόνου αὐτῆς, ἵνα λάβῃ τὴν θυγατέρα τοῦ πρωτοσπαθαρίου βασιλείου τοῦ στρατηγοῦ, καὶ συνεφώνησαν[2] καὶ τὴν προῖκα, καὶ ἀῤῥαβὼν προέβη, καὶ ᾐτήσατο καὶ ὁ συναδηνὸς[3] καὶ γέγονεν πανθεώτης[4] ὁ γαμβρὸς, καὶ δωρεὰς δέδωκεν [ὁ] πενθερὸς πρὸς αὐτὸν, ὁμοίως καὶ ὁ πατρίκιος ὁ κονάβης[5]. εἰς δὲ τὸ σύμφωνον ὁ γαμβρὸς οὐχ ὑπέγραψεν, οὐδὲ πρόστιμον τέθεικεν, ἀλλ᾽ ἡ μάμμη συμβάλλουσα μετὰ τὰς αἱρέσεις τοῦ γάμου καὶ τὰ λοιπὰ σύμφωνα ἔγραψεν· οἷον δὲ μέρος ἐξ ἡμῶν ἀναβάλληται, ἵνα παρέχῃ λίτρας β̄. ὁ γαμβρὸς[6] τοίνυν ἀπεδυσπέτησε πρός τε τὸν[7] γάμον, καὶ ἐνίκησε τοῦτο εἰς τὸν μάγιστρον, καὶ ἐπεὶ οὐχ εὑρέθη οὗτος ὅλως ἐν τῷ προικῴῳ συμφώνῳ ὑπογράψας, ἀλλὰ μᾶλλον μαρτυρούμενος χρόνων εἶναι εἴκοσι, διελύθη ὁ γάμος χωρὶς προστίμου,

---

[1] Forte παραγραφή. [2] Cod. συνεφάνησαν. [3] Videtur haec vox corrupta esse: de Senatu cogitaveris. [4] Sic Cod. videbatur habere. Vide Ducange s. v. πάνθεον. Sed equidem de Protospatharii dignitate cogitaverim. [5] Vel κινάβης. [6] In Cod. sigla est γρᾶς, quam nescio an recte solverim. [7] Cod. τιμον habere videbatur.

καὶ ἀνέδωκεν ὅσα ἔλαβεν ἀπὸ τοῦ πενθεροῦ. ἐπεὶ δὲ καὶ ὁ πενθερὸς ᾐτήσατο τὸν βασιλέα, ἵνα τὴν τιμὴν τοῦ πανθεώτου, εἰς ἥνπερ ἀξιώσει αὐτοῦ γέγονεν ὁ γαμβρὸς, ἀναλάβηται, κατεδίκασεν αὐτὸς ὁ βασιλεὺς δοῦναι λέγων λίτρας δέκα, καὶ δέδωκε ταύτας. καὶ διὰ τοῦτο ἐσημειώσατο ὁ μάγιστρος, ἵνα καὶ ὁ γαμβρὸς, εἴ τι δέδωκεν, ἀναλάβηται ταῦτα. ζήτει τὸ ονό..[1] φησι περὶ τούτων. ἡ μέντοι μάμμη οὐδὲν εἱλκύσθη εἰς δικαστήριον· οὐ γὰρ αὐτὴ ἀνέλυε τὸν γάμον, ἀλλ' ὁ ἔγγονος.

[κ'.] Ἐὰν ἀφῆλιξ ὢν καὶ πωλῶν κτῆσιν ὀμώσω ἐνήλικος εἶναι, εἰ μὲν πρὸς μὴ εἰδότα τὸν τῆς ἐνηλικιώσεως χρόνον ποιοῦμαι τὸν ὅρκον, οὐκ ὠφελοῦμαι· εἰ δὲ πρὸς εἰδότα ὠφελοῦμαι.

[κα'.] Ὅτι[2] ὅτε χωρὶς δεκρέτου τὰ τῶν ἀφηλίκων ἀκίνητα ἐκποιεῖται, οὐδὲ οἱ προσλαμβανόμενοι ἐγγυηταὶ εὐθύνονται, ἀλλὰ καὶ χωρὶς ἀποκαταστατικοῦ δικαίου οἱ ἀφήλικοι βοηθοῦνται.

ΤΙΤΛΟΣ ιη'.

Περὶ καινοτομίας.

[α'.] Ὅτι ἐγκαλεσάντων τινῶν, ὡς μετοχετεύθη ὑπό τινων τὸ τοῦ ποταμοῦ ῥεῦμα καὶ πλησίον τῶν ὁρίων αὐτῶν ἤχθη, καὶ τοῦ ὀρύγματος καμπὴν δεχομένου σχολαιοτέρως τὸ ὕδωρ ῥέει ἀνακοπτόμενον καὶ πολλάκις τοῦ τάφρου ὑπεῤῥεόμενον ἐπικλύζει τὰ σπειρόμενα τόπια καὶ ζημιοῖ αὐτοὺς ἀφορήτως, ἐπεὶ συνωμολογήθη παρὰ τῶν ἐναγομένων τοῦτο, καὶ διὰ μέσου παραδραμὼν χρόνος βραχὺς ἐφάνη καὶ μὴ ἀρκῶν εἰς παραγραφὴν, ἐσημειώσατο ὁ βέστης, σκοπηθῆναι τὸν τόπον καὶ πραγματικῶς ζητηθῆναι, εἴπερ ἐκ τῆς μετοχετεύσεως βλάβη τὶς γίνεται, καὶ εἰ τοῦτο εὑρεθῇ, μὴ μόνον τὰ γεγονότα ζημιώματα τοῖς ἀντιδίκοις ἱκανωθῆναι ἐννόμως, ἀλλὰ καὶ τὸ καινὸν ἔργον ἐπὶ σχήματος[3], διὰ τὸ βούλεσθαι τὸν νόμον ἑκάστῳ ἐξεῖναι ἐν τοῖς ἰδίοις ποιεῖν ὃ βούλεται, εἰ μὴ βλάπτει τὸν γείτονα.

[β'.] Ὅτι ἐξελάβετό τις κτῆμα χωρὶς καπνικοῦ καὶ συνωνῆς, καὶ μέλλων ἀντιστρέφειν τοῦτο ἐνήχθη. καὶ ἔκρινεν ὁ μάγιστρος, εἰ μὲν ὅτε ἐξεδίδοτο καπνικοῦ καὶ συνωνῆς ὑπέκειτο βάρει, οὕτω καὶ ἀναστραφήσεται πρὸς τὴν ἐπισκοπὴν βεβαρη-

---

[1] An τί ὁ νόμος? [2] Cf. Harm. I, 12, 11. [3] Deest aliquid, veluti: ἀποκαταστῆναι.

μένον· εἰ δὲ ἐλεύθερον τοῦτο πρότερον ἦν, καπνικὸν μὲν ὑπεραναδέξεται[1] ὁ ἐπίτροπος· οὐ γὰρ ἐπὶ τὸ ἀοίκητον εἶναι τὸ κτῆμα ἐξεδίδοτο, ἀλλ' ἐπὶ τῷ τὸν ἐργαζόμενον ἔχειν· τὸ δὲ τῆς συνωνῆς ζημίωμα οὐ προσδέξεται, εἴπερ ἡ ἔννοια τῆς ἐκδόσεως ἄλλως ἔχει, ἀλλ' οὐχὶ ζευγελατεῖον ἐγκαταστῆναι τῷ τόπῳ. καλαμὼν γάρ, ὥς φησιν, ἐξεδόθη καὶ μέρος καλαμῶνος ἠρημωμένου ἐπ' ἐλπίδι τοῦ βελτιωθῆναι, ὥστε τὴν τίμησιν μέρος ἀποκαθιστάμενον τῷ οἰκείῳ[2].

[γ'.] Ὅτι[3] δίκης κινηθείσης ὅτι δοῦλός τινος ἔφθειρε παρθένον δούλην τινός, ὥρισεν ὁ πατρίκιος ἀποτιμηθῆναι τὴν δούλην, ὡς ἦν πρότερον, ἤγουν παρθένον, καὶ νῦν ἐφθαρμένην, καὶ τὸ μειούμενον τῆς ἀποτιμήσεως διπλοῦν ἀναδοῦναι τὸν δεσπότην τοῦ δούλου πρὸς τὸν δεσπότην τῆς δούλης.

[δ'.] Ὅτι ὅτε περιγραφῇ τις εἰς διατίμησιν, τὸν τετραετῆ χρόνον ἔχει βοηθοῦντα αὐτῷ εἰς τὸ αἰτεῖν πάλιν γίνεσθαι διατίμησιν.

[ε'.] Ἡ δουλεία ἀπόψεως θαλάσσης ἐπὶ μόνης τῆς εὐδαίμονος ταύτης πόλεως φυλάσσεται, καὶ κωλύεται ὁ κτίζων καὶ ἐμποδίζων τὴν ἄποψιν κατὰ νομικὴν παρατήρησιν· ἐπὶ δὲ τῶν ἔξω οὐ φυλάσσεται. τοῦτο ὁ μάγιστρος ἔκρινεν ἐν χρυσοπόλει, καὶ εὑρὼν τοὺς ἀντιγραφεῖς φυλάξαντας τὸν ὅρον τῆς ἀπόψεως κατεδίκασε πρὸ πολλοῦ. νῦν δὲ προκομισθείσης τῆς σημειώσεως αὐτοῦ, ἀπεδέξατο τὸν λογισμόν, καὶ ἐρωτηθεὶς εἶπεν, ὅτι ἔνθα δύναται ἄνθρωπος διέρχεσθαι καὶ ἐμπεριπατεῖν τοῖς αἰγιαλοῖς, τίς ἡ χρεία κωλύειν τὸν γείτονα παρατηρεῖσθαι τὰς διαστάσεις; ἐνταῦθα μὲν γὰρ συγκεκλειόμεθα τοῖς τείχεσι, καὶ οὐκ ἐνὸν ἡμῖν καταλιπόντας τὰς οἰκίας αἰγιαλοῖς διανυκτερεύειν, ἐπὶ δὲ τῶν ἔξω οὔτε τείχη διείργουσιν αὐτοῖς τὴν θάλασσαν, καὶ τούτοις ἀκώλυτον τὸ διηνεκῶς ἐν τοῖς αἰγιαλοῖς εἴπερ βούλονται ἐμφιλοχωρεῖν.

[ϛ'.] Ὅτι ἀνάρχως λαβόντος τινὸς ἀμπελῶνα, ἐκρίθη τοῦτον ἀντιστραφῆναι καὶ ἀπαιτηθῆναι καὶ μείωσιν καὶ καρπούς. καὶ ἐσημειώσατο ὁ δικαστής· οὕτως καταδεδίκασται ὁ δεῖνα ἀποτίσαι τῷ μετρητῇ τῶν ἑπτὰ χιλιάδων τοὺς ἀμπελῶνας καὶ τὴν αὐτῶν μείωσιν, πρὸς δὲ καὶ καθαροὺς καρπούς· καὶ γὰρ αἱ μὲν τέσσαρες χιλιάδες ἀντὶ χρυσίου λίτρας μιᾶς παρα-

---

[1] Cod. εἴπερ ἀναδ. [2] Haec ultima corrupta sunt. Videntur nonnulla excidisse. [3] Hic locus ἐκ τῆς πείρας τοῦ ῥωμανοῦ extat inter scholia Basil. ed. Heimb. V p. 757.

δέδονται, αἱ δὲ τρεῖς[1] αὐτονόμως ἀφῃρημέναι οὐκ ἐλάττονος τιμηθήσονται τῶν νδ΄ νομισμάτων, ἀλλὰ τῇ τῶν τεσσάρων ἕψονται διατιμήσει. καὶ καθόσον τῆς μιᾶς τοῦ χρυσίου λίτρας καὶ τῶν ν̄ πρὸς τοῖς δ̄ νομισμάτων ἡ τῆς γυμνῆς γῆς ἀποδείκνυται τίμησις, εὐθυνθήσονται δικαίως. ἀντὶ δὲ καρπῶν διὰ τὴν ἀδηλίαν τούτων τόκους ὑφέξουσι τοὺς ἀπὸ τρίτης ἑκατοστῆς. ἕως μὲν γὰρ ἦσαν οἰνοφύτοις οἱ τόποι κομῶντες, δῆλον, ὅτι λίτρας μιᾶς καὶ νομισμάτων νδ΄ κεχρεώστηνται τόκοι καθ' ἕκαστον ἐνιαυτόν· ἀφ' οὗ δὲ τὴν ἐκ τῶν κλιμάτων πρόσοδον ἀπέβαλλον, ἐλάττονος τιμήματος ὀφείλονται τόκοι κατὰ τὴν ὑποβιβαζομένην τίμησιν· λόγου γὰρ γινομένου μειώσεως, οὐκ ἐνδεχόμενόν ἐστιν οὐδὲ δίκαιον τόκους δίδοσθαι πρὸς τὴν προτέραν τίμησιν δηλαδὴ τὴν πρὸ[2] τῆς μειώσεως.

ΤΙΤΛΟΣ ιθ΄.

Περὶ ἐνεχύρων καὶ τόκων καὶ διαφερόντων καρπῶν.

[α΄.] Ἐὰν χρεωστῶν σοι καὶ δοὺς ὑπὲρ τοῦ χρέους ἐνέχυρα συμφωνήσω ὑπὲρ αὐτοῦ τόκον, εἶτα ἔλθω ἐπιζητῶν τὰ ἐνέχυρα διδοὺς τὸ χρυσίον, καὶ τοῦτο πράξω ἐν ὑπομνήματι, σὺ δὲ μὴ ἔχων τὰ ἐνέχυρα καταθῇς διὰ ῥητῆς προθεσμίας προκομίζειν αὐτὰ, [ὁ πατρίκιος][3] ταύτης διελθούσης δεῖν ἔλεγεν τὸν τόκον ἀργεῖν ἀπὸ τοῦ καιροῦ τῆς προσκλήσεως, καθ' ὃν ἐγὼ περὶ τῶν ἐνεχύρων ἐνήγαγον. τοιαύτην δὲ δή τινα τὴν αἰτίαν περὶ τῆς τοιαύτης οἰκονομίας ἀπεδίδω, ὡς οὐ δίκαιον ἐμὲ τόκον ἀπαιτεῖσθαι χρυσίον δυνατῶς ἔχοντα καταβαλεῖν, καθ' ἣν ἡμέραν τὴν ἀγωγὴν τὴν περὶ τῶν ἐνεχύρων ἐποιησάμην· εἰ γὰρ σὺ τότε τὰ ἐνέχυρα παρεῖχες, φησὶν ὁ χρεωστῶν πρὸς τὸν δανειστὴν, ἔλαβες ἂν τὸ χρυσίον κἀγὼ τὰ ἐνέχυρα. ὅτε δὲ πτωχοὶ εἰσὶ καὶ γυναῖκες οἱ δανείσαντες καὶ λαβόντες ἐνέχυρα, ἔλεγεν ὁ πατρίκιος, ὅτι εἰ καὶ πρόσκλησις γέγονε καὶ ὑπόσχεσις τοῦ προκομίζειν τὰ ἐνέχυρα καὶ οὐ προκομισθῶσιν, ὅμως μέντοι συμπαθεῖ λόγῳ τρέχειν τὸν τόκον, εἰ μήγε παράνομος εἴη καὶ πέρα τοῦ νενομισμένου. τοῖς γὰρ ἁπλῶς συναλλάττουσιν ἐξ

---

[1] Adde: ἐπειδὴ αἱ ἄμπελοι. [2] Cod. περὶ. [3] Cod. pro inclusis καὶ habet, ortum fortasse ex sigla ὁ πᾶ.

νομίσματα τόκον εἰς τὴν λίτραν[1] ἐτύπωσε, τοῖς δὲ ἀργυροπράταις ὀκτὼ, καὶ τοῖς ὀρφανοῖς[2] τέσσαρα· καὶ εἴποτε παράνομος τόκος κατεβλήθη, ἓξ φόλλεις κατὰ μῆνα ἐπὶ τῷ νομίσματι, τὸν μὲν νόμιμον τόκον συνεχώρει προβαίνειν, τὸν δὲ παράνομον εἰς κεφάλαιον λογίζεσθαι ἐποίει. βι. κε΄ τί. α΄ κεφ. ι΄[3].

[β΄.] Ὅτι ἐνέχυρα κυρίως λέγονται τὰ παραδιδόμενα, ὑποκείμενα δὲ τὰ μὴ παραδιδόμενα. οἷον δανεισάμενός τις ῥητὰ πράγματα τῷ δανειστῇ δέδωκε· ταῦτα ἐνέχυρα λέγονται. εἰ δὲ οὕτως γράψει ἐν τῷ δανειστικῷ· ὑποτίθημί σοι πᾶσάν μου τὴν περιουσίαν ἢ καὶ ἁπλῶς ῥητὰ πράγματα, ταῦτα ὑποκείμενα λέγονται.

[γ΄.] Ὅτι οἱ τόκοι τῆς προικὸς κατὰ φιλάγαθον γνώμην κατὰ διετίαν ἀπαιτοῦνται. οἷον τὴν ὑποσχεθεῖσαν προῖκα οὐκ ἔλαβεν ὁ ἀνὴρ, ἀπαιτεῖ ταύτην καὶ τοὺς ταύτης καθαροὺς καρποὺς ἤγουν τοὺς[4] ἀπὸ τρίτης ἑκατοστῆς μετὰ διετίαν.

[δ΄.] Ὅτι τοῦ καταλειφθέντος κλήρου μὴ δοθέντος καρποὶ ἤτοι τόκοι ἀπαιτοῦνται ἀπὸ τετάρτης ἑκατοστῆς, τῆς δὲ μὴ δοθείσης προικὸς μετὰ διετίαν ἀπὸ τοῦ καιροῦ τῶν γάμων οἱ ἀπὸ τρίτης ἑκατοστῆς. τὸ δὲ [πη΄] κεφ. τοῦ γ΄ τί. τοῦ Θ΄ βι. φησὶν, ὅτι μετὰ[5] τὴν τετράμηνον τῆς καταδίκης, εἴτε δημόσιόν ἐστιν εἴτε ἰδιωτικὸν τὸ χρέος, ἑκατοστιαῖος τόκος δίδοται τοῦ κεφαλαίου μόνου. ἐστὶ δὲ ἑκατοστιαῖος τόκος δώδεκα τῇ λίτρᾳ.

[ε΄.] Ὅτι δίκης κινηθείσης μεταξὺ τοῦ ὀφρυδᾶ καὶ τοῦ ἀνεψιοῦ αὐτοῦ, καὶ λέγοντος τοῦ ὀφρυδᾶ, ὅτι χρυσίον ἀνελάβετο ὁ ἀνεψιός μου καὶ δότω καὶ τὸ χρυσίον καὶ τὸ διαφέρον, τοῦ δὲ ἀνεψιοῦ ἀντεμφέροντος καὶ λέγοντος, χρυσίον μὲν λαβεῖν, κατακενῶσαι δὲ τοῦτο εἰς διαφόρους ἐξόδους, καὶ αἰτουμένου λογαριασθῆναι, καὶ εἴ τι ἀπολειπασθῇ, τοῦτο μόνον ἀντιστρέψαι· ὁ δρουγγάριος καλῶς[6] τὸν περὶ τοῦ διαφέροντος λόγον κινηθῆναι παρὰ τοῦ ὀφρυδᾶ ἔφη. διαφέρον γὰρ εἶναι καὶ ἐπιζητεῖσθαι, ὅταν τυχὸν δόντος τινὸς λίτρας κ΄ ἐπὶ τῷ ὠνήσασθαι αὐτὸν κτήματα, ὁ λαβὼν τὸ χρυσίον μὴ ὠνήσηται τὸ κτῆμα, ἀλλὰ παράσχῃ τὸ χρυσίον ἀλλαχοῦ· τότε γὰρ κινεῖται ὁ τοῦ διαφέροντος λόγος. λέγει γὰρ ὁ τὸ χρυσίον δοὺς, ὅτι εἰ ἠγόρακάς μοι τὸ κτῆμα τότε λιτρῶν κ΄, ἄξιον ἦν τυχὸν μ΄ καὶ διὰ περίστασιν πιπρασκομένου ἐκέρδησα ἂν λίτρας κ΄, καὶ ζητῶ

[1] Quae solidorum 72 est, non 100. Vide de hac mutatione modi usurarum scholiasten Harmenopuli ed. Heimb. p. 431. [2] Sic Codex habere videbatur. Sed legendum: πρωτοσπαθαρίοις. Quamquam cf. Harm. III, 7, 10. [3] C. 11 tit. 3 apud Heimb. intelligi videtur. [4] Malim τόκους. [5] Cf. Harm. III, 7, 16. [6] An κακῶς?

τὸ διάφορον. καὶ ἀπαιτεῖ τοῦτο οὐχ ὑπὲρ τὸ διπλάσιον. ὁ δὲ τόκος ὡρισμένος τίς ἐστιν, οἷον πρωτοσπαθάριος δανείζει ἐπὶ τόσοις, ὁ παγανὸς ἐπὶ τόσοις. ὅταν δέ τις λάβῃ μὲν χρυσίον παρά τινος ἁπλῶς ἐπὶ τῷ κατακενῶσαι τοῦτο εἰς διαφόρους ἐξόδους, ὁ δὲ δοὺς τὸ χρυσίον μὴ δέχηται τὰς ἐξόδους, πῶς δύναται διαφέρον ἀπαιτηθῆναι ἐπὶ τούτῳ τῷ κεφαλαίῳ;

[ϛ΄.] Ὅτι ἐὰν δανείσω τινὶ καὶ ἰδικῶς ἐνέχυρα κομίσωμαι, εἶτα ὁ χρεώστης συναλλάξει τῷ δημοσίῳ, ἀνώτερος ἐγὼ καθίσταμαι τῆς παρὰ τοῦ δημοσίου ἐναγωγῆς κατὰ τὸ κε΄ βι. τί. ε΄ κεφ. ε΄[1]. καὶ „εἴτε γὰρ πόλις εἴτε ἰδιώτης λάβῃ ἰδικῶς ἐνέχυρον, προτιμᾶται τοῦ δημοσίου, ἐφ᾽ οἷς μετὰ ταῦτα ἐπωφλήθη.“ καὶ κατὰ τὸ κ΄[2] κεφ. „ἐδάνεισα μαρμαρίῳ ἐπὶ ὑποθήκῃ τῶν λίθων, καὶ ἐκ τῶν ἐμῶν αἱ τιμαὶ κατεβλήθησαν. ὁ δὲ αὐτὸς χρεώστης μισθωσάμενος ὡρεῖα βασιλικὰ ἐχρεώστησεν. ἐγὼ προτιμῶμαι.“ ταῦτα δὲ λέγομεν, εἰ μήτι ὑπὲρ τὸ χρέος τὰ ἐνέχυρα καθίστανται· τότε γὰρ εἰς τὸ περισσὸν προτιμᾶται ὁ δημόσιος. ζήτει καὶ κεφ. ιζ΄ καὶ μζ΄[3].

[ζ΄.] Ὅτι τῶν τόκων οἱ μὲν καὶ μὴ καταβληθέντες ἀπαιτοῦνται[4] καὶ καταβληθέντες οὐκ ἀναλαμβάνονται, ἀλλ᾽ οὐδὲ λογίζονται εἰς κεφάλαιον, ὅσοι δηλαδὴ ἐπηρωτημένοι οὔκ εἰσιν ἀλλὰ συμπεφωνημένοι. καὶ γὰρ πολλή[5] ἐστιν ἡ διαφορὰ ἐπερωτήσεως ἐπὶ τῶν τόκων καὶ συμφωνίας. εἰ μὲν γὰρ περιέχεται τῷ ὁμολόγῳ· ὁμολογεῖς παρέχειν μοι καὶ τόκους; τοῦτο ἰσχυρόν ἐστι πρὸς ἀπαίτησιν. εἰ δὲ οὕτως ἁπλῶς γέγραπται· ἐδανεισάμην ἀπό σου τόδε καὶ συνεφώνησα δοῦναί σοι καὶ τόκους, τοῦτο οὐ πάνυ ἰσχυρόν ἐστι πρὸς ἀπαίτησιν τῶν τόκων.

[η΄.] Ὅτι οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστής, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν· ἀλλὰ καὶ εἰ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται περὶ τούτου τῇ περὶ τοῦ ἐνεχύρου ἀγωγῇ.

[θ΄.] Βι. κε΄ τί. β΄ κεφ. ν΄[6]· „Ὁ δεύτερος δανειστὴς ἐν τῷ προσφέρειν τὸ χρυσίον τῷ προγενεστέρῳ βεβαιοῖ εἰς ἑαυτὸν τὸ ἐνέχυρον, καὶ λοιπὸν ἀπὸ τοῦ χρεώστου λαμβάνει αὐτὸ μετὰ τοῦ τόκου, οὐ μὴν τῶν τόκων τόκους ἀπαιτεῖ.“

[ι΄.] Καὶ τί. γ΄ κεφ. η΄· „Ἐὰν ὁ χρεώστης ἄτοκον ἔχει τὸ χρέος, δύναται παρακρατεῖν ὁ δανειστὴς ἐκ τῶν καρπῶν μέχρι τοῦ νομίμου τόκου.“

---

[1] Apud Heimb. c. 6. [2] Ibid. est c. 19. [3] Scil. tit. 5 lib. XXV Basil. Numeri autem non quadrant. [4] Desunt nonnulla. [5] Cf. Harm. III, 7, 6. Ibi laudatur Ῥωμ. ιθ΄, ιβ΄. [6] Apud Heimb. est c. 59.

[ια´.] Καὶ τί. ε´ κεφ. ιβ´[1] θέ.[2] ζ´· „Ἐνέχεται τῷ δευτέρῳ τὸ ἐνέχυρον εἰς τὸ ἴδιον χρέος καὶ εἰς τοὺς τόκους, καὶ εἰς ὃ τῷ πρώτῳ καταβάλλει ἀπό τε κεφαλαίου καὶ τόκων. οὐκ ἀπαιτεῖ δὲ καὶ τόκους τῶν δοθέντων τῷ πρώτῳ τόκων· οὐ γὰρ τοῦ χρεώστου, ἀλλ᾽ ἴδιον ἔπραξε πραγματείας τρόπον.“ σημείωσαι ὅτι τὸ ἐνέχυρον τὸ ἐπὶ τῷ κεφαλαίῳ ὑποτεθὲν, σιωπηρῶς καὶ ἐπὶ τοῖς τόκοις ὑπόκειται.

[ιβ´.] Ὅτι ἡ πρώτη καταβολὴ τῷ δικαίῳ ἕπεται τῶν ἐνεχύρων.

[ιγ´.] Βι. κε´ τί. ζ´ κεφ. β´· „ἐὰν ὁ ἐγγυητὴς ἐναχθεὶς ἀπὸ ψήφου λάβῃ τὸ ἐνέχυρον ὡς ἀγοραστὴς, ἄδειαν ἔχει ὁ δεύτερος δανειστὴς ἐπὶ τῷ αὐτῷ ἐνεχύρῳ προσφέρειν τῷ ἐγγυητῇ τὸ παρ᾽ αὐτοῦ δοθὲν καὶ τοὺς ἐν μέσῳ τόκους. ἡ γὰρ τοιαύτη πρᾶσις ἐπὶ τῷ μετενεχθῆναι τὰ ἐνέχυρα δίδοται.“ ζήτει καὶ κεφ. ε´[3]· „ἐὰν ὁ χρεώστης πωλήσῃ τὸ ἐνέχυρον ὁ δεύτερος δύναται προσφέρειν.“

[ιδ´.] Ὅτι ὅτε λάβῃ ἐνέχυρά τις καὶ ἐγγυητὴν, ἐπιλογὴν ἔχει, ἢ τὰ ἐνέχυρα λαβεῖν ἢ ἀπὸ τοῦ ἐγγυητοῦ ἀπαιτῆσαι τὸ χρέος.

[ιε´.] Ὅτι καθαρῶς πωλουμένου τοῦ ἐνεχύρου „οὐκ ἀνατρέπεται ἡ πρᾶσις, εἰ μὴ ἄρα νέος ἦν ὁ χρεώστης ἢ ἄνηβος ἢ ἀπῆν διὰ πρᾶγμα δημόσιον ἢ ἑτέραν ἔχει ἀποκατάστασιν.“ ὡς τοῦ αὐτοῦ βι. καὶ τί. κεφ. η´[4]. καὶ κεφ. θ´· „ἐὰν χωρὶς ῥαθυμίας ὁ δανειστὴς πωλήσας μὴ δυνηθῇ τὸ τίμημα λαβεῖν, οὐκ ἐλευθεροῦται ὁ χρεώστης. ἡ ἐξ ἀνάγκης γὰρ γινομένη πρᾶσις οὐκ ἐλευθεροῖ τὸν χρεώστην, εἰ μὴ τὸ τίμημα καταβληθῇ.“ καὶ σημείωσαι, ὅτι ὁ δανειστὴς πωλῶν τὸ ἐνέχυρον, οὐκ ἐκ προαιρέσεως ἀλλ᾽ ἐξ ἀνάγκης τοῦτο πιπράσκειν δοκεῖ. καὶ κεφ. ιζ´[5]· „τοκετὸς τῆς ἐνεχυρασθείσης δούλης ἐν τῇ αὐτῇ αἰτίᾳ τῆς μητρὸς αὐτῆς [ἐστίν].“ καὶ κεφ. κβ´· „ἐὰν ἀνδράποδον ἐδόθη εἰς ἐνέχυρον, αἱ ὑπηρεσίαι αὐτοῦ εἰς τοὺς τόκους ψηφίζονται καὶ τὸ λοιπὸν εἰς κεφάλαιον.“ καὶ κεφ. κδ´· „ὁ δανειστὴς τὸ ὑποκείμενον αὐτῷ πρᾶγμα πωλήσας οὐ δοκεῖ ἐπίδικον πεπρακέναι· ἐπειδὴ κατὰ παράκλησιν νέμεται αὐτὸ ὁ χρεώστης.“ ἐκ τοῦ πλάτους· „ἐπίδικόν τις δοκεῖ πωλεῖν πρᾶγμα, ἡνίκα μὴ ἔστιν ἐπὶ νομῇ τοῦ πράγματος. νῦν δὲ ὁ δανειστὴς νέμεται τὸ ἐνέχυρον, εἰ καὶ ὁ χρεώστης τούτου δεσπόζει.“ καὶ κεφ. κϛ´· „ὁ

---

[1] Apud Heimb. est c. 10. [2] Cod. κεφ. [3] Apud Heimb. est c. 3. [4] Basil. XXV, 7, 7. [5] Apud Heimb. c. 21.

δανειστὴς μέλλων πιπράσκειν τὸ ἐνέχυρον γνώριμον τοῦτο ποιείτω τῷ χρεώστῃ, εἰ εὐχέρειαν ἔχει, καὶ διαμαρτυράσθω αὐτῷ. εἰ μέντοι περιγραφὴν ἐποίησεν ἐν τῇ πράσει, τῇ προσφόρῳ ἀγωγῇ εὐθυνέσθω.“ καὶ κεφ. κη′[1]· „κἂν τὸ πολὺ μέρος τοῦ χρέους ἔλαβεν ὁ δανειστής, οὐδὲν ἧττον πιπράσκει τὸ ἐνέχυρον, καὶ πωλήσας ἰσχυρῶς ἐπώλησεν· εἰ μέντοι ἐκακούργησεν, αὐτὸς οὐ μὴν ὁ ἀγοραστὴς ἐναγέσθω.“ καὶ κεφ. λ′[2]· „ἐὰν ὁ δανειστὴς πωλῶν τὴν ἰδικὴν ὑποθήκην μὴ λάβῃ τὸ ἱκανὸν, δύναται λοιπὸν καὶ τὰ ἄλλα πράγματα ἐκδικεῖν ἢ πιπράσκειν ὡς ὑποκείμενα αὐτῷ.“ Παραγραφή· „Ὅταν ὁ χρεώστης οὕτως εἴπῃ· εἰ μὴ ἀρκέσει ἡ ἰδικὴ ὑποθήκη, ὑποκείσθω τὰ ἄλλα πράγματα.“ καὶ κεφ. λα′[3]· „οὐκ ἔξεστι τῷ δανειστῇ οὐδὲ διὰ παρενθέτου προσώπου τὸ ἐνέχυρον ἀγοράζειν. εἰ μέντοι τοῦ χρεώστου πιπράσκοντος ἠγόρασεν, ἰσχυρῶς ἔπραξεν, εἰ μὴ δόλος ἢ φόβος γέγονεν. εἰ μέντοι δεικνύει διά τινος ἠγορακέναι τὸν δανειστὴν τὸ ἐνέχυρον καὶ οὐχὶ καλῇ πίστει, δύναται προσφέρειν τὰ χρήματα μετὰ τῶν τόκων καὶ ἀναλαμβάνειν τὸ πρᾶγμα.“ καὶ κεφ. λς′[4]· „ἐὰν χρεώστης παραγνώμην τοῦ δανειστοῦ ἐπώλησε τὸ ἐνέχυρον, μετὰ ἰδίας μόνης αἰτίας ἔδοξεν ἐκποιεῖν αὐτὸ τῷ ἀγοραστῇ.“ καὶ κεφ. λζ′· „ἐὰν τὰ ὑποκείμενα ἀνδράποδα πωλήσῃ ὁ δανειστὴς, εἶτα ὑπονοθεύσει αὐτὰ ὁ πάλαι χρεώστης, ὁ ἀγοραστὴς τὴν ἐπ᾽ αὐτοῖς ἀγωγὴν ἕξει.“

[ις′.] Ὅτι[5] ἐπὶ πολὺν χρόνον κατασχόντων κτῆμα τῆς μητροπόλεως τῶν συγγενῶν τοῦ κυροῦ εὐσεβίου, καὶ νικήσαντος τοῦ μητροπολίτου κλαυδιουπόλεως καὶ συστήσαντος ὡς τῇ μητροπόλει διαφέρει τὸ κτῆμα, ἔκρινεν ὁ μάγιστρος τὸ κτῆμα πρὸς τὴν μητρόπολιν ἀποδοθῆναι καὶ καρποὺς χρόνων τριῶν· εἰ δέ τινα δημόσια ὑπὲρ τοῦ κτήματος χρεωστῶνται, πάντα ἀπαιτηθῆναι τοὺς κατέχοντας τὸ κτῆμα. τοὺς μὲν γὰρ καρποὺς διὰ τὸ ὡς κέρδος προσγίνεσθαι ὥρισε χρόνων τριῶν δοθῆναι, τὰ δὲ δημόσια τέλη ἀναγκαίως ὀφειλόμενα πάντα ἐτύπωσεν ἀπαιτηθῆναι, καὶ ζημιωθῆναι[6] τούτων ἕνεκα τὸν ἀληθῆ δεσπότην τοῦ κτήματος.

[ιζ′.] Ὅτι ἐπιγέγραπται ἐν τῷ θ′ βιβλίῳ τῶν βασιλικῶν „περὶ πράγματος κεκριμένου καὶ καρπῶν[7] ἀμφιβαλλομένων καὶ ἠρτημένων,“ καὶ ἐστὶ κεφ.[8] ἐν αὐτῷ διαλαμβάνον οὕτως· „ὁ κα-

---

[1] Apud Heimb. c. 29. [2] Ib. c. 31. [3] Ib. c. 32. [4] Ib. c. 34. [5] Cf. de hac causa tit. XV c. 10. [6] Videtur legendum: μὴ ζημ. [7] In Basil. πραγμάτων. Sed infra hoc capite verba: καρποὶ ἀμφιβαλλόμενοι ἢ ἠρτημένοι bis occurrunt. [8] Basil. IX, 3, 66.

κῇ πίστει νομεὺς οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι καὶ τοὺς καρποὺς οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ἐδύνατό τις λαβεῖν. καὶ δίδωσι τοὺς μετὰ προκάταρξιν. ταῦτα δὲ νόησον μὴ[1] ἐπὶ τῆς περὶ ἀπαιτήσεως κληρονομίας ἀγωγῆς. ἐπ᾿ ἐκείνης γὰρ καὶ οἱ πρὸ τῆς προκατάρξεως καρποὶ καταφέρονται. εἰ δὲ καὶ τελευτήσει οὗτος ἐπὶ κληρονόμῳ, ὁ κληρονόμος εἰς τὸ ἐλάττωμα αὐτοῦ ἐπεισιὼν τὰ αὐτὰ ἀπαιτεῖται.“ τοίνυν περὶ φανερῶς κακῇ πίστει νομέως εἴρηται. οὐ γὰρ περὶ καρπῶν ἁπλῶς διαλαμβάνει, ἵνα τυπῇ, πῶς ἀπαιτοῦνται οὗτοι ἀπὸ τοῦ μάλα φίδε καὶ πῶς ἀπὸ τοῦ βόνα φίδε, ἀλλὰ περὶ μόνου κακῇ πίστει νομέως διέξεισι καὶ ἤδη κριθέντος. ὁ μὲν γὰρ κρινόμενος ἢ ἀγαθὸς νομεὺς ἢ κακὸς ἐν τῇ ἀποφάσει δείκνυται, ὁ δὲ κριθεὶς ἤδη καὶ καταδικασθεὶς καὶ ὅρον εἰληφὼς οὐκ ἀμφιβάλλεται, ἀλλ᾿ ἤδη ἔγνωσται ὁποῖος ἐστίν· καὶ ὅτε μετὰ ψῆφον γένηται ὑπέρθεσις, ὁ ἐρχόμενος δεύτερος δικαστὴς καὶ μέλλων ἐκβιβάζειν τὰ ἐν τῇ ψήφῳ κείμενα οὐκ ἔχει ἐξουσίαν παρεξιέναι τὰ ἐψηφισμένα καὶ ἀνατείνειν ἑαυτὸν πρὸς τοὺς χρόνους τοὺς πρὸ τῆς καταδίκης, ἀλλ᾿ εἰ μὲν εὕρῃ ἐν τῇ ψήφῳ καταδίκας κεφαλαίων καὶ τόκων καὶ πραγμάτων καὶ καρπῶν, ἀπαιτεῖ τούτους οὐχ ὡς ἀπὸ κακῇ πίστει ἢ καλῇ νομέως, ἀλλ᾿ ἁπλῶς ἐξ ἀνθρώπου καταδικασθέντος δοῦναι τάδε καὶ τάδε. οὐδὲ γὰρ προστίθησι τῷ χρεώστῃ τὸ παράπαν οὐδὲν οὐδὲ ἀφαιρεῖ, καθὼς τοῦ αὐτοῦ τί. τῶν βασιλικῶν τὸ θ᾿[2] κεφ. φησίν· „ὁ ἐκβιβαστὴς τῆς καταδίκης οὐ δύναται ἀπόφασιν διδόναι καὶ ἐναλλάττειν τὰ ἤδη κεκριμένα παρὰ τοῦ δικαστοῦ.“ καὶ κεφ. δ᾿[3]· „ἐὰν ἅπαξ τμηθῇ ἡ περὶ τοῦ πρωτοτύπου πράγματος δίκη, οὐκέτι περιλέλειπται περὶ τῶν δαπανηθέντων ἐναγωγὴ, εἰ μὴ ἄρα ὁ δικαστὴς ὁ δικάσας περὶ τοῦ πρωτοτύπου πράγματος εὐθέως βούλεται καὶ περὶ τῶν δαπανηθέντων ἐξετάσαι καὶ παρασχεῖν ἀπόφασιν. χρὴ γὰρ τὸν ἀδικηθέντα εὐθέως ὀχλῆσαι περὶ τῶν δαπανημάτων. ἅπαξ γὰρ τοῦ δικαστηρίου τμηθέντος οὐ περιλέλειπται δευτέρα ἀγωγή.“ εἰ δὲ οὐχ εὑρεθῇ ἐν τῇ ψήφῳ περὶ κεφαλαίων ἢ τόκων εἰρημένον τὶ, τότε ὁ τὸ πρᾶγμα τὸ κεκριμένον ἐκβιβάζων, εἴτε καλῇ πίστει ἦν νομεὺς ὁ καταδικασθεὶς εἴτε πονηρᾷ, οὐ πολυπραγμονεῖ· τὰ γὰρ ἐψηφισμένα καὶ οἱ πρὸ τῆς ψήφου χρόνοι ἐκλήθησαν[4]· ὅσα δὲ μετὰ τὴν ψῆφον ὑπερθέμενος ἐκέρδησε καὶ ὅσα ἔδει αὐτὸν κερδῆσαι, ἀπαιτεῖται. μετὰ γὰρ τὴν καταδίκην κακῇ

---

[1] Cod. καὶ. [2] Apud Heimb. c. 82. [3] Ibid. c. 67. [4] Forte: διὰ γὰρ τὰ ἐψ. οἱ πρὸ τῆς ψ. χρ. ἐκλείσθησαν.

πίστει νομεύς ἐστι, καὶ τοῦτό φησι τὸ νόμιμον, ὅτι οὗτος ὁ κακῇ πίστει νομεὺς ὡς πᾶς μὲν κακῇ πίστει νομεὺς καταδικάζεται, ἀλλ' εἰς τοὺς χρόνους τοὺς μετὰ τὴν ψῆφον· τοῖς γὰρ ἐξ ἀρχῆς ζητήμασι θύραν ἡ ψῆφος ἐπέθηκε. πρῶτον μὲν οὖν τὸ νόμιμόν φησιν, εἰς τί εὐθύνεται ὁ κακῇ πίστει νομεὺς, εἶτα ἐπιφέρει, δίδωσι δὲ τὰ μετὰ προκάταρξιν, τουτέστι τὰ μετὰ τὴν ψῆφον· τῶν γὰρ πρῴην ὁ τοιοῦτος ἢ ἠλευθέρωται σιωπήσαντος τοῦ ψηφισαμένου, ἢ καὶ εἰς τὰ πρῴην καταδικάσαντος αὐτὸν ἔνοχός ἐστιν. ἐφ' οἷς γὰρ ἔφθασε καταδικασθῆναι, τὰ τοιαῦτα οὐ λέγονται καρποὶ ἀμφιβαλλόμενοι ἢ ἠρτημένοι, ἀλλὰ πρᾶγμα κεκριμένον· εἰς δὲ τὰ ἀμφιβαλλόμενα καὶ ἠρτημένα, εἰς ἐκεῖνα καταδικάζεται, τουτέστι τὰ μετὰ τὴν προκάταρξιν καὶ τὴν ψῆφον. ταῦτα ὁ νομοθέτης σοφώτατα διελὼν εὗρεν ἀνακύπτον ζήτημα τὸ περὶ τῆς κληρονομίας, καὶ ἐπεσημειώσατο τοῦτο πανσόφως. ὁ γὰρ πρῶτος δικαστὴς κατεδίκασέ τινα δοῦναι τὴν κληρονομίαν τῷ δεῖνι, εἶτα ὁ δεύτερος δικαστὴς ἐκβιβάζων τὴν ψῆφον εἷλκε τὸν δικασθέντα, ὁ δὲ ἐνίστατο μόνα καταβαλεῖν τὰ πρωτότυπα σώματα, ὡς τοῦ δικαστοῦ εἰς κληρονομίαν καταδικάσαντος· ὁ δὲ νομοθέτης διδάσκει, ὅτι τῷ τῆς κληρονομίας ὀνόματι καὶ καρποὶ περιέχονται, καὶ ὁ καταδικάσας τινὰ ἐπὶ ἀποδόσει κληρονομίας καὶ εἰς τοὺς καρποὺς δοκεῖ αὐτὸν καταδικάζειν· καὶ ὁ τὴν ψῆφον ἐκβιβάζων τελευταῖος δικαστὴς ἀπὸ μὲν τῆς ψήφου καταφέρει τοὺς πρὸ αὐτῆς χρόνους εἰς ἀπαίτησιν, ἀπὸ δὲ τῆς ὑπερθέσεως τῆς μετὰ τὴν ψῆφον ἀπαιτεῖ διὰ τῆς ἰδίας κρίσεως τοὺς ἀμφιβαλλομένους καρποὺς καὶ ἠρτημένους, τουτέστι τοὺς μετὰ προκάταρξιν γενομένους κέρδος τῷ καταδικασθέντι καὶ ὑπερθεμένῳ.

[ιη'.] Βι. κε' κεφ. δ' τί. η'· „ἐὰν ὁ δανειστὴς συναινέσει τῷ χρεώστῃ πωλοῦντι τὸ ἐνέχυρον ἢ ἐναλλάσσοντι ἢ δωρουμένῳ ἢ εἰς προῖκα ἐπιδιδόντι, λύεται τὸ ἐνέχυρον, εἰ μὴ τὸ ἴδιον ἐφύλαξε δίκαιον. τὸ αὐτὸ κἂν δεκτὸν ἡγήσεται. εἰ δὲ αὐτὸς ὁ δανειστὴς πωλήσει, ἐφ' ᾧ μὴ ἀποστῆναι τοῦ ἐνεχύρου ἕως ἂν τὸ ἱκανὸν ὑποστῇ, οὐ βλάπτεται διὰ τῆς παραγραφῆς."

[ιθ'.] Καὶ κεφ. ε'[1]· „Ἐὰν ἐπὶ ἀκύρῳ πράσει συναινέσει ὁ δανειστὴς, οὐ λύεται τὸ ἐνέχυρον." Παραγραφή· „Θὲς γὰρ ὅτι πούπιλλος ἐποίησε τὴν τοῦ ὑποτεθέντος πρᾶσιν."

[κ'.] Καὶ κεφ. ς' θέ. β'· „Ὁ καταβαλεῖν θέλων, οὐ μὴν ὁ παραγνώμην τοῦ δανειστοῦ διδοὺς τὸ ἱκανὸν, λύει τὸ ἐνέχυρον."

---

[1] Heimb. c. 4.

Παραγραφή· „Ἄκων γὰρ οὐ δέχεται τὸ ἱκανὸν ἀντὶ καταβολῆς[1]. οὐ γὰρ ἡ ἐπὶ μέρει τοῦ ἱκανοῦ πλήρωσις λύει τὸ ἐνέχυρον.“

[κα΄.] Καὶ τί. ζ κεφ. ζ΄[2]· „Ἐὰν εἷς κληρονόμος τοῦ τελευτήσαντος χρεώστου τὸ ἁρμόζον αὐτῷ καταβάλλῃ τῷ δανειστῇ, οὐ κωλυθήσεται παρ᾽ αὐτοῦ πιπράσκειν τὰ ἐνέχυρα ὁ δανειστής.“

[κβ΄.] Καὶ κεφ. λθ΄[3]· „Ὁ ἀπὸ δανειστοῦ ἀγοράσας ἐνέχυρον κατὰ νόμους, οὐ νικᾶται ὑπό τινος.“

[κγ΄.] Καὶ κεφ. μς΄[4]· „Ὁ δανειστὴς πωλήσας ἐλάττονος τὸ ἐνέχυρον τῆς ἀξίας πρὸς χάριν τοῦ ἀγοραστοῦ, ἐν ᾧ ἄπορός ἐστιν, ὁ ἀγοραστὴς λαμβάνων τὸ τίμημα ἀποκαθίστησιν αὐτό.“

[κδ΄.] Τοῦτο τοῦ κγ΄ βι. ἐστὶ τί. γ΄ κεφ. νβ΄[5] καὶ ἔχει ἄλλως[6]· „Θεσπίζομεν μηδένα γίνεσθαι ἐνεχυρασμὸν ἐν παντὶ τόπῳ μηδ᾽ ἕτερον ἀνθ᾽ ἑτέρου καθέλκεσθαι, ὡς ὑβρίσαντος ἐκείνου ἢ φονεύσαντος, καὶ μηδὲ εἰσπράττειν ἕτερον ἀνθ᾽ ἑτέρου, ἀλλ᾽ εἰς τὸ τετραπλάσιον τοῦτον εὐθύνεσθαι καὶ τιμωρίας ὑπομένειν τὰς εἰς σῶμα καὶ ἐκπίπτειν τῆς ἀγωγῆς, ὑπὲρ ἧς τὴν εἴσπραξιν ἐποιήσατο· ἀπειλεῖ δὲ καὶ τοῖς ἀμελοῦσιν ἄρχουσιν.“

[κε΄.] Καὶ κεφ. β΄[7]· „οἱ κατὰ μέρος καὶ κατὰ μικρὸν καταβαλλόμενοι τόκοι τὸ διπλοῦν οὐχ ὑπερβαίνουσιν.“

[κς΄.] Ὅτι καταδικάσας τινὰ ὁ μάγιστρος ἐπὶ δανείῳ ἀνεπερώτητον ἔχοντι τόκον, κατεδίκασε τοῦτον καὶ δύο ἐτῶν τόκον δοῦναι, γράψας· ἐπὶ μέντοι τῷ κεφαλαίῳ καὶ τόκος εἰσπραχθήσεται ἐτῶν δύο. ἀπὸ γὰρ τοῦ καιροῦ τῆς ἀσφαλείας τόκον εἰσπραχθῆναι οὐ χρὴ ἀνεπερώτητόν τε καὶ ἀσυμφώνητον, ἐξ ὑπερθέσεως δὲ καὶ μάλα δικαίως τυπωθήσονται τόκοι. πρὸ γὰρ ἐτῶν δύο προκαταρχθείσης τῆς δίκης ὑπερέθετο τὴν καταβολὴν ὁ χρεώστης, καὶ διὰ τοῦτο προσηκόντως καταδικασθήσεται τὸν ἀπὸ τρίτης ἑκατοστῆς ἐπιγνῶναι τόκον.

[κζ΄.] Ὅτι μετὰ προκάταρξιν ἀπαιτεῖται τόκος. ὁ δὲ [μάγιστρος] ἀντὶ τόκου κατεδίκασέ τινα εἰς τὰς δαπάνας τῆς δίκης, γράψας οὕτως· μετὰ μὲν γὰρ προκάταρξιν ὑπερθέσεως γενομένης τόκους εἰσπράττεσθαι οὐκ ἀπείρηται, ὁ δ᾽ εὔφημιος ἐπὶ μήκιστον ὑπερθετικὸς ἀναδειχθείς, εἰ καὶ αὖθις ἀγνώμων φανείη καὶ ἀναγκάσει τὸν ἀντίδικον δικαστικῇ χρήσασθαι[8],

---

[1] Verba ἄκων — καταβολῆς textui, non adnotationi vindicanda sunt. [2] Heimb. c. 38. [3] Ibid. c. 40. [4] Ibid. c. 47. [5] Ibid. c. 77. [6] Nimirum locus Basil. cit. integra Novellae 52 verba praestat, quorum hic epitomen tantum habemus. [7] Heimb. c. 78. [8] Nempe addendum βοηθείᾳ, vel simile quid.

αντὶ τόκων ταῖς δαπάναις ὑποπεσεῖται τῆς δίκης, καὶ πάντα τὰ νενομισμένα ἐπιτιμήσει καὶ ἀποδώσει ἀμβλούμενον καὶ πραττόμενον παρέξει. χάριν ὀφείλει κἂν τούτῳ τῷ δικαστῇ γινώσκειν, ὅτι ἐξῆν αὐτῷ βαρυτέραν ζημίαν περιβαλεῖν, ὁ δὲ τῇ ἐλαφρᾷ μᾶλλον καὶ ἀβαρεῖ τὴν ἀπείθειαν τούτου κολάσαι εἵλετο.

[κη'.] Καὶ κεφ. μβ'[1]· „Ὁ δανειστὴς ἐὰν ἐπώλησε τὸ ἐνέχυρον πρὶν ἢ τὸ ἱκανὸν πάθῃ, [μὴ] συμπαίξαντος τοῦ ἀγοραστοῦ, οἱ κληρονόμοι αὐτοῦ ἐνάγονται εἰς τὸ ὑπέρπλεον, οὐ μὴν τοῦ ἀγοραστοῦ, οἵτινες συννέμονται.“

[κθ'.] Καὶ κεφ. μθ'[2]· „Εἰ μερικὸς κληρονόμος ᾖ [καὶ] μη τὸ χρέος ὅλον δῷ, οὐ λήψεται τὸ οἰκεῖον μέρος τοῦ ἐνεχύρου.“

[λ'.] Καὶ κεφ. νβ'[3]· „Ἐὰν χειρογραφήσας οὐκ ἀπηριθμήθης, δέδωκας δὲ ἐνέχυρα, τὴν περὶ αὐτῶν ἀγωγὴν κινεῖς ἐπ' αὐτοῖς. οὐδὲ γὰρ ἀντίκειταί σοι παραγραφὴ ἡ λέγουσα· ἀλλ' εἰ μὴ δέδωκε τὸ χρέος, ἐπειδὴ ἀληθῶς οὐ προέβη. εἰ δὲ καὶ σὺ ἐνέμου τὸ ἐνέχυρον, κινοῦντα αὐτὸν περὶ αὐτοῦ ἐκβάλλεις παραγραφῇ.“

[λα'.] Καὶ κεφ. νε'[4]· „Ἐὰν ὁ δανειστὴς μετὰ τὸ ἐπιτραπῆναι αὐτὸν δικαίῳ τοῦ δεσπότου νεμηθῆναι τοῦ χρεώστου πρᾶγμα τόκους λάβῃ, δοκεῖ ἀποτάττεσθαι τῇ φιλοτιμίᾳ.“

[λβ'.] Καὶ κεφ. νϛ'[5]· „Ἐάν τις ἐνέχυρον λάβῃ καὶ συμφωνήσῃ τὶ περὶ αὐτοῦ, τὸ δόξαν κρατείτω. εἰ δὲ μηδὲν ἔδοξε, καὶ διετία παρέλθῃ μετὰ καταδίκην ἢ διαμαρτυρίαν, ἔξεστι πιπράσκειν αὐτό. εἰ δὲ μὴ εὑρίσκεται ὁ ἀγοραστὴς, ὥστε τὸ λοιπὸν δικαίῳ τοῦ δεσπότου νέμεσθαι αὐτὸν, τότε εἰ μὲν πάρεστιν ὁ χρεώστης, διαμαρτυράσθω αὐτόν· εἰ δὲ ἄπεστι, τῷ ἄρχοντι εἰπάτω, ὥστε αὐτὸν ῥητὸν χρόνον τάξαι, οὗ ἐντὸς ὀφείλει ζητηθῆναι διὰ τῆς τάξεως. καὶ εἰ μὲν εὑρεθῇ καὶ τὸ χρέος δῷ, λαμβανέτω τὸ ἐνέχυρον. εἰ δὲ μὴ οὕτω φανῇ εἴτε οὖν φανεὶς μὴ δῷ τὸ χρέος ὅλον, τότε προσίτω τῷ βασιλεῖ δικαίῳ δεσπότου σχήσων αὐτό. καὶ μετὰ ταῦτα ἐχέτω ὁ χρεώστης [ἄδειαν] ἐντὸς ἄλλης διετίας εἰς τὸ προσενεγκεῖν τὸ χρέος καὶ λαβεῖν τὰ οἰκεῖα μετὰ τῶν τόκων καὶ τῶν ζημιῶν τῶν συμβασῶν τῷ δανειστῇ, ὅρκῳ φανεροῦντος αὐτοῦ ταύτας. εἰ δὲ παρέλθῃ ἡ διετία, τέλειος ἔσται δεσπότης, μηκέτι αναπραττόμενος αὐτά. εἶτα εἰ μὲν πλέον εἴη τὸ ἐνέχυρον τοῦ χρέους, εἰς τὸ ὑπέρπλεον

---

[1] Apud Heimb. (Basil. lib. XXV tit. 7) est c. 49. [2] Ibid. c. 50. [3] Ibid. c. 55. [4] Ibid. c. 58. [5] Ibid. c. 59.

ὑπόκειται τῷ χρεώστῃ ἢ τῷ δανειστῇ αὐτοῦ, οὐ μὴν τῷ τοῦ δανειστοῦ· εἰ δὲ ἴσον, αὐτόθεν ἀπήλλακται. εἰ δὲ ἧττον εἴη, ἔχει ἐπὶ τῷ λείποντι τὴν ἰδίαν ἀγωγήν.“

[λγ΄.] Καὶ κεφ. ξ΄[1]· „Ἐὰν εἴπῃ ὁ δανειστὴς, ὅτι εἰ μὴ καταβληθῇ μοι τὸ χρέος ἐντὸς τοῦ χρόνου, δεσπότης ἔσομαι τοῦ ἐνεχύρου, τοῦτο τὸ σύμφωνον ἀνίσχυρον ἔστω.“

[λδ΄.] Καὶ κεφ. ξα΄[2]· „Ὁ δανειστὴς πωλῶν τὸ ἐνέχυρον δικαίῳ δανειστικῷ οὐχ ὑπόκειται ἐκνικήσει, εἰ μὴ ἄρα προγενέστερος αὐτὸ ἀποσπάσει. εἰ δὲ ὁ πωλήσας καὶ τὸν προγενέστερον ἐκληρονόμησεν, οὐ δύναται παντελῶς ἐκνικᾶν αὐτὸ, κἂν φίσκος ἐστίν.“

[λε΄.] Καὶ κεφ. ξβ΄[3]· „Ὁ ἀγοράσας δανειστικῷ δικαίῳ ἐνέχυρον οὐ καλῶς κινεῖ περὶ ἐκνικήσεως, εἰ μὴ τοῦτο συμπεφώνηται, ἤγουν δόλῳ πέπρακται· τότε γὰρ κινεῖται.“

[λϛ΄.] Καὶ βι. ιθ΄ τί. ια΄ κεφ. λθ΄[4]· „Τὸ ἐνέχυρον πραθὲν ὑπὸ τοῦ δανειστοῦ ἐκνικηθὲν ἐκχωρεῖται τῷ ἀγοραστῇ τὴν κατὰ τοῦ χρεώστου περὶ τοῦ ἐνεχύρου ἀγωγήν.“

[λζ΄.] „Ἐὰν[5] ἐνέχυρον πραθῇ ἐφ᾽ ᾧ γινομένης ἐκνικήσεως μισθὸν[6] παρασχεῖν τῷ δανειστῇ[7], ἀναγκάζεται παρασχεῖν τὸ τίμημα ὁ ἀγοραστὴς καὶ μετὰ τὴν ἐκνίκησιν.“

[λη΄.] „Ἐὰν[8] ἐκνικηθῇ τὸ πραθὲν συμφώνου γινομένου καταρχὰς, ὥστε τὸν πράτην ἀποδοῦναι τὸ τίμημα, κἂν ὁ ἀγοραστὴς τοὺς μετὰ προκάταρξιν καρποὺς δίδωσι τῷ ἀπαιτητῇ, ὅμως αὐτὸς μετὰ τὴν ἐκνίκησιν λαμβάνει τόκον, καὶ ἡ ζημία τοῦ μέσου χρόνου αὐτὸν ὁρᾷ.“ ὁ παραγράφων[9]· „τοῦ γὰρ χρόνου μεταξὺ τῆς προκατάρξεως καὶ τῆς καταδίκης τοὺς μὲν καρποὺς τοῦ πράγματος δίδωσι τῷ ἀπαιτητῇ, τοὺς δὲ τόκους τοῦ τιμήματος οὐκ ἀπαιτεῖ τὸν πεπρακότα.“

[λθ΄.] Καὶ κεφ. ιθ΄[10]· „Ὁ ψιλὴν δεσποτείαν ἀπαιτῶν λαμβάνει τοὺς καρποὺς, ἐξ ὅτουπερ ἡ χρῆσις φθαρῇ τῶν καρπῶν· ὁ δὲ χρῆσιν καρπῶν ἀπαιτούμενος τοὺς καρποὺς οὓς ἔλαβε δίδωσιν. ἐπὶ δὲ τῆς ἐσθῆτος καὶ τῶν σκευῶν καρπός ἐστιν, ὅσου ἐδύνατο μισθοῦσθαι. ἐπὶ δὲ τῶν δουλειῶν ἡ χρησιμότης ὡς καρπὸς ἀπαιτεῖται.“ σημείωσαι ὅτι τὸ διαφέρον ἀπαιτεῖ ὁ δουλείαν[11] ἐκδικῶν.

---

[1] Apud Heimb. c. 62. [2] Ibid. c. 63. [3] Ibid. c. 64. [4] Cf. Suppl. edit. Basil. Heimb. p. 283. [5] Est summa l. 68 pr. D. de evict. XXI, 2. Restituenda in Basil. XIX, 11. [6] Lege *μηδέν*. [7] Lege *τὸν δανειστήν*. [8] Basil. XXIII, 3, 18. [9] Cf. Basil. ed. Heimb. II p. 700 schol 2. [10] Basil. lib. et tit. II. [11] Cod *δοῦλος*.

[μ'.] Καὶ κεφ. [κ']· „Κἂν τῷ κεφαλαίῳ μιγῇ παράνομος τόκος, αὐτὸς μόνος, οὐ μὴν τὸ κεφάλαιον ἀκυροῦται." Παραγραφή· „τοῦτο νόησον εἰς τὸ ὑπὲρ τὸν λεγίτιμον τόκον ἀκυροῦσθαι." καθὼς τὸ κς'[1] κεφ. φησίν· „εἴτε τόκον τὶς ὑπέρμετρον εἴτε τόκους τόκων ἐπερωτήσει, τὸ παράνομον ἀφαιρεῖται, καὶ τὸ λοιπὸν ἀπαιτεῖται."

[μα'.] Καὶ κεφ. κη'· „Ὥσπερ τὸ γάλα καὶ αἱ τρίχες καὶ τὸ ἔριον, οὕτω καὶ ἡ γονὴ τῶν θρεμμάτων καρπὸς αὐτῶν ἐστι, καὶ δεσπόζει αὐτῶν ὁ καλῇ πίστει νομεὺς καὶ ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων. ὁ δὲ τοκετὸς τῆς δούλης οὐκ αὐτοῖς, ἀλλὰ τῷ δεσπότῃ διαφέρει. ὁ γὰρ ἄνθρωπος οὔκ ἐστι καρπὸς, ὡς τῆς φύσεως δι' αὐτὸν εὐτρεπισάσης πάντας τοὺς καρπούς."

[μβ'.] Καὶ κεφ. μ'[2]· „Τὸ χωρὶς δήλης ποσότητος ἐπερωτῆσαι τοὺς ἁρμόζοντας τόκους οὐδέν ἐστιν."

[μγ'.] Καὶ κεφ. λα'[3]· „Ἀπὸ προσώπου καὶ οὐκ ἐκ πραγμάτων γίνεται ὑπέρθεσις, ὅτε τὶς ὀχληθῇ ἐν ἐπιτηδείῳ τόπῳ. ἡ δὲ ὑπέρθεσις οὐκ ἀπὸ νόμου, ἀλλ' ἀπὸ δικαστοῦ ὁρίζεται. καὶ οὐκ ἀρκεῖ πρὸς ἀπόδειξιν ὑπερθέσεως τὸ ὀχληθῆναι τὸν δοῦλον τοῦ ἀπόντος παρὰ τοῦ δανειστοῦ ἢ τοῦ φροντιστοῦ· εἰ γὰρ καὶ αὐτὸς ὀχληθῇ ὁ χρεώστης καὶ μετὰ ταῦτα εὐχέρειαν ἑαυτοῦ ποιήσῃ, καὶ ὁ δανειστὴς μὴ βουληθῇ ἀπαιτῆσαι, οὐ δοκεῖ ὑπέρθεσις."

[μδ'.] Καὶ θέ. β'· „Ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν ἀπὸ ὑπερθέσεως χρεωστεῖται τόκος. καὶ ἔνθα υἱοῦ συναλλάξαντος ὁ πατὴρ ἐνάγεται, ἢ ὡς ἐπιτρέψας τῷ υἱῷ συναλλάξαι ἢ ὡς γενομένου δαπανήματος εἰς πράγματα αὐτοῦ ἢ τῇ περὶ πεκουλίου, οὐκ ἐνέχεται ἀπὸ ὑπερθέσεως ἰδίας. ἀλλ' ὁ υἱὸς ἐνάγεται εἰς ὃ μὴ παράσχῃ ὁ πατήρ. εἰ δὲ ὁ υἱὸς ποιήσει ὑπέρθεσιν, ἢ αὐτὸς εἰς ὁλόκληρον ἐνάγεται ἢ ὁ πατὴρ μέχρι τοῦ πεκουλίου."

[με'.] Καὶ κεφ. λς'[4]· „Εἰ μὲν δανεισάμενος ὁ διοικῶν τὰ πράγματα καταβάλλῃ δανειστῇ μέλλοντι πέμπεσθαι εἰς νομὴν τῶν πραγμάτων ἢ πιπράσκειν τὰ ἐνέχυρα, λαμβάνει τόκους, οὓς δίδωσιν, ἐὰν πλέον ὠφέλησέ με. εἰ δὲ οἴκοθεν δέδωκε, τοὺς ἐν τῷ κλίματι συχνάζοντας λαμβανέτω, ὡς ἐν τοῖς καλῇ πίστει δικαστηρίοις ὥρισται."

[μς'.] Καὶ κεφ. λε'[5]· „Καὶ ὁ μὴ χρεωστῶν ἀλλὰ καταβαλὼν, καὶ ὁ θανάτου αἰτίᾳ δωρησάμενος ἀπαιτεῖ καρπούς. καὶ

---

[1] Heimb. c. 29. [2] Heimb. c. 31. — Cf. etiam Harm. III, 7, 7. [3] Heimb. c. 32. [4] Ibid. c. 37. [5] Ibid. c. 38.

ἐπὶ τῆς περὶ βίας παραγγελίας, καὶ ὁ κατὰ φόβον παραδοὺς πρᾶγμα, καὶ ἐπὶ τῆς μελλούσης ζημίας παραγγελίας, καὶ ἐπὶ τῆς ἐκδικούσης τὰ ἀφαιρεθέντα, καὶ ἐπὶ τῆς κοινωνίας, καὶ ἐπὶ τῆς ἀπαιτήσεως τῆς νομῆς ὅτε φυσικὴν ἔχων δεσποτείαν ἀπαιτεῖ νομὴν, καὶ ἐπὶ παραθήκης, καὶ ἐπὶ τῶν ἐν χρήσει δοθέντων, καὶ ἐπὶ τοῦ βίᾳ ἢ λάθρα καρποὶ ἀπαιτοῦνται, καὶ ἐπὶ τῶν λοιπῶν καλῇ πίστει ἀγωγῶν. εἰ δὲ καὶ ὑπερτιθεμένου διελέσθαι τὸν κοινὸν ἀγρὸν, ἐγὼ γεωργήσω, μεριζόμεθα τοὺς καρπούς. ἐπὶ δὲ τῶν βίᾳ ἢ λάθρα καὶ καρποὶ καὶ [πᾶν] πρᾶγμα ἀπαιτεῖται."

[μζ΄.] Καὶ κεφ. λθ΄· „Ἵππων μὲν λεγατευθέντων ἀπὸ ὑπερθέσεως ἡ γονὴ δίδοται· ἱπποφορβίου δὲ λεγατευθέντος καὶ χωρὶς ὑπερθέσεως ἡ γονὴ δίδοται."

[μη΄.] Καὶ κεφ. μ΄[1]· „Ἐὰν τοῦ δανειστοῦ θέλοντος τὸ πᾶν λαβεῖν, ὁ χρεώστης μέρος προσαγάγῃ καὶ μὴ δεχομένου αὐτὸ τοῦ δανειστοῦ ὁ χρεώστης σφραγίσῃ καὶ ἀπόθηται, οὐ κουφίζεται τῶν τόκων, εἰ μὴ ἄρα καὶ ἐπὶ τῷ μερικῶς καταβαλεῖν ἐδανείσατο."

[μθ΄.] Καὶ κεφ. μγ΄[2]· „Ἀντὶ τόκων οὐκ ἔξεστι ποινὴν ἐπερωτᾶν ὑπὲρ τὸν νόμιμον τόκον." Παραγραφή[3]· „ὅτε βουλόμενος περιγράψαι τὴν διάταξιν ἀντὶ τόκων πρόστιμον ἐπερωτήσει." ζήτει καὶ κεφ. νς΄ καὶ ξγ΄[4].

[ν΄.] Καὶ μδ΄[5]· „Κἂν ἄγραφος ἐπερώτησις γένηται περὶ τόκου, ἔῤῥωται."

[να΄.] Καὶ κεφ. με΄[6]· „Ὁ ἀγοραστὴς μὴ προσενεγκὼν τῷ πράτῃ τὸ τίμημα, κἂν τὰ μάλιστα ἐσφράγισεν αὐτὸ καὶ ἀπέθετο, ὅμως τόκους δίδωσι τοῦ τιμήματος, ἐὰν ἔλαβε τὸ πρᾶγμα."

[νβ΄.] Καὶ κεφ. μς΄[7]· „Οἱ ἀπὸ συμφώνου τόκοι καταβληθέντες οὐ δύνανται ἀναλαμβάνεσθαι, μὴ καταβληθέντες δὲ οὐκ ἀπαιτοῦνται."

[νγ΄.] „Ὁ[8] ἀνεπερώτητος τόκος ἀπαίτησιν μὲν οὐκ ἔχει, ἐνεχύρου δὲ ὄντος δίδωσι τῷ δανειστῇ παρακατάσχεσιν, ἐὰν συνεφωνήθη· τότε μέντοι, ὅτε καὶ ἐν τόκῳ τὸ ἐνέχυρον ὑπετέθη. ἔξεστι δὲ προσυμφωνεῖν, ἵνα ἐὰν μὴ καταβληθῇ εἴσω τυχὸν ἐνιαυτοῦ τὸ κεφάλαιον καὶ ὁ τόκος, μείζων τόκος ἐξ

---

[1] Heimb. c. 41. [2] Ibid. c. 44. [3] Cf. Basil. ed. Heimb. II p. 718. Schol. Stephani ad h. l. [4] Sc. Basil. XXIII, 3, 63 et 70 apud Heimb. [5] Heimb. c. 50. — Cf. Harm. III, 7, 2. [6] Heimb. c. 51. [7] Ibid. c. 52. [8] Ibid. c. 53.

ἐκείνου τοῦ καιροῦ καταβληθῇ. ἐὰν οὖν δανεισάμενός τις καὶ συμφωνήσας τόκον, ὑπετίθετο καὶ τὸ ἐνέχυρον ἐπὶ τῷ τόκῳ, ὑπερχρονίας δὲ γενομένης μείζονα τόκον ἐπηγγείλατο καταβαλεῖν, καὶ οὐ συνεφώνησεν ὑποκεῖσθαι τὸ ἐνέχυρον ἐπὶ τῇ προσθήκῃ τοῦ τόκου, οὐ καλῶς παρακρατεῖται τὸ ἐνέχυρον.“ ζήτει καὶ κεφ. ξγ′ [1].

[νδ′.] Καὶ κεφ. νβ′ [2]· „Καρπῶν δανειζομένων δύναται καὶ ἀπὸ συμφωνίας [3] ἀπαιτεῖσθαι.“

[νε′.] Καὶ κεφ. νδ′ [4]· „Ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν ὀφφικίῳ τοῦ δικαστοῦ καταφέρονται οἱ τόκοι. ἐὰν δὲ μὴ καταδικάσῃ ὁ δικαστὴς εἰς τόκους καὶ [μὴ] παρακολουθήσῃ ἔκκλητος, ἀπόλλυται ὁ τόκος. οὐδεμία γάρ ἐστιν ἀγωγὴ περὶ αὐτοῦ.“

[νς′.] Καὶ κεφ. νε′ [5]· „Ὁ δανείσας καὶ λαβὼν εἰς ἐνέχυρον οἶκον ἐφ᾽ ᾧ καταμένειν ἐν αὐτῷ ἀντὶ τόκων, εἰ καὶ πλεῖόν ἐστι τὸ ἐνοίκιον τοῦ νομίμου τόκου, ὅμως οὐ δοκεῖ πλείονα τόκον ἀπαιτεῖν, ἀλλὰ μᾶλλον ἐλάττονος τὸν οἶκον μισθοῦσθαι. ἐὰν δὲ μισθώσας ἑτέρῳ τὸν οἶκον λαμβάνῃ τὸ μίσθωμα, τότε εἴ τι ὑπὲρ τὸν νόμιμον τόκον δυνηθῇ λαβεῖν, τοῦτο εἰς τὸ κεφάλαιον λογίζεται τῷ χρεώστῃ.“

[νζ′.] Καὶ κεφ. νζ′ [6]· „Ἐάν τις δανείσας καὶ βουλόμενος πλείονα τόκον λαβεῖν, καὶ εἰδὼς ὅτι ἐπὶ τῶν καρπῶν ἔστι μείζονα τόκον ἐπερωτῆσαι, τὸ χειρόγραφον οὐχ ὡς νομισμάτων δανεισθέντων ἀλλ᾽ ὡς καρπῶν παρεσκεύασε γενέσθαι, ἄχρηστόν ἐστι τὸ συνάλλαγμα, ὡς κατὰ περιγραφὴν τῶν νόμων γινόμενον.“

[νη′.] Καὶ κεφ. νη′ [7]· „Ἡ διάταξις βούλεται τὸν δανειστὴν συμφωνήσαντα τοὺς καρποὺς λαμβάνειν ἀντὶ τῶν τόκων κερδαίνειν, κἂν πλείονας λάβῃ καρπούς, διὰ τὴν τῶν καρπῶν ἀδηλίαν.“ ζήτει καὶ κεφ. ξδ′ [8].

[νθ′.] Καὶ κεφ. νθ′ [9]· „Ὁ μὴ κεχρεωστημένος τόκος εἰ μὲν πρὸ τοῦ κεφαλαίου καταβληθῇ, εἰς κεφάλαιον καταλογίζεται· εἰ δὲ μετὰ τὸ κεφάλαιον, ἐπειδὴ οὐκ ἔχει λοιπὸν εἴς τι καταβληθῆναι, ἀναλαμβάνεται.“

[ξ′.] Καὶ κεφ. ξβ′ [10]· „Ἐὰν ὁ χρεωστῶν κεφάλαιον καὶ τόκους ἐν τῷ καταβαλεῖν μὴ ἐμνημόνευσεν, ἐπὶ τίνι καταβάλλει, ἐξουσίαν ἔχει ὁ δανειστὴς εἰ βούλεται εἰς τοὺς τόκους μόνους καταλογίζεσθαι τὰ καταβληθέντα.“

---

[1] Sc. c. 70 hujus tituli Basilicorum apud Heimb. [2] Heimb. c. 59. [3] Sc. τόκος. [4] Heimb. c. 61. [5] Ibid. c. 62. [6] Ibid. c. 64. [7] Ibid. c. 65. [8] Sc. c. 71 hujus tituli Basilicorum apud Heimb. [9] Heimb. c. 66. [10] Ibid. c. 69.

[ξα΄.] Καὶ κεφ. ξε΄[1]· „Ἡ μήτηρ τὰ πράγματα τῶν ἰδίων παίδων χειρίζουσα ὡς πᾶς διοικητὴς πραγμάτων τόκους ἀπαιτεῖται παρασχεῖν ὧν ἐδάνεισε χρημάτων."

[ξβ΄.] Καὶ κεφ. ξε΄[2]· Ἡ διάταξις ἀνῄρησε τρέχειν τοὺς τόκους, οὓς ῥητῶς ὁ ἥρως πατρίκιος ἔταξε. „τῆς γὰρ πρωτοτύπου ἀγωγῆς φθαρείσης διὰ τῆς τριακονταετίας, ἄτοπόν ἐστι περὶ καρπῶν ἢ τόκων φιλονεικεῖν. ὁρίζει δὲ ἵνα οἱ ἰλλούστριοι καὶ ἐπέκεινα ἄχρι τρίτης ἑκατοστῆς δανείζωσιν, οἱ ἀργυροπράται καὶ ἔμποροι ἄχρι διμοίρου ἑκατοστῆς, οἱ δὲ λοιποὶ πάντες ἄχρι ἡμίσους ἑκατοστῆς. οἱ δὲ πρὸς οἶκον εὐαγῆ δανείζοντες τὸ ἀπὸ τετάρτης ἑκατοστῆς λαμβάνουσιν· ἐπὶ δὲ τῶν ναυτικῶν καὶ ἐπὶ τῶν δανειζομένων ..... ἕως ἑκατοστῆς καὶ μὴ περαιτέρω, μὴ βουλομένη μήτε διὰ παρακατασχέσεως ἐνεχύρων μείζονα τόκον λαμβάνεσθαι, μήτε τοὺς δικαστὰς εἰς πλείονα τόκον καταδικάζειν προφάσει τῆς τῶν τόπων συνηθείας. εἰ δέ τις μείζονα τόκον λάβῃ, εἰς τὸ κεφάλαιον αὐτὸν καταλογίζεσθαι. μηδὲ λαμβάνειν τοὺς δανειστὰς προφάσει τῶν λεγομένων κερατίων ἢ συνηθειῶν· εἰ δέ τι λάβωσι, καὶ τοῦτο εἰς κεφάλαιον λογίζεσθαι. μὴ ἐξεῖναι δὲ μήτε διὰ μέσου προσώπου μείζονα τόκον λαμβάνειν, ἵνα τυχὸν ὁ πρωτοσπαθάριος διὰ μέσου τινὸς τὸν ἡμιεκατοστιαῖον ἐπερωτήσῃ."

Τ Ι Τ Λ Ο Σ κ΄.

Περὶ ζημίας χρυσοβούλλου καὶ τῶν ἀπὸ βασιλικῆς φιλοτιμίας.

[α΄.] Ὅτι τὰ τέσσαρα νομίσματα τὰ διδόμενα παρὰ τῶν παροίκων ἐχόντων ἐξκουσίαν διὰ χρυσοβούλλου, ἐὰν τὸ χρυσόβουλλον πέσῃ καὶ ἀργήσῃ ἡ ἐξκουσία καὶ κινηθῇ ἡ περὶ τῆς ζημίας δίκη, τὰ δ΄ νομίσματα λίτραν ἐτύπωσεν ὁ πατρίκιος.

Τ Ι Τ Λ Ο Σ κα΄.

Περὶ κοινωνίας.

[α΄.] Ὅτι ὁ νόμος οὐ μόνον ἀπὸ ῥημάτων ἀλλὰ καὶ ἀπὸ πραγμάτων μόνων τὴν κοινωνίαν σύστασιν λαμβάνειν διακελεύε-

---

[1] Heimb. c. 72. [2] Ibid. c. 74.

ται, καὶ διέξεισι γάρ[1]· συνίσταται πραγμάτων κοινωνία .....[2] ὄντα τὰ πράγματα ἐν τοῖς τοιούτοις, καὶ οὐχ ὁ πλείονα τὴν κοινότητα ὠφελῶν τὸ μεῖζον μέρος ἀποφέρεται, ἀλλ' ἑκάτεροι ἐξ ἰσότητος πρὸς τὸν διαμερισμὸν ἐνέχονται[3]. καὶ ἐσημειώσατο ὁ δικαστὴς ἐπὶ δίκῃ οὕτως· καὶ οἱ εἰρημένοι αὐτάδελφοι, ὁμοζοῦντες καὶ κοινὸν βίον ἔχοντες, τὰ πατρῷα καὶ τὰ ἐπικτηθέντα δίκαιοι ἂν εἶεν ἐπιμερίσασθαι. ὅτι καὶ ὁ νόμος τοῦτο βούλεται λέγων, ὅτι πᾶσα κληρονομία δυναμένη ἀπαιτεῖσθαι διαιρεῖται [διὰ τοῦ] διαιροῦντος τῇ φαμιλίᾳ τὸν κλῆρον δικαστηρίου.

[β'.] Ὅτι φησὶν ὁ νόμος[4]· „ἐὰν ἀδελφοὶ ἐπὶ κοινωνίᾳ τὰς τῶν γονέων [οὐ] διείλοντο κληρονομίας, οὐ κοινοποιοῦσι τὰ ἔξωθεν[5] αὐτοῖς κτηθέντα" καὶ ταῦτα[6] μὲν ἀπὸ κληρονομίας, τὰ δὲ ἀπὸ σπουδῆς περιερχόμενα καὶ ἐπιμελείας οὐ τῶν ἔξωθεν, ἀλλὰ τῆς κοινότητος νοοῦνται. καὶ λέγει ὁ νόμος[7]· „ἐὰν ἁπλῶς γένηται κοινωνία καὶ μὴ λεχθῇ ἐπὶ τίνι, δοκεῖ συνίστασθαι ἐπὶ τῷ πόρῳ, τουτέστιν ἐπὶ τῷ γινομένῳ κέρδει ἀπὸ πράσεως καὶ ἀγορασίας, μισθώσεως καὶ ἐκλήψεως. πόρος γὰρ ἐστὶν ὁ ἀπὸ καμάτων τινὶ περιγινόμενος, κληρονομίαι δὲ καὶ λεγάτα καὶ δωρεαὶ οὐ περιέχονται."

[γ'.] Ὅτι ἐὰν συστήσηται κοινωνίαν παγανὸς καὶ στρατιώτης, καὶ τὰ ἀπὸ τῆς στρατείας κοινοποιοῦνται. φησὶ γὰρ ὁ νόμος[8]· „εἰ καὶ τὰ μάλιστα ὁ αὐτεξούσιος οὐ συνεισάγει τῷ ὑπεξουσίῳ τὰ ἀπὸ στρατείας γινόμενα σιτηρέσια, ἐπειδὴ εἰ καὶ ὑπεξούσιος ἦν οὐ προσεπόριζε τῷ πατρὶ, ὅμως ἐὰν ἀδελφοὶ κοινωνίαν συστήσονται, καὶ ταῦτα κοινοποιοῦνται." εἰκότως[9], ὅτι πλατυτέρα ἐστὶν ἡ ἑκατέρων βούλησις τῆς ἐκ τῶν νόμων ἀνάγκης. ἄδικον γάρ ἐστιν, ἐν ταῖς τοιαύταις ἀνάγκαις τὰ μὲν κοινοποιεῖσθαι, τὰ δὲ θάτερον ἰδιοῦσθαι.

[δ'.] Ὅτι ἡ προῖξ ἡ κερδαινομένη παρ' ἑνὸς τῶν κοινωνῶν οὐ[10] συνυπάγεται τῇ κοινωνίᾳ. καί φησι νόμος[11]· „λυομένης τῆς κοινωνίας ὑπεξαιρεῖ ὁ κοινωνὸς τὴν προῖκα τῆς ἑαυτοῦ γαμετῆς· εἰ δὲ προελύθη ὁ γάμος, τῇ ὡρισμένῃ προθεσμίᾳ ἡ προῖξ ἀποδίδοται. εἰ δὲ πᾶσα ἢ μέρος αὐτῆς ἐκερδάνθη, εἰς τοὺς κοινωνοὺς διαιρεῖται."

[ε'.] Ἐὰν ὁ εἷς τῶν κοινωνῶν συνισταμένης τῆς κοινωνίας

---

[1] In Basil. non invenio. [2] Nempe exciderunt nonnulla, licet in Cod. lacuna non appareat. [3] Lege ἔρχονται. [4] Basil. XII, 1, 50. [5] Cod. in marg.: ἔξωθεν καλεῖ τὰ ἀπὸ λεγάτων καὶ δωρεῶν. [6] Cod. τά. [7] Basil. ibid. c. 7. 8. 9. [8] Basil. XII, 1, 50. [9] Cf. Basil. l. l. schol. 21 apud Heimb. I p. 754. [10] Negatio delenda videtur. [11] Basil. l. l. c. 63. 64.

ἀγοράσῃ ὀφφίκιον, ἀναγκάζεται ποιῆσαι τὸ ἱκανὸν τοῦ ἡμίσεως τιμήματος τῷ κοινωνῷ. φησὶ γὰρ ὁ νόμος[1]· „δύο ὄντων κοινωνῶν ἕτερος ἐκ τῶν ἐπικοίνων πραγμάτων ἠγόρασεν ἑαυτῷ πράγματα. τούτων μὲν αὐτὸς γίνεται δεσπότης, ἐνάγεται δὲ καὶ ἀναγκάζεται ποιῆσαι τὸ ἱκανὸν τοῦ ἡμίσεως καὶ τὸ ἀζήμιον τοῖς κληρονόμοις τοῦ κοινωνοῦ."

[ϛ'.] Βι. ιθ' τί. β' κεφ. τελευταῖον[2]· „Ἐὰν δύο κοινωνῶν ἀγορασάντων ὁ εἷς ἐξ αὐτῶν ὑπερθεματίσῃ, κατὰ τὸ ἀνῆκον αὐτῷ μέρος ἡ πρώτη πρᾶσις ἀνατρέπεται." Παραγραφή· „καὶ τί τὸ ἀποτέλεσμα; ὅτι ἐπὶ τῷ μέρει αὐτοῦ τῆς προτέρας λυθείσης πράσεως ἀποδίδωσι τοὺς καρποὺς τοῦ οἰκείου μέρους τῷ πεπρακότι."

[ζ'.] Ὅτι ὁ ἐν ἑνὶ κτήματι κοινωνὸς, οὐ δύναται πάντα τὰ προσόντα μονομερῶς τῷ κοινωνῷ εἰς διανέμησιν ἕλκειν.

ΤΙΤΛΟΣ κβ'.

Περὶ ἀποτιμήσεως πάντων καὶ ὑπερθεματισμῶν.

[α'.] Ἐπὶ τῆς ἀποτιμήσεως τῶν ἐνοικικῶν τὰ μὲν ἔχοντα ἐνοίκους, πρὸς τὸ ἐνοίκιον αὐτῶν τυποῦσι καὶ τὴν τιμὴν τῶν ἐνοικίων, τὰ δὲ μὴ ἔχοντα ἐνοίκους, ἀλλὰ κενὰ ὄντα ἐρευνῶσιν εἴ τι εἶχεν ἐνοίκιον, καὶ οὐ πρὸς τοῦτο τυποῦσι τὴν τιμὴν, ἀλλὰ τὸ τρίτον [τοῦ] ἐνοικίου ἀφελόντες πρὸς τὸ δίμοιρον τυποῦσι τὸ τίμημα.

[β'.] Ὅτι[3] ὅτε περιγραφῇ τις εἰς διατίμησιν, τὸν τετραετῆ[4] χρόνον ἔχει βοηθοῦντα αὐτῷ εἰς τὸ αἰτεῖν πάλιν γενέσθαι τὴν διατίμησιν καὶ ἀναλαμβάνειν τὸ ἐκ τῆς περιγραφῆς ποσόν.

[γ'.] Ὅτι ὁ ὑπερθεματισμὸς τετραχῶς[5] γίνεται· ἢ γὰρ ὁ δημόσιος τὸ ἴδιον πιπράσκει, καὶ χώραν ὁ ὑπερθεματισμὸς ἔχει κατὰ τὸν λέγοντα νόμον[6]· „ἐὰν ἠγόρασας ἀπὸ πόλεως ἀγρὸν ἄνευ αἱρέσεως, τελεία ἐστὶν ἡ πρᾶσις καὶ ὑπερθεματισμὸν οὐ φοβεῖς. τοῦτο γὰρ ἐπὶ τοῦ δημοσίου ἐστί." καὶ ὅρα τὴν τοῦ νόμου ἀκρίβειαν, ὅτι ἐπὶ τῶν παρὰ τοῦ δημοσίου ἐκποιουμένων ὁ ὑπερθεματίζων οὐκ ἀποτειχίζεται, εἰ τὰ τοῦ πολλοῖς ἐνεχο-

---

[1] Basil. XII, 3, 4. [2] Cf. Suppl. edit. Basil. Heimb. p. 263. — Idem locus infra tit. XXII c. 15 habetur. [3] Cf. tit. VIII c. 8. [4] Supra τριακονταετῆ. [5] Sed tres dumtaxat modi recenseri videntur, nisi lacuna sit. [6] Basil. LIV, 30, 1. Hunc locum Heimbachius restituere neglexit.

μένου πράγματα πωλεῖται καὶ τῷ ὑπερθεματίζοντι ἐκχωρεῖται τὰ πράγματα. καὶ διέξεισιν ὁ νόμος βι. νϛ' τί. ϛ' κεφ. ε'[1]· „ὅταν τὰ πράγματα τοῦ τελευτήσαντος πωλήσῃ ὁ δημόσιος κατὰ ὑπερθεματισμὸν, ἐχέτωσαν αὐτὰ οἱ λαμβάνοντες μὴ ἀπὸ θείου γράμματος ἀνατρεπόμενα. ἐπειδὴ γὰρ καὶ τοῖς ἥττοσι τῶν κε ἐνιαυτῶν, εἴποτε ἐκ τῶν πραγμάτων αὐτῶν ὑπὲρ δημοσίων χρεῶν προσκυρωθῇ ὁ ἀγοραστὴς, καὶ οὗτοι ἔχοντες ἀποκαταστάσεως δίκαιον κακῶς βασιλικὴν ἀντιγραφὴν αἰτοῦσιν.“ ἢ κατὰ σύμφωνον καὶ ὅρον ὁ ὑπερθεματισμὸς τυποῦται, καὶ ἔνδον τοῦ ὡρισμένου καιροῦ προβαίνει, ὡς ὁ νόμος λέγει βι. ιθ' τί. β' κεφ. κ'[2]· „δυνατὸν καὶ ἐπὶ τῷ ὑπερθεματίζοντι συμφωνεῖν τὴν τῆς ἡμέρας ὡρισμένην ἔκβασιν, ὥστε ἀφαιρεθῆναι αὐτοῦ τὸ πραθὲν ἄλλου ὑπερθεματίζοντος, καὶ τοῦτο ἐπὶ τρίτου ἀγοραστοῦ καὶ περαιτέρω.“ ἢ[3] τὰ τῶν ἐπιτρόπων εὐώνως ἀποκτῶνται καὶ διὰ ὑπερθεματισμοῦ τὸ δίκαιον ἀνασώζεται τίμημα. καὶ λέγει νόμος[4]· „ἐπίτροπος ἢ φροντιστὴς· ἢ ἀλλότρια πράγματα διοικῶν ἀγοράζων τὶ κατα ὑπερθεματισμὸν ἐκ τῆς παρ' αὐτοῦ διοικουμένης οὐσίας, ὃ ἐνόμιζε τοῦ πρωτοτύπου εἶναι, διὰ τῆς χρονίας νομῆς δεσπόζει. εἰ δὲ ἧττον ἀγοράσει ἢ ἑτέρῳ πωλήσει ὁ ἐπίτροπος, ἐνάγεται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ.“ καὶ τοῦτο δείκνυσιν ὡς καὶ αὐτὸς ὁ ἐπίτροπος καὶ ὁ ἔξωθεν ὀφείλει ὠνεῖσθαι καὶ μάλιστα τὰ εἰς ψυχικὴν ὠφέλειαν διαβαίνοντα.

[δ'.] Ὅτι χρεωστοῦντος ἀνδρός τινι, καὶ τὴν περὶ προικὸς ἀγωγὴν κινησάσης τῆς γυναικὸς αὐτοῦ, καὶ τιμηθείσης τῆς ὑπάρξεως τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, καὶ ἔτι ποσότητος ἐλλειπούσης πρὸς τὸ ἀποπληρωθῆναι τὴν προῖκα, τοῦ δὲ δανειστοῦ ὑπερθεματισμὸν τῶν διατιμηθέντων εἰδῶν ποιουμένου, ὁ δρουγγάριος προσέταξεν, ἵνα, εἴπερ αἱροῖτο ὁ δανειστὴς, ἀναλάβηται τὰ ἀποτιμηθέντα πάντα καὶ δῷ τὸ χρυσίον τῇ γυναικὶ καὶ δέξηται καὶ τὸ χρέος αὐτοῦ. καὶ γέγονε τοῦτο· ὀλίγον γὰρ ἦν τὸ χρέος, καὶ ἡ ἐλλείπουσα ποσότης ὀλίγη πρὸς τὴν ὁλότητα τῆς προικός.

[ε'.] Ὅτι ἡ ἀποτίμησις οὐ πρὸς τὸ σήμερον σκοπεῖται, ἀλλὰ πρὸς τὸν τῆς ἐκποιήσεως καιρόν.

[ϛ'.] Ὅτι ἐνήγαγέ τις ὡς ἐμειώθη τὸ κτῆμα παρὰ τοῦδε, καὶ εὑρέθη ἡ μείωσις, καὶ κατεδικάσθη ὁ ἐλαττώσας δοῦναι τὴν μείωσιν· ὁ δὲ οὐκ ἐπείσθη. καὶ μετὰ χρόνον πολὺν κινη-

---

[1] Basil. ed. Heimb. V p. 158. [2] Cf. Suppl. edit. Heimb. p. 262. [3] Haec verba emendatione indigent: puta legendum ἐπὶ τῶν ἐπιτρόπων, ἵνα μὴ εὐώνως κ. τ. λ. Sed fortassis altius corruptela latet. [4] Basil. L, 4, 2.

θείσης τῆς τοιαύτης ὑποθέσεως ὁ καταδικασθεὶς ἔλεγε μὴ καλῶς γεγονέναι τὴν τίμησιν. γέγονεν ἑτέρα τίμησις, καὶ περιέστη εἰς πολὺ πλέον τῆς προτέρας τιμήσεως, καὶ ἔκρινεν ὁ μάγιστρος διὰ τὸ συμπαθέστερον τῇ προτέρᾳ στιχῆσαι τάξει καὶ τιμήσει.

[ζ΄.] Καὶ βι. ιθ΄ τί. β΄ κεφ. δ΄[1]· „Εἴτε ὁ δεύτερος ἀγοραστὴς πεπλασμένως ὑπεβλήθη εἴτε μὴ ποιεῖ κρείττονα τὴν αἵρεσιν τοῦ πράτου, ἡ πρᾶσις παρὰ τῷ πρώτῳ ἀγοραστῇ μένει, εἴτε χωρὶς αἱρέσεως εἴτε ὑπὸ αἵρεσιν συνέστη.“

[η΄.] Θέ. γ΄[2]· „Κρείττων ἡ αἵρεσις γίνεται καὶ ἐν πλείονι ποσῷ, καὶ ἐν ταχυτέρᾳ ἢ εὐτυχεστέρᾳ καταβολῇ, καὶ ἐν τόπῳ ἐπιτηδειοτέρῳ, καὶ ἐν εὐπορωτέρῳ ἀγοραστῇ, καὶ ἐν τῷ ἀγοράσαι ἐπὶ ἐλαφροτέρᾳ αἱρέσει, καὶ ἐν τῷ μὴ ἀπαιτηθῆναι τὸν πράτην ἱκανοδοσίαν καὶ τὰ λοιπὰ, ὅσα ἦν ἐν τῇ πρώτῃ πράσει βαρέα, κἂν ἧττον τίμημα δίδωσιν. τὰ γὰρ λυσιτελοῦντα τῷ πράτῃ κρείττονα ποιεῖ τὴν αἵρεσιν αὐτοῦ.“

[θ΄.] Καὶ κεφ. κϛ΄[3]· „Ἐὰν μὴ γένηται ἀληθὴς ὑπερθεματισμὸς, ὁ πρῶτος ἀγοραστὴς κερδαίνει τοὺς ἐν μέσῳ καρπούς. εἰ δὲ γένηται, ἀποδίδονται τῷ πράτῃ, κἂν ὑπερθεματίσῃ κατὰ τοῦ δευτέρου καὶ μείνῃ ἔχων τὸ πρᾶγμα· εἰ μὴ ἕτερον συνεφωνήθη.“

[ι΄.] Καὶ θέ. β΄[4]· „Φθαρέντος τοῦ πραθέντος ὑπερθεματισμὸς οὐ γίνεται προφάσει τῶν καρπῶν αὐτοῦ καὶ τοῦ τοκετοῦ. εἰ δὲ δύο δούλους ἐπώλησεν ὑπὸ ἡμέραν ὡρισμένην κ΄ νομίσματα, καὶ τοῦ ἑνὸς ἀποθανόντος δίδωσί τις εἰς τὸν ζῶντα πλέον τῶν κ΄, λύεται ἡ πρώτη πρᾶσις. λύεται [δὲ καὶ] τὸ ἐνέχυρον· εἰκὸς γὰρ ἦν ὑποθέμενος ὁ ἀγοραστὴς, ὡς ὢν δεσπότης ἐν τῷ μέσῳ χρόνῳ.“ Παραγραφή· „ἐπὶ γὰρ τῆς αἱρετικῆς πράσεως, κἂν παραδοθῇ τὸ πρᾶγμα τῷ ὠνησαμένῳ, δεσπόζειν οὐ δύναται. τί γάρ; ὅτι ἐπώλησέ τις θεράπαιναν ῑ νομισμάτων ἢ ἀγρὸν ρ̄, καὶ ἐν τῷ μεταξὺ τῆς θεραπαίνης ἤδη τεκούσης ἢ τῶν καρπῶν συναγέντων ἀπὸ τοῦ ἀγροῦ ἐτελεύτησεν ἡ θεράπαινα ἢ χάσματι ἀπώλετο ὁ ἀγρὸς, καὶ ἐλθών τις ἐπὶ μὲν τῷ τεχθέντι ἀπὸ τῆς θεραπαίνης δέδωκε νομίσματα ιβ΄, ἐπὶ δὲ τοῖς καρποῖς τοῦ ἀγροῦ ρ̄κ· οὐκ ἔρρωται ὁ ὑπερθεματισμὸς, ἐπειδὴ μὴ ἐπ᾽ αὐτῷ τῷ πρωτοτύπῳ γένηται πράγματι.“

[ια΄.] Καὶ κεφ. ζ΄[5]· „Ἔξεστι τῷ πράτῃ, γενομένης τῆς αἱρέσεως αὐτοῦ κρείττονος, προσκυροῦν τῷ δευτέρῳ, εἰ μὴ πλέον

---

[1] Cf. Suppl. ed. Basil. Heimb. p. 262. [2] Ibid. [3] Ibid. [4] Ibid. p. 261. [5] Ibid. p. 262.

ὁ πρῶτος ὑπερθεματίζει. ἀναγκάζεται οὖν δηλῶσαι τῷ πρώτῳ ἀγοραστῇ, ἵνα, ἐάν τις ὑπερθεματίζῃ, ἔξεσται αὐτῷ ὑπερθεματίζειν." Παραγραφή· „μὴ εἴπῃς, ὅτι πλέον ὧν προσέθηκεν ὁ δεύτερος ἀγοραστὴς ὀφείλει προσθεῖναι ὁ πρῶτος. τὸ γὰρ πλέον οὐ πλέον τοῦ προστεθέντος παρὰ τοῦ δευτέρου ἀγοραστοῦ δηλοῖ, ἀλλὰ τὸ πλέον ὃ προσέθηκεν ὁ δεύτερος ἀγοραστής."

[ιβ'.] Καὶ κεφ. ια'[1]· „Δυνατὸν καὶ ἐπὶ τῷ ὑπερθεματίζοντι συμφωνεῖν τὴν τῆς ὡρισμένης ἡμέρας ἔκβασιν· ὥστε ἀφαιρεθῆναι αὐτοῦ τὸ πραθὲν ἄλλου ὑπερθεματίζοντος· καὶ τοῦτο ἐπὶ τρίτου ἀγοραστοῦ καὶ περαιτέρω."

[ιγ'.] Καὶ κεφ. ιβ' θέ. β'[2]· „Ὁ δεύτερος ἀγοραστὴς μόνον τὸ πρᾶγμα, καὶ οὐ τοὺς καρποὺς λαμβάνει. οὐ παρὰ τοῦτο δὲ, ἐὰν τὸ αὐτὸ τῷ πράτῃ δίδωσι τίμημα, δοκεῖ γενέσθαι κρείττων ἡ αἵρεσις τοῦ πράτου, ὡς αὐτοῦ μέλλοντος τοὺς καρποὺς κερδαίνειν."

[ιδ'.] Καὶ κεφ. κ'[3]· „Ἐὰν ἐκ καινῆς πρᾶγμα προτεθῇ τῷ ὑπερθεματίζοντι, ἄξιον ὂν τῆς παρ' αὐτοῦ γενομένης προσθήκης, ἡ πρώτη πρᾶσις οὐ λύεται· ὥσπερ οὔτε [εἰ] ὑπερθέσεως ἐπὶ τῇ καταβολῇ δοθείσης, τοσοῦτος ἠδύνατο ληφθῆναι τόκος, ὅση ἐστὶν ἡ γενομένη προσθήκη. ἀποδιδοὺς ὁ πρῶτος ἀγοραστὴς τοὺς καρποὺς παρακρατεῖ, ὅσα κατὰ τὸ ἀναγκαῖον ἐδαπάνησεν. εἰ δὲ μὴ ἀρκοῦσιν οἱ καρποὶ, ἀπαιτεῖ τὸ λοιπὸν ἢ τὴν τιμήν."

[ιε'.] Καὶ κεφ. κ'[4]· „Ἐὰν δύο κοινωνῶν ἀγορασάντων ὁ εἷς ἐξ αὐτῶν ὑπερθεματίσῃ, κατὰ τὸ ἀνῆκον αὐτῷ μέρος ἡ πρώτη πρᾶσις ἀνατρέπεται." Παραγραφή· „Καὶ τί τὸ ἀποτέλεσμα; ὅτι ἐπὶ τῷ μέρει αὐτοῦ τῆς προτέρας λυθείσης πράσεως ἀναδίδωσι τοὺς καρποὺς τοῦ οἰκείου μέρους τῷ πεπρακότι."

[ις'.] Καὶ κεφ. τελευταῖον[5]· „Ὑπερθεματισμοῦ γενομένου οὐκ ἔχει κατὰ τοῦ ὑπερθεματίσαντος ὁ πρῶτος ἀγοραστὴς περὶ ὧν ἔδωκε τιμῶν, εἰ μὴ δοθέντα εἰς τόπον τοῦ πράτου αὐτοῦ ἐπερώτησεν."

[ιζ'.] Ὅτι ἐὰν δοθῇ κτήματος νομὴ παρὰ τοῦ δικαστοῦ τινι, καὶ κατασχεθῇ ἐπὶ χρόνους τινὰς, καὶ μέλλει γενέσθαι τοῦ κτήματος διατίμησις, ὁ καιρὸς σκοπεῖται, καθ' ὃν τὸ κτῆμα ἐπὶ νομῇ παρεδόθη. οὕτω γὰρ ὁ μάγιστρος ἐσημειώσατο· τὴν μέντοι διατίμησιν τῶν ἀκινήτων γενέσθαι κατὰ τὴν ποιό-

---

[1] Suppl. cit. p. 262. — Eundem locum supra c. 3 inseruit auctor. [2] Suppl. cit. p. 263. [3] Ibid. [4] Ibid. — Idem locus supra tit XXI c. 6 habetur. [5] Suppl. l. c.

τητα καὶ κατάστασιν, ἣν εἶχον, ὅτε τὰ κτήματα εἰς νομὴν ἔλαβεν ὁ ἐπίσκοπος, ὡσὰν εἰ μέν τι τούτων μεμείωται, τὴν ζημίαν αὐτὸς ἐπιγνῷ, εἰ δὲ βελτίωσις γέγονε, τὸ κέρδος ταύτης σχοῖεν οἱ βελτιώσαντες. νενόμισται γὰρ ἐν τοῖς τοιούτοις μὴ κερδαίνειν τινὰ ἐκ τῆς ἑτέρου ζημίας.

[ιη'.] Ὅτι ὁσάκις διαβάλλεται ἡ διατίμησις τῆς προικὸς, ὡς κατὰ περιγραφὴν τοῦ ἀνδρὸς εὐτελεστέρα γενομένη, συμβῇ δὲ τὸ τῆς γυναικὸς μέρος νέμεσθαι τὰ διατιμηθέντα πράγματα, κινοῦντος τοῦ ἀνδρὸς ἀντίκειται παρὰ τῶν παίδων καὶ κληρονόμων αὐτῆς δόλου παραγραφή. εἰ δὲ ὁ ἀνὴρ μέμφεται τῇ διατιμήσει, τῆς ἀληθείας δεικνυμένης τὴν δικαίαν διατίμησιν ἀναγκάζεται παρασχεῖν μόνην. ταῦτα μὲν, εἰ σώζονται τὰ πράγματα· εἰ δὲ ἀπώλοντο, τὸ ἐγκείμενον τῷ προικῴῳ συμβολαίῳ μόνον τίμημα καταβάλλεται.

ΤΙΤΛΟΣ κγ'.

Περὶ ἀποδείξεων καὶ προλήψεων καὶ βεβαιώσεων.

[α'.] Εἰ προκομίσω γραμματεῖον χρεώστου κεχιωμένον τοῖς κληρονόμοις αὐτοῦ, λέγων, ὡς κατέβαλε τινὰ τῶν κεχρεωστημένων, τινὰ δὲ οὔ, καὶ διὰ τοῦτο ἐχιώθη μὲν τὸ ὁμόλογον, κατέχεται δὲ παρ' ἐμοῦ, ἀναγκάζομαι ἐγὼ τοῦτο δεικνύειν, καὶ ὅτι ἐδάνεισα. μετὰ δὲ τὸ ἀποδεῖξαι ἐὰν οἱ κληρονόμοι προθήσουσιν[1], ὡς ἐκλάπη τοῦτο παρά τινος τῶν τοῦ χρεώστου καὶ ἐδόθη τῷ δανειστῇ, ἀναγκάζονται αὐτοὶ τοῦτο δεῖξαι.

[β'.] Ὅτι προκομισθείσης καταθέσεως ἐμμαρτύρου, ἀβέβαιον[2] ταύτην ἐδέξατο ὁ πατρίκιος καὶ οὐδὲ χώραν ἔδωκε τῇ ἐξ ὁμοίων γραμμάτων τοῦ καταθεμένου συγκρίσει. τοῦτο γὰρ οὐκ ἀναγκαῖον ἐφαίνετο.

[γ'.] Ὅτι[3] δυνατὸς κατὰ πένητος ἐξ ἀγράφου μαρτυρίας δεικνύειν οὐ συγχωρεῖται ἀπὸ τῆς νεαρᾶς[4]. καὶ τοῦτο ὁ δρουγγάριος ἔκρινε. τῶν γὰρ νεαστῶν τῆς νεαστοῦ κώμης[5] κατεχόντων τόπον ἐν τῷ χωρίῳ τῆς γορδίου κώμης ἐπὶ χρόνοις ρκβ, εἶτα τοῦ μητροπολίτου τοῦ φαγίτζη

---

[1] Cod. προσθ. [2] Aut hic ὡς βεβαίαν, aut paulo ante ἀμαρτύρου legendum. [3] Cf. tit. IX c. 6. [4] Sc. Novella Basilii Bulgaroctoni. [5] An μοναχῶν τῆς νεαστοῦ μονῆς?

παραδεδωκότος τοῦτον πρὸς τοὺς χωρίτας καὶ μετὰ μικρὸν ἐγκαλεσάντων τῶν μοναχῶν, καὶ πρᾶσιν ὑποδειξάντων, περιέχουσαν πωλεῖν τὸ κτῆμα ἄνευ τῶν λειβάδων καὶ τῶν χωραφίων τῆς γορδίου κώμης, ἔκρινεν ὁ δρουγγάριος, ἵνα περιορισθῇ τὸ χωρίον, καὶ τὰ μὲν ἐνεπειλημμένα τούτῳ ἔχωσιν οἱ χωρῖται, τὰ δὲ ἐκτὸς πίπτοντα ἔχῃ τὸ μοναστήριον. ἠρώτησα δὲ ἐγώ· ὅτι ὁ πολὺς χρόνος ἤγουν τὰ ρκβ ἔτη τὰ διαῤῥεύσαντα ἀπὸ τῆς πράσεως οὐ συμβάλλεται τοῖς μοναχοῖς εἰς τὸ δεσπόσαι τὸν τόπον τὸν ἐντὸς τοῦ χωρίου, εἴπερ εὑρεθῇ ἀδιάκοπος; καὶ ἀπεκρίθη ὁ μάγιστρος· ὅτι τὸ ἔγγραφον λέγει μὴ πωλεῖν αὐτούς τι ἐντὸς τῶν ὅρων τοῦ χωρίου, καὶ τοῦ ἐγγράφου μαχομένου αὐτοῖς πίπτουσιν εἰς ἀγράφους ἀποδείξεις εἴτουν μαρτυρίας, ἵνα δείξωσιν, ὅτι ἐπὶ πολλοὺς χρόνους κατεῖχον τοὺς τοιούτους τόπους, καὶ οὐ προσίεται αὐτοὺς ἡ νεαρὰ νομοθεσία δυνατοὺς ὄντας δεικνύειν κατὰ πενήτων ἀγράφως.

[δ΄.] Ὅτι ἐκίνησέ τις, ὡς ὁ πατὴρ αὐτοῦ ἐπώλησε πρὸς τὸν δεῖνα χάλκωμα, ὁ δὲ οὐκ ἀπέδωκε τὴν τιμήν· ὁ δὲ ἐναγόμενος ὡμολόγησε μὴ τοσοῦτον χάλκωμα λαβεῖν, ἀλλ' ὀλίγον, καὶ ἀποδοῦναι τὸ τίμημα· καὶ ἠναγκάζετο, ἵνα συστήσῃ τὴν καταβολήν. ὁ δὲ δικάζων οὐ παρεδέξατο τοῦτο, εἰπών, ὅτι τὰ σταθμώμενα μετρούμενα ἀριθμούμενα, καὶ ὅσα ἐν τοῖς τοιούτοις, οὐ δέονται ἐγγράφων ἀποδείξεων ἢ ἀγράφων μαρτυριῶν, ἀλλὰ τῇ πίστει τῶν συναλλασσόντων ἐπικρατοῦνται, καὶ ἀμαρτύρως ὁ μὲν τὰ εἴδη, ὁ δὲ τὸ χρυσίον ἀντιδίδωσι, καὶ μετὰ χρόνων παραδρομὴν οὐδεὶς ἀπαιτεῖ τὸν ἀγοραστὴν δεῖξαι τὴν τοῦ τιμήματος καταβολήν, ὅτι μὴν πρόληψιν ὁ χρόνος ὑπὲρ τοῦ ἀγοραστοῦ μᾶλλον δίδωσι, καὶ τὸ τῇ προλήψει μαχόμενον βαρεῖται ταῖς ἀποδείξεσι· καὶ διὰ τοῦτο μᾶλλον ᾠκονόμησε τὸν ἐναγόμενον ὑποσχεῖν ὅρκον, ὡς κατέβαλε τὸ τίμημα, καὶ ἀπαλλαγῆναι. ὅτι καὶ νόμος[1] λέγει· „αἱ μὴ κατ' οἰκείαν φύσιν συνιστάμεναι ἐνοχαὶ οὔτε διὰ δικαστοῦ οὔτε διὰ πραίτωρος οὔτε διὰ νόμων βοηθοῦνται,“ ἐνοχὰς μὲν κατ' οἰκείαν φύσιν συνισταμένας φάσκων τὰ τῶν πραγμάτων συναλλάγματα· φύσις γάρ ἐστι τὸν μὲν διδόναι εἴδη, τὸν δὲ ἀντιδιδόναι χρυσίον, καὶ ἄλλως οὐ συνίσταται τὸ συνάλλαγμα.

[ε΄.] Ὅτι πρῶτον χρὴ τὸν ἐνάγοντα δεικνύειν τὴν ἰδίαν δεσποτείαν, ἣν λέγει ἔχειν ἐπὶ τόπου, καὶ ὃ καταβάλλεται ὑπὲρ τοῦ τόπου δημόσιον, ἔπειτα τὸν ἐναγόμενον ἀνταποδεικνύειν εἰς

[1] Basil. LII, 1, 26.

παραγραφὴν τὸν χρόνον, καὶ δικαιοῦσθαι μὲν εἰς τὴν τοῦ τόπου κατάσχεσιν, ἀναδέχεσθαι δὲ τὸ τοῦ τόπου δημόσιον, ὅπερ φανεῖ[1] ὁ ἐνάγων τελεῖν· εἰ δὲ μὴ ἡ χρονία παραγραφὴ συσταίη, νικᾶν τὸν ἐνάγοντα· ὥσπερ εἰ καὶ αὐτὸς ἀπείπῃ εἰς τὴν τῆς δεσποτείας ἀπόδειξιν, ἀναντιῤῥήτως τοὺς ἐναγομένους νικᾶν· „τοῦ γὰρ ἐνάγοντος," φησὶν ὁ νόμος[2], „μὴ δεικνῦντος, ὁ ἐναγόμενος νικᾷ, κἂν μηδὲν αὐτὸς ἀποδεικνύῃ." εἰ δὲ τοῦ διώκοντος μέρους περὶ δεσποτείας ἀγωνιζομένου, τὸ διωκόμενον χωρεῖ πρὸς παραγραφὴν χρονίαν, ἀλλ᾽ εἰ καὶ αὐτὸς δεσποτείαν ἰδίαν ἀντιπροβάλοιτο, προσήκει τὸν δικάζοντα παρ᾽ ἀμφοτέρων μάρτυρας ἢ δικαιώματα προστάττειν παραχθῆναι, καὶ εἰ δεήσει διδόναι ἑκατέροις καιρὸν διαβολῆς τε καὶ παραστάσεως, καὶ τοῦτο πράττειν, εἰ ἀνάγκη ὕπεστι, μέχρι τρίτου, εἶτα ἐπιλογὴν ποιεῖσθαι τῶν μαρτύρων, καὶ οἷου ἂν φανῶσι μάρτυρες μέρους πλήθει καὶ ἀξιοπιστίᾳ καὶ στεῤῥότητι προέχοντες, τούτους προκρίνειν εἰς ὅρκον, καὶ λύειν τὰ ἀμφιβαλλόμενα. εἰ δὲ καὶ ἐξ ἀγράφου[3] δικαιώματος ἡ δικαίωσις ἀναφαίνοιτο, τοῦτο ἂν εἴη τοῖς ἄλλοις τὸ κρεῖττον.

[ϛʹ.] Ὅτι ὁ καμπανάριος ὁ κριτὴς τοιαύτην προέθετο δίκην· ἐδανείσατό τις παρά τινος ἀγράφως, εἶτα ἀπιὼν ἔπεμψε τὸ χρυσίον πρὸς τὸν ἀδελφὸν αὐτοῦ, ἵνα ἐκεῖνος τοῦτο παράσχῃ πρὸς τὸν δανειστήν, ὁ δὲ προσαγαγὼν τὸ χρυσίον τῷ δανειστῇ ἐζήτει λαβεῖν παρ᾽ ἐκείνου ἀπόδειξιν, καὶ οὗτος οὐκ ἐπείσθη, εἰπὼν ἀγράφως δοῦναι καὶ ἀγράφως ὀφείλειν ἀπολαβεῖν· καὶ παρῆλθε χρόνος, καὶ ὁ χρεώστης ἥκει, καὶ ἐπεζήτει ὁ δανειστὴς τὸ χρέος, ὁ δὲ ἔλεγε πέμψαι τοῦτο μετὰ τοῦ ἀδελφοῦ, καὶ ὁ ἀδελφὸς ὁμολογῶν λαβεῖν τὸ χρυσίον ἔλεγεν, ὅτι πάλιν ἀπέδωκά σοι τῷ ἀδελφῷ μου τοῦτο. τοιαύτης προτεθείσης δίκης ἐζητεῖτο, τίς προτιμηθήσεται εἰς τὸν ὅρκον. καὶ οἱ κριταὶ πάντες εἶπον, ἵνα πρῶτον μὲν δείξῃ ὁ ἀδελφὸς τοῦ χρεώστου, ὅτι ἀντέστρεψε πρὸς τὸν ἀδελφὸν τὸ χρυσίον, κατὰ τὸν λέγοντα νόμον[4]· „ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων ἐστὶ, καὶ βαρεῖται ταῖς ἀποδείξεσι." μὴ εὐποροῦντος δὲ τούτου ἀποδείξεων ὀμόσει ὁ ἀδελφὸς αὐτοῦ, ὅτι ἀφ᾽ οὗ ἔπεμψε τὸ χρυσίον οὐκ ἔλαβε τοῦτο παρ᾽ αὐτοῦ. ἀλλ᾽ ὁ μάγιστρος εἶπε, μὴ χρῆναι βαρυνθῆναι τὸν λέγοντα ἀγράφως ἀπολαβεῖν τὸ χρυσίον καὶ ἀμαρτύρως εἰς τὸ συστῆσαι τὴν ἀπό-

---

[1] Cod. ὀφανεῖ. [2] Basil. XXII, 1, 36. [3] Omnino legendum ἐγγράφου.
[4] Basil. XXII, 1, 19.

δειξιν ἔγγραφον ἢ ἐμμάρτυρον, ἀλλὰ μᾶλλον αὐτὸν ὑποσχεῖν ὅρκον, ὅτι ἀντέστρεψε τὸ χρυσίον, διὰ τὸν λέγοντα νόμον[1]· „εἴ τις ἢ παρακατατιθέμενος ἢ δανείζων ἢ ἄλλως συμβάλλων ἀρκεσθείη τοῖς γράμμασι μόνον τοῦ πρὸς αὐτὸν συμβάλλοντος, ἐπ᾽ αὐτῷ κείσεται τὸ γινώσκειν, ὡς τῆς αὐτοῦ πίστεως τὸ πᾶν αὐτὸς ἀνηρτήσατο.“ ἀγράφου γάρ, φησι, δανείου συνεστηκότος καὶ ἀμαρτύρου, πῶς ἐνδέχεται τὴν καταβολὴν ἢ ἔγγραφον γίνεσθαι ἢ ἐμμάρτυρον; καὶ τὸν λέγοντα μὲν δανείσασθαι ἀγράφως[2] καὶ ὁμολογοῦντα, ὅτι ἔλαβε τὸ χρυσίον, ὅπερ οὔτε ἔγγραφος ἀπόδειξις αὐτοῦ ἐλέγχει οὔτε μαρτύρων παρουσία, ἐνιστάμενον δὲ ποιήσασθαι καὶ τὴν ἀπόδοσιν τοῦ ὀφλήματος ἀμάρτυρον καὶ ἄγραφον, δεκτὸν εἶναι τῷ νόμῳ εἰς τὸ ὀμνύειν καὶ ἀπαλλάττεσθαι. ὃς γὰρ οὐκ ἐφοβεῖτο ἀπόδειξιν αὐτὸν ἐλέγχουσαν ὅτι ἐδανείσατο ἢ μάρτυρας καὶ ὡμολόγησε τὸ δάνειον, πῶς οὗτος οὐ πιστὸς δόξῃ λέγων καὶ καταβαλεῖν καὶ δι᾽ ὅρκου τοῦτο βεβαιῶσαι; πρόληψις γὰρ ὕπεστι, ὅτι εἴπερ ψεύδεται εἰς τὴν ἀπόδοσιν, οὐκ ἂν ὡμολόγησεν ὅλως, ὅτι ἐδανείσατο, ὅτε ἀμάχως ὤφειλεν ὀμνύων ἀπαλλάττεσθαι. τῆς δὲ προλήψεως ὑπούσης ἀνάγκη τὸν μαχόμενον ταύτῃ ἀντίδικον δεικνύειν, καὶ ἀτονοῦντος τούτου τὸν μὴ ἐλεγχόμενον ὀμνύειν. οὕτως οὖν ἐτυπώθη παρὰ τοῦ μαγίστρου ἡ δίκη. ἀντεῖπον ἐγώ· ἂν[3] ἐπὶ τῆς προκειμένης ὑποθέσεως καὶ μάρτυρες εἰσίν· αὐτίκα γὰρ ὁ ἀπὸ τῶν ἔξω ἀποκομίσας τὸ χρυσίον μάρτυς ἐστὶν, ἀλλὰ καὶ ὁ δανειστὴς, ὅστις προκομισθέντος αὐτῷ τοῦ χρυσίου οὐκ ἐπείσθη τοῦτο ἀπολαβεῖν καὶ ποιῆσαι ἀπόδειξιν· καὶ ἐπεὶ διὰ τούτων φανερὸν ἐγένετο, ὅτι ἔλαβε τὸ χρυσίον ὁ ἀδελφὸς, ὤφειλε καὶ αὐτὸς τοῦτο ἀποδιδοὺς φανερὰν ποιῆσαι τὴν ἀπόδοσιν. καὶ ἀπεδέξατο τοῦτο ὁ μάγιστρος, καὶ ἐτύπωσεν ὠμόσαι τὸν πέμψαντα το χρυσίον, ὅτι οὐκ ἀπέλαβε τοῦτο παρὰ τοῦ ἀδελφοῦ. ἀνάγνωθι βι. κβ´ τί. α´ κεφ. β´· „ὁ λέγων, οὐ μὴν ὁ ἀρνούμενος δεικνύει.“ Παραγραφή[4]· „πλὴν εἰ μὴ προλήψει ἐναντιοῦται ἡ ἄρνησις.“ καὶ κεφ. ζ´[5]· „εἰ καὶ τὰ μάλιστα ὁ παραγραφόμενος ὃ λέγει δείκνυσιν, ὅμως ἐὰν γένηταί μοι σύμφωνον μὴ μνημονεῦον κληρονόμων, προλήψει γενικόν ἐστιν, εἰ μὴ δείξει ὁ ἐνάγων προσωπικὸν αὐτὸ εἶναι.“

[ζ´.] Ὅτι[6] δίκαι πολλαὶ ἐκινήθησαν κατὰ τοῦ μαγίστρου τοῦ σκληροῦ, λεγόντων τινῶν ἀφαίρεσιν πραγμάτων αὐτῶν

---

[1] Basil. XXII, 4, 1. [2] Cod. ἐγγρ. [3] Forte ὅτι. [4] Cf. Basil. ed. Heimb. II p. 464. [5] Heimb. c. 9. [6] Cf. tit. 69 c. 5.

ὑποστῆναι καὶ εἰς φυλακὰς ἐμβληθῆναι καὶ τυφθῆναι. ἔνθα μὲν οὖν εὕρισκεν ὁ μάγιστρος καὶ ὁ δρουγγάριος ὡς ὑπέστη τὶς τιμωρίαν καὶ φυλακῆς κάκωσιν καὶ ἀπώλειαν χρυσίου, ἐκεῖνον μόνον τοῦτο ἐβάρυνε δεικνύειν, ὅτι ἀπεκλείσθη τυχὸν [ἢ] ὅτι ἐτύφθη, καὶ τότε προετίμα αὐτὸν εἰς τὸ ὀμνύειν, λέγων λογισμὸν, ὅτι ἐπεὶ ἀπέκλεισας αὐτὸν καὶ ἔτυψας καὶ ἐκάκωσας, πρόληψίς ἐστιν, ὅτι καὶ ἃ ἐπεφέρετο ἀφείλου, καὶ διὰ τοῦτο προτιμῶ[1] αὐτὸν εἰς τὸν ὅρκον· πρόληψις γάρ ἐστιν ἐνταῦθα. ὅπου δὲ μὴ ἐδείκνυτο βία ἢ κάκωσις, τότε ἐξ ὀρθοῦ ἀρνουμένου τοῦ μαγίστρου, ἀποδείξει ἐβάρυνε τὸν ἐνάγοντα, καὶ ἐξ ἀπορίας ὅρκον ἐπέφερε τῷ μαγίστρῳ.

[η'.] Καὶ τί. δ' κεφ. ιε'[2]· „ἔνθα μὴ συνεφωνήθη, ἵνα τὸ δίκαιον, ὅπερ ὁ πράτης ἔχει, αὐτῷ εἴη πεπραμένον, ἀναγκάζεται δεῖξαι κληρονόμον ἑαυτόν.“

[θ'.] Ὅτι ἀρνουμένου τινὸς ἔχειν τινὰ συγγενῆ ἔγραψεν ὁ μάγιστρος· τὴν πρὸς τὸν ἀνδρέαν συγγένειαν διαφεύγων ὁ ὡστιάριος ὀμνύειν μὲν εἶχε πρὸς ἀνάγκην πρῶτον κατὰ τὸν νόμον, ἔπειτα συστάσεις καὶ ἀποδείξεις ἀπαιτεῖν τὸν ἐνάγοντα. ἀλλ' ὁ ἀνδρέας τὸν ἐντελῆ τούτῳ ἐπῆγεν, ὁ δὲ ἀντεπήγαγεν.

ΤΙΤΛΟΣ κδ'.

Περὶ προικὸς καὶ ὑποβόλου καὶ θεωρέτρου καὶ ἐξωπροίκων καὶ προνομίων γυναικῶν καὶ ἐνοχῶν καὶ περὶ δευτερογαμουσῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων καὶ τῆς βοηθείας αὐτῶν.

[Κεφ. α'.] Ἐὰν[3] υἱὸς ἔχων γονεῖς ἀγάγηται γαμετὴν, καὶ μὴ λάβῃ κλῆρον, καὶ τελευτήσῃ ἔχων παῖδας, οὐ δύναται ἡ γυνὴ αὐτοῦ ἀπαιτεῖν καὶ ζητεῖν τὸν κλῆρον τοῦ ἀνδρὸς ἀπὸ τῶν γονέων, εἴπερ πολλάκις καὶ ὁ ἀνὴρ τὴν προῖκα κατεσπατάλησεν, ἀλλ' οἱ παῖδες ἐκείνου ὑπεισερχόμενοι τὸ τοῦ οἰκείου πατρὸς πρόσωπον λαμβάνουσι τὸ ἀνῆκον τῷ πατρί. τοῦτο οὖν τὸ λεγόμενον ἐν τοῖς νόμοις τό· ὅπερ ὁ νόμος δίδωσιν, ἰδιώτης ἀνὴρ ἀφελέσθαι οὐ δύναται. Παραγραφή· σημείωσαι δὲ ἐνταῦθα, ὅτι οὔτε πατέρες συνήνεσαν, οὔτε προῖξ ὑπεδέχθη παρ' αὐτῶν,

---

[1] Cod. προτιμῶσιν. Forte προτιμῶμεν, sc. Magister et Drungarius. Cf. tamen tit. VII c. 6. not. 1. [2] Sc. lib. XIX Basil. — Cf. Suppl. edit. Basil Heimb. p. 264. [3] Cf. Harm. IV, 8, 40.

ουτε κληρονομία ἐτυπώθη παρὰ τῶν γονέων ἐν τῷ καιρῷ τῶν γάμων τῷ υἱῷ, καὶ διὰ τοῦτο οὐδὲ τῆς γυναικός ἐστιν ἐνταῦθα φροντὶς, ἵνα κινῇ περὶ τοῦ ὑποβόλου.

[β'.] Ὅσα[1] προκατάσχῃ ἑαυτῇ ἡ γυνὴ καὶ μὴ καταγράψηται εἰς προῖκα, ἢ καὶ τὰ περιερχόμενα αὐτῇ συνεστῶτος τοῦ γάμου καὶ παρακρατούμενα, ἐκποιούμενα παρὰ τοῦ ἀνδρὸς εἰδυίας τῆς γυναικὸς καὶ συναινούσης ἐγγράφως, οὐ δύναται ἡ γυνὴ μετὰ λύσιν τοῦ γάμου ἐπιζητεῖν ἢ προβάλλεσθαι τὸ τῆς ὑπεξουσιότητος δίκαιον.

[γ'.] Γυνὴ ὑπισχνουμένη προῖκα ἐνέχεται, καὶ οὐ βοηθεῖται.

[δ'.] Εἰ ἔδωκέ τις εἰς προῖκα τῇ θυγατρὶ αὐτοῦ ὑπὲρ πατρῴας κληρονομίας λίτρας β̄ νομίσματα ιβ̄, εἶτα τελευτήσαντος ἐκείνου καὶ ἀπογραφῆς γεγονυίας τῆς ὑπάρξεως, οὐδὲ τῆς γυναικὸς αὐτοῦ ἡ προῖξ ἀπεσώθη, ἀλλ' ἦλθε παρὰ ιβ̄ νομίσματα. περιλειφθέντων οὖν παίδων τοῦ τελευτήσαντος μηδὲν πατρικὸν λαβόντων, καὶ τῆς μητρὸς αὐτῶν χρεωστουμένης ἔτι ἐκ τῆς προικὸς τὰ ιβ̄ νομίσματα, καὶ κινούντων κατὰ τῆς θυγατρὸς περὶ πατρῴων, ἔκρινεν ὁ πατρίκιος εὐστάθιος, ἵνα τὰ μὲν ιβ' νομίσματα τὰ χρεωστούμενα τῇ μητρὶ ἀπολάβῃ αὐτὴ ἀπὸ τῶν δοθέντων πατρῴων τῇ θυγατρὶ αὐτοῦ λιτρῶν β̄ νομισμάτων ιβ̄, ὁμοίως καὶ τὸ θεώρετρον αὐτῆς· τὸ δὲ περιλιμπανόμενον τῇ θυγατρὶ ἐκ τῆς πατρῴας δόσεως μερίζονται οἱ παῖδες καὶ ἡ μήτηρ ἐξίσου, ὡς ὑποβόλου λογισθέντος. ὑπερέβαινε γὰρ τὸ ὑπόβολον τῆς μητρὸς τὴν δοθεῖσαν εἰς προῖκα παρὰ τοῦ πατρὸς ποσότητα τῇ θυγατρί. ἔλεγε τοίνυν ὁ πατρίκιος καθόλ..[2] ὅτι[3] ἐὰν πατὴρ προικίσῃ τὴν ἰδίαν θυγατέρα, εἶτα καταναλώσας τὴν ἰδίαν ὕπαρξιν ἐν ἀπορίᾳ τελευτήσει, καὶ περιλειφθῇ ἡ γυνὴ αὐτοῦ χρεωστουμένη, δικαιοῦται αὕτη καὶ νικᾷ τὴν θυγατέρα εἰς τὸ δοθὲν αὐτῇ παρὰ τοῦ πατρὸς, καὶ οὐ βλάπτεται ἡ μήτηρ ὡς εἰδυῖα τὴν δόσιν· ἐπὶ γὰρ μόνοις τοῖς παρ' αὐτῆς δοθεῖσι τῇ θυγατρὶ ἤγουν τοῖς μητρῴοις ἡττᾶται.

[ε'.] Οὐκ ἀναγκάζεται ἡ γυνὴ ἐν συνεστῶτι τῷ γάμῳ διαζευχθεῖσα τοῦ ἀνδρὸς ἀποκαρῆναι, εἰ μὴ λάβῃ πρῶτον τὴν ἑαυτῆς προῖκα. καὶ εἰς τοῦτο γέγονε μεγάλη διάστασις τοῦ πατρικίου πέτρου καὶ τοῦ πατρικίου εὐσταθίου. ὁ μὲν γὰρ πατρίκιος πέτρος ἔλεγε, δεῖν πρῶτον ἀποκείρεσθαι τὴν γυναῖκα, εἶτα ἀναγκάζεσθαι τὸν ἄνδρα πρὸς ἀπαίτησιν τῆς

---

[1] Cf. Harm. I, 13, 21. III, 3, 56. [2] h. e. καθόλου. Sed videtur hic corruptela aliqua latere; forte: εὐστάθιος. [3] Cf. Harm. IV, 9, 17.

προικός· ὁ δὲ πατρίκιος εὐστάθιος ἀντέλεγεν, ὅτι πρῶτον ἀπαριθμεῖ ὁ ἀνὴρ καὶ παρέχει τὴν προῖκα, καὶ ἀσφαλιζομένης ταύτης ἀποκείρεται ἡ γυνὴ καὶ λαμβάνει αὐτήν. καὶ ἔλεγε καλῶς· καὶ γὰρ προσετίθει λογισμὸν, ὅτι ἐπεὶ οὐκ ἔξεστι τῷ εἰσερχομένῳ εἰς μοναστήριον μετὰ τὸ ἀποκαρῆναι διατίθεσθαι, ἀλλὰ τοῦτο ποιεῖ πρὸ τῆς κουρᾶς, πῶς ἂν διάθηται ἡ γυνὴ μήπω λαβοῦσα τὴν προῖκα; εἰ δὲ καὶ εἴπῃ τὶς, ὅτι ἔχει ῑ λίτρας προῖκα, διατιθέσθω ἐπὶ ταύταις, πάντως γὰρ λήψεται αὐτὰς ὕστερον· ἀλλ' ἀντίκειται τούτῳ λογισμὸς ἕτερος, ὅτι ἐὰν ἐν εἴδεσιν ἢ πράγμασιν ἔχῃ τὴν προῖκα, καὶ οὐχὶ ἐν χρυσίῳ, καὶ διατιθεμένη λεγατεύσῃ τινὰ τῶν εἰδῶν τισιν, ὡς ἐλπίζουσα ἔχειν αὐτὰ, ὁ δὲ ἀνὴρ μετὰ τοῦτο οὐ τὰ εἴδη παράσχῃ, ἀλλ' ἀντὶ τούτων ἕτερα δώσει, ποῖα τοῖς λεγαταρίοις δοθήσονται; πάντως ἀπολέσουσι τὰ λεγάτα· ὅπερ καὶ ἀπρεπές ἐστι λέγειν. προσετέθην δέ· καὶ ὁ μονάζων βουληθεὶς ἀποκείρεται διὰ τὸ διηνεκῶς ἡσυχάζειν. ἡ οὖν μὴ λαβοῦσα τὴν προῖκα, ἀλλὰ πρῶτον τὸν μονήρη ἀμφιασαμένη[1], κινδυνεύσει πάντως ὕστερον ὀχλήσεσι καὶ θορύβοις καὶ δικαστηρίοις ἐντρίβεσθαι.

[ς'.] Ἀνὴρ ἔχων γαμετὴν ἐποίησε διαθήκην, καὶ κατέλιπεν αὐτῇ τὰ γαμικὰ κέρδη ἤτοι θεώρετρον καὶ ὑπόβολον. εἶτα ἀπεκάρη ἐν τῇ οἰκίᾳ αὐτοῦ ἀῤῥωστίᾳ περιστοιχηθείς. ἡ οὖν γυνὴ συμβιωτεύσασα τῷ ἀνδρὶ ἐν τῇ ἀῤῥωστίᾳ λαμβάνει τὸ ὑπόβολον.

[ζ'.] Ἐὰν θυγάτηρ ἔχουσα γονεῖς ἐπιδῷ ὑπὲρ ἑαυτῆς προῖκα, καὶ ἐπερώτησε τὸν ἄνδρα, ἵνα τελευτώσης αὐτῆς ἀτέκνου καὶ ἀδιαθέτου διαβαίνῃ ἡ προῖξ εἰς τοὺς γονεῖς αὐτῆς καὶ τοὺς ἐξ ἀδιαθέτου κληρονόμους, εἶτα διάθηται ἡ δεδωκυῖα τὴν προῖκα, οὐ δύνανται οἱ γονεῖς ἐνάγειν λέγοντες, ὅτι ἡμῖν διαφέρει ἡ προῖξ ὡς ἐπιδεδωκόσι τὴν προῖκα, κἂν τυχὸν οὐχ ὡμολόγησεν ἡ θυγάτηρ λαβεῖν τι παρ' ἡμῶν. ἀνθίσταται γὰρ οὕτω λέγουσιν ἕτερος, ὅτι οὐχ ὑμεῖς ἐπηρωτήσατε τὸν ἄνδρα, ἀλλ' ἡ θυγάτηρ, ἥτις εἶχεν ἐξουσίαν καὶ πρὸς ἕτερον παραπέμπειν τὰ ἑαυτῆς, μὴ πρὸς ἡμᾶς ἐπερωτήσασα· τὰ γὰρ μεταξὺ ἑτέρων λεγόμενα ἢ πραττόμενα ἑτέρους οὐ καταβλάπτει· ὥσπερ καὶ ἐπὶ δανειστῶν γίνεται· εἰ γὰρ ἐπερωτήσω σε καταβαλεῖν ἐμοὶ [καὶ] τῷ δεῖνι, ἐγὼ μὲν ἔχω τὴν ἀπαιτητικὴν ἀγωγὴν, ἐκεῖνος δὲ οὐκ ἔχει, ἀλλὰ δύναμαι ἢ τὸ πᾶν δι' αὐτῆς ἀναλαβεῖν ἢ μέρος ἑτέρῳ δοῦναι. οὕτως οὖν ὁ πατὴρ μόνον τὸ νόμιμον λαμβάνει μέρος καὶ ἐπὶ τῆς τοιαύτης ὑποθέσεως, ἤγουν τὸ τρί-

---

[1] Deest aliquid, forte βίον.

τον τοῦ παντὸς φαλκιδίου, καὶ τὰ λεγάτα καὶ πάντα[1]. εἰ δέ τινα τῶν τοῦ ἀνδρὸς ἐλεγατεύθησαν ἢ καὶ ἠλευθερώθησαν ἀνδράποδα παρὰ τῆς γυναικὸς, τούτων ἡ τιμὴ οὐ φαλκιδιοῦται, ἀλλὰ προϋπεξαιρεῖται, καὶ τότε τὸ περιττεῦον φαλκιδιοῦται.

[η΄.] Βι. κθ΄ τί. α΄ κεφ. δ΄[2]. Ὅτι ἐκείνη δοκεῖ εἶναι καθόλου προῖξ ἀπὸ[3] τοῦ πατρὸς δεδομένη, ἥτις τὴν οὐσίαν τοῦ πατρὸς ἐλαττοῖ. ἐὰν δὲ ἢ ἀπὸ δωρεᾶς παράσχῃ τὴν προῖκα ἢ ἀπὸ λεγάτου, ἢ ἐγγυήσηται ἑτέρῳ μέλλοντι προικίζειν τὴν θυγατέρα αὐτοῦ καὶ ἀποροῦντος ἐκείνου καταβάλλῃ αὐτὸς τὴν προῖκα, οὐκ ἐστὶ παρ᾽ αὐτοῦ δοθεῖσα ἡ προῖξ. τὰ δὲ ἀπὸ λεγάτου προικιζόμενα καὶ ἀπὸ δωρεᾶς εἴρηται, ὅταν δωρήσηταί τις πατρί τινα ἐπὶ τῷ τὴν αὐτοῦ θυγατέρα προικίσαι, ἢ ὅταν καταλειφθῇ πατρὶ λεγάτα ἀπὸ περιουσίας, ἐν ᾗ κληρονόμος ἐστὶν ὁ γαμβρὸς, καὶ ὁ πατὴρ ἐπίτηδες παραιτήσηται τὸ λεγάτον ἐπὶ τῷ γενέσθαι τοῦτο εἰς προῖκα τῇ θυγατρί· οὐ γὰρ ἐμείωσε τὴν ἰδίαν περιουσίαν.

[θ΄.] Ὅτι[4] γυνὴ ἐπιζητήσασα ἐν συνεστῶτι τῷ γάμῳ [προῖκα][5] καὶ εὑροῦσα διαπεπραμένον κτῆμα παρὰ τοῦ ἀνδρὸς, ἀποκατέστη παρὰ τ ο ῦ δ ι κ α σ τ ο ῦ τῷ ἀπεμπωλημένῳ κτήματι, καταδικασθέντος τοῦ ἀγοραστοῦ οὐ μόνον εἰς τὴν τοῦ κτήματος ἔκπτωσιν, ἀλλὰ καὶ εἰς τὴν τῆς μειώσεως ἔκτισιν.

[ι΄.] Ὅτι γυνὴ ἐντὸς τοῦ πενθίμου χρόνου δευτερογαμήσασα μετὰ τῶν ἄλλων ποινῶν, ἃς ὑφίσταται[6], διδόναι τῷ ἀνδρὶ εἰς προῖκα. ἀλλὰ μόνον τὸ τρίτον δίδωσι μέρος· τοῦ δὲ διμοίρου οὐκ ἀποστερεῖται, ἀλλὰ δεσπόζει τούτου καὶ εἰς ὅ τι ἂν συναλλάξῃ ἢ χαρίσηται ἢ πωλήσῃ ἐξ αὐτοῦ, ἰσχύει καὶ οὐκ ἀνατρέπεται. εἰ δὲ καὶ δώσει ἅπασαν τὴν ὕπαρξιν αὐτῆς ἐν προικὶ, καὶ συναλλάξει μετά τινος, τὸ συνάλλαγμα εἰ ὑποπίπτει τῷ διμοίρῳ, οὐκ ἀνατρέπεται· μόνον γὰρ τὸ τρίτον δίδωσιν ἐκ νόμου εἰς προῖκα, τοῦ δὲ διμοίρου αὐτὴ ἔχει τὴν ἐξουσίαν.

[ια΄.] Ὅτι[7] πᾶσα γυνὴ ἐν τοῖς ἐξωπροίκοις καὶ τοῖς λεγάτοις χωρὶς τῆς καταγεγραμμένης προικὸς δύναται καὶ συναλλάσσειν καὶ χαρίζειν καὶ δωρεῖσθαι, καὶ ἔῤῥωται πάντα.

[ιβ΄.] Ὅτι ἐὰν ἀνὴρ παραλάβῃ εἰς προῖκα οἶκον ἢ προάστειον, εἰ μὲν μετὰ διατιμήσεως αὐτὸ παρέλαβε, χρεωστεῖ τὴν τιμὴν, κἄντε ἐβελτίωσεν, αὐτὸς κερδαίνει, κἄντε ἐμείωσεν, αὐ-

---

[1] Locus corruptus: forte *συνίσταται*. [2] Heimb. c. 1. [3] Cod. *ἡ ἀπό*.
[4] Cf. Harm. IV, 9, 8. [5] Addo ex Harm. [6] Deest aliquid, veluti: *ἅπασαν τὴν αὐτῆς ὕπαρξιν οὐ δύναται*. [7] Cf. Harm. I, 13, 24 et IV, 9, 24.

τὸς κινδυνεύει καὶ ὑπόκειται. ἐὰν δὲ παραλάβῃ κτῆμα ἀπὸ συμφώνου τυχὸν εἰς λίτρας τρεῖς, εἶτα μέλλων ἀντιπαραδιδόναι ἐνάγηται, τριῶν λιτρῶν δοῦναι ἀναγκάζεται κτῆμα, ἢ τὴν τιμὴν ἣν ἔχει; λέγει γάρ· οὐκ ἀποτιμησάμενος παρέλαβον τοῦτο, ἀλλ᾽ ἀπὸ συμφώνου. εἰ μὲν οὖν ἐμείωσέ τι τοῦ κτήματος, ὑπόκειται[1] εἰς τὴν ζημίαν· εἰ δὲ μὴ ἠλάττωσεν ἀλλ᾽ ἐβελτίωσε, δύναται τὰς βελτιώσεις λογίζεσθαι, ἢ λαμβάνειν μὴ ποιῶν χεῖρον τὸ ὑποκείμενον· εἰ δὲ μὴ ἠλάττωσεν ἀλλ᾽ ἐπὶ τῆς ἀρχαίας ὄψεως ἐφύλαξεν, ἀποδίδωσιν αὐτὸ, καὶ οὐκ εἰς τὴν ποσότητα τῶν τριῶν λιτρῶν εὐθύνεται. τοῦτο γάρ ἐστιν ἐπὶ τῶν ἀδιατιμήτων, καὶ ἡ αὔξησις γὰρ καὶ ἡ μείωσις ἐπὶ τῶν τοιούτων τὴν γυναῖκα ὁρᾷ· οὐ γὰρ ἑκὼν ἐμείωσεν ὁ ἀνὴρ τὴν προῖκα ἢ τὸ κτῆμα ἠλάττωσεν, ἵνα βλαβῇ, ἀλλ᾽ ἐκ περιστάσεως ἢ τυχηρᾶς συμβάσεως ἐγένετο ἡ μείωσις. εἰ γὰρ ἑκὼν ἔβλαψεν, ὑπόκειται εἰς τὴν μείωσιν, ὥσπερ καὶ ἡ αὔξησις τὴν γυναῖκα ὁρᾷ, δηλαδὴ[2] ἡ ἐκ φυσικῆς[3], τουτέστιν ἵνα γένηται προσθήκη τόπων ὡς ἐπὶ ποταμῶν καὶ νήσων, ἢ ἐὰν δένδρα αὐξανθῶσιν ἢ ἄλλα τινὰ τυχηρὰ γένωνται· αἱ δὲ παρὰ τοῦ ἀνδρὸς γενόμεναι ἐπὶ ταῖς ἀδιατιμήτοις βελτιώσεις παρ᾽ αὐτοῦ ἀναλαμβάνονται, καθὼς ὁ νόμος φησίν· „ἀναλαμβάνων τὰ ἀναγκαῖα δαπανήματα.“

[ιγ'.] Ὅτι[4] ὁ πατρίκιος[5] εὑρὼν γυναῖκα ἐντὸς τοῦ πενθίμου χρόνου πλημμελήσασαν μοιχείαν καὶ γενομένην ἔγκυον ἀπεστέρησε ταύτην τοῦ ὑποβόλου, καὶ μητρὸς περιούσης καὶ ἀδελφῶν τοῦ ταύτης ἀνδρὸς, μόνῃ τῇ μητρὶ δέδωκε τὸ ὑπόβολον, τοὺς ἀδελφοὺς μὴ καλέσας εἰς τὸ λαβεῖν τι ἐκ τούτου· καὶ τοῦτο ἔλεγεν εἶναι τὸ ἐν τῷ νόμῳ γεγραμμένον· „τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως.“ περὶ δὲ τοῦ θεωρέτρου φιλανθρωποτέρῳ λόγῳ οὐδὲν ἐπολυπραγμόνησε· πένης γὰρ ἦν ἡ γυνὴ, καὶ τῶν οὐδαμινῶν τὸ θεώρετρον.

[ιδ'.] Ὅτι ἐπὶ ἀφαιρέσει ἀγροῦ, ὅτε ἀπὸ τοῦ ἀνδρὸς ἀφαιρεῖται καὶ ἀναδίδοται τῇ γυναικὶ, οἱ καρποὶ ἱστάμενοι δίδονται. τὸ δὲ δημόσιον πρὸς ἀναλογίαν τῶν μηνῶν, οὓς ἐνεμήθη, ὁ ἀνὴρ δίδωσιν· οὓς δὲ οὐκ ἐνεμήθη, οὐδὲ δίδωσιν. οἱ δὲ μῆνες τοῦ χρόνου ψηφίζονται ἀπὸ ὀκτωβρίου μηνός· ἐν γὰρ τῷ σεπτεμβρίῳ μηνὶ οἱ τοῦ ἑνὸς ἐνιαυτοῦ κρατοῦσι καρποὶ, ἀπὸ τότε δὲ ἄρχεται ὁ ἕτερος ἐνιαυτὸς καὶ ψηφίζονται οἱ μῆνες.

---

[1] Videtur legendum: οὐχ ὑπόκ. [2] Cod. ποῖα δέ. [3] Adde ἀφορμῆς.
[4] Cf. Harm. IV, 7, 28. [5] Infra tit. XXV c. 47 eadem decisio Drungario et c. 62 Magistro tribuitur.

[ιε΄.] Ὅτι[1] γυνὴ ἐγκαλέσασα κατὰ τοῦ ἀνδρὸς ὡς κακῶς ἐκποιησαμένου τὰ προικιμαῖα καὶ κατασπαταλήσαντος τὴν προῖκα, καὶ δικαιωθεῖσα καὶ κυρία γενομένη τῆς προικὸς καὶ οἱονεὶ ἀῤῥενοθεῖσα τῇ κυριότητι, δίκην ἐκίνησε κατὰ τῶν συναλλαξάντων τῷ ἀνδρὶ αὐτῆς, καὶ δωρησαμένη[2] πολλὰ τέλος πρὸς συμβιβάσεις ἀπεῖδε, καὶ συνῆλθε τῷ ἀντιδίκῳ ἐπὶ διαλύσει, καὶ λαβοῦσα νομίσματα διελύσατο, καὶ προσεδέχθη ἡ διάλυσις αὐτῆς παρὰ τοῦ πατρικίου ὡς καλῶς διαλυσαμένης καὶ ἐκυρώθη δι᾽ ὑπομνήματος αὐτοῦ, καίπερ ἀνδρὸς αὐτῇ περιόντος ἔτι. καὶ γὰρ ἔλεγεν ὁ πατρίκιος, μὴ δύνασθαι μὲν τὴν γυναῖκα ἐκποιεῖσθαι τὰ παραδοθέντα αὐτῇ, ὡς ἐξ αὐτῶν μελλούσῃ τρέφειν τὸν ἄνδρα καὶ τοὺς παῖδας, ἔχειν δὲ ἐξουσίαν διαλύεσθαι ἐπὶ δίκῃ. ἀμφιβόλου γὰρ ὄντος τοῦ πράγματος ἡ διάλυσις προβαίνει· καὶ ὑπὲρ ἑαυτῆς τοῦτο ποιεῖ, πολλάκις γὰρ ἐξ ἀποτελέσματος ἡττωμένη ἐπὶ τῇ δίκῃ ζημίαν ἑαυτῇ προξενεῖ.

[ις΄.] Ὅτι[3] ἐὰν [ἐν] συνεστῶτι τῷ γάμῳ ἡ γυνὴ πωλήσῃ τι, κἂν σωματικὸς ὅρκος προβῇ, κἂν εἴ τι γένηται, ἄκυρον τὸ πραχθὲν, καὶ ἀνατρέπεται πάλιν τὸ πραθέν. εἰ δὲ καὶ βελτιώσεις τινὰς ἐν αὐτῷ ποιήσει ὁ ἀγοραστὴς, καταδικαζόμενος καὶ ἀντιστρέφων ἐπιλογὴν ἔχει, ἢ τὴν ἀποτίμησιν τῆς βελτιώσεως ἀπολαβεῖν, ἢ αὐτὰ τὰ βελτιωθέντα, κατ᾽ οὐδὲν ἔλαττων τὸ πρωτότυπον.

ΤΙΤΛΟΣ κε΄.

Περὶ γυναικῶν ἰδικῶς[4].

[α΄.] Λαμβάνουσά τι γυνὴ καὶ ἐγγυωμένη, ἐνέχεται εἰς ὃ λαμβάνει.

[β΄.] Ὅτι ἰδοῦσα[5] ὑποψίαν γυνὴ φιλεῖσθαί τινι, οὐ δύναται καταλιμπάνειν αὐτῷ λεγάτον ἢ κληρονομίαν.

[γ΄.] Ὅτι ἐὰν ἀποδράσῃ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς, καὶ ἀπέλθῃ πρός τινα τῶν συγγενῶν, εἶτα πολλοῦ παρελθόντος χρόνου ἐν τῷ μεταξὺ ἔλθῃ ὁ ἀνὴρ εἰς δικαστήριον κατὰ[6] τοῦ συγγενοῦς

---

[1] Cf. tit. VII c. 3. 19. [2] Legerim: δαπανησ. [3] Cf. Harm. I, 13, 20. [4] Cod. ἰδικῶν. [5] Haec corrupta. Emendaverim ὑποῦσα ὑποψίᾳ. De adultera sermo est. [6] Cod. παρά.

τοῦ ὑποδεξαμένου καὶ κατὰ τῆς γυναικὸς, λέγων ὡς πλεῖστον χρόνον ἔχει ἡ σύμβιός μου ἐξ οὗ ἀπέδρα φυσικῶς, ὁ πατρίκιος ἔλεγε, μὴ πολὺν εἶναι τὸν χρόνον τῆς φυγῆς, ἀλλὰ κατὰ τὴν σήμερον δοκεῖ πεφευγέναι ἡ γυνὴ, καθ᾽ ἣν ὁ ἀνὴρ κινεῖ· ἐπεὶ ἐχρῆν αὐτὸν πρωτοσπαθαρίων προσελθεῖν δικαστηρίῳ καὶ κινεῖν περὶ τῆς γυναικὸς, οὐδὲν πρόκριμα ὑφίστασθαι τὴν γυναῖκα ἢ τὸν ὑποδεξάμενον ἕνεκεν τοῦ χρόνου τοῦ ἐν μέσῳ ἔλεγεν ὁ μάγιστρος.

[δ΄.] Ὅτι[1] τῇ ἀποτασσομένῃ γυναικὶ τῷ γάμῳ τοῦ ἀνδρὸς ἓξ μῆνες δίδονται παρὰ τῶν δικαστῶν, ὥστε μήπω ἀποκειραμένην ἐνδιατρίβειν μοναστηρίῳ, τὸν δὲ ἄνδρα προσέρχεσθαι πρὸς αὐτὴν καὶ κολακεύειν τοῖς λόγοις καὶ παρατίθεσθαι αὐτῇ τράπεζαν καὶ πάντα τρόπον ποιεῖν, ὥστε τὸν πάλαι πόθον ἀνάψαι, χωρὶς μέντοι βίας καὶ χειρῶν ἐπιβολῆς, μήτινος ἔχοντος ἐξουσίαν τῶν τῆς γυναικὸς κωλύειν τὸν ἄνδρα εἰσέρχεσθαι πρὸς τὴν γυναῖκα αὐτοῦ. μόνην μέντοι, ὅτε συλλαλεῖ ὁ ἀνὴρ τῇ γυναικὶ, τὴν παραφυλάσσουσαν ἔξωθεν τῆς οἰκίας, ἐν ᾗ εἰσὶν ὁ ἀνὴρ καὶ ἡ γυνὴ, καθέζεσθαι καὶ σκοπεῖν, καὶ εἰ μὲν παραδέχεται τοὺς λόγους τοῦ ἀνδρὸς ἡ γυνὴ καὶ φιλικῶς αὐτῷ προσέρχεται, μὴ ἐνοχλεῖν ἀλλ᾽ ἐᾶν, ὃ αἱροῦνται πράττειν· εἰ δὲ βίᾳ μᾶλλον ἢ πειθοῖ πειρᾶται τῆς γυναικὸς ὁ ἀνὴρ, τότε εἰσέρχεσθαι καὶ κωλύειν αὐτόν. ἓξ οὖν μῆνας δεῖ προσκαρτερεῖν τῷ μοναστηρίῳ τὴν γυναῖκα, καὶ εἰ μὲν τούτων ἐντὸς ἀσπάσηται τὸν γάμον καὶ συνέλθῃ τῷ ἀνδρὶ, ἐφεῖται αὐτῇ πράττειν τὰ ἀπ᾽ ἀρχῆς καὶ συμβιοῦν τῷ ἀνδρί· εἰ δὲ ἀτελῆ τὴν ἔνστασιν καὶ ἀκλινῆ πρὸς τὸν ἄνδρα ἐνδείξεται, τότε μετὰ τὸν ἑξαμηνιαῖον καιρὸν λαμβάνουσα τὴν προῖκα τὸν μονήρη ὑπέρχεται βίον.

[ε΄.] Ὅτι[2] ἐὰν [ἐν] συνεστῶτι τῷ γάμῳ δανείσηται ὁ ἀνὴρ παρά τινος ἐπὶ τῷ ἀγοράσαι οἰκήματα, καὶ γράψῃ τοῦτο καὶ ἐν τῇ ὠνῇ καὶ ἐν τῷ ὁμολόγῳ, ἐπιζητεῖ δὲ μετὰ τὴν λύσιν τοῦ γάμου ἡ γυνὴ τὴν προῖκα, νικᾷ τὸν δανειστὴν καὶ ἀναλαμβάνει τὰ οἰκήματα. εἰ γὰρ καὶ περιέχεται τῷ ὠνεακῷ ὅτι ἐκ τῶν τοῦ δεῖνος νομισμάτων ἠγοράσθη τὰ οἰκήματα, ἀλλ᾽ ὅ γε νόμος τοῦτο οὐ προσίεται διὰ τὰς κακουργίας τῶν ἀνδρῶν καὶ τὸ προνόμιον τῶν γυναικῶν. ἐὰν δὲ συνεστῶτος τοῦ γάμου βουλόμενος ὁ ἀνὴρ ὠνήσασθαί τι προσέλθῃ τινὶ περὶ δανείου, ὁ δὲ φοβούμενος τὴν προῖκα, τὰ μὲν νομίσματα [μὴ] παράσχῃ τῷ

---

[1] Cf. Harm. VI, 2, 17. [2] Cf. infra tit. XXVI §. 3. 4. — Harm. IV, 8, 24.

ἀνδρὶ, τῆς δὲ πράσεως γινομένης δαση μὲν αὐτὸς τὰ νομίσματα ἐπὶ μάρτυσιν, εἰς πρόσωπον δὲ τοῦ ἀνδρὸς ταῦτα γενέσθαι παρασκευάσῃ, τότε ἡττᾶται ἡ προῖξ ἐπὶ τοῖς οἰκήμασι. οὐ γὰρ ὁ ἀνὴρ ἔλαβε τὰ νομίσματα καὶ ἐνέμιξε ταῦτα τῇ λοιπῇ αὐτοῦ καὶ τῆς γυναικὸς ὑπάρξει, ἀλλ' ὡσανεὶ αὐτὸς ὁ δανειστὴς ἠγόρασε τὰ οἰκήματα, δοὺς αὐτὸς τὸ χρυσίον, κἂν εἰς πρόσωπον καὶ ὄνομα τοῦ ἀνδρὸς ἡ πρᾶσις ἐγένετο.

[ς'.] Ὅτι ὅτε γένηται διαζύγιον, καὶ κουρευθῇ ἡ γυνὴ, καὶ προσκυρωθῇ ἡ προῖξ, ἐστὶ δὲ ἔγκυος ἢ καὶ ὑπονοεῖται, εἰ μὲν προσκυρωθῇ παρὰ τοῦ ἄρχοντος τῷ κυοφορουμένῳ φαλκίδιος, τότε μόνη ἡ μήτηρ κληρονομεῖ τὸν παῖδα τελευτήσαντα· εἰ δὲ ἀπαιτηθῇ καὶ μείωσις τῆς προικὸς ἕνεκα τοῦ παιδὸς, τότε τοῦ ὀφφικίου ἐστὶ τοῦ δικαστοῦ, εἴτε τῷ πατρὶ καὶ τῇ μητρὶ ἀφορίσαι τὸν φαλκίδιον, εἴτε τῇ μητρὶ μόνῃ[1] καταλεῖψαι τὸν φαλκίδιον. ἐκ παντὸς δὲ ἀπαιτεῖ παρ' αὐτῆς, ἣν ἔλαβε παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τοῦ παιδὸς μείωσιν. τοῦτο οὖν ἐδίκασεν ὁ πατρίκιος· καὶ ζήτει περὶ τοῦ τόκου τῆς μειώσεως, εἰ ἀπαιτεῖται.

[ζ'.] Ὅτι[2] μετὰ τὸ συστῆναι μνηστείαν οὐ δύνανται οἱ τῆς κόρης γεννήτορες ἀναγκάζειν τὸν μνηστῆρα παρέχειν ἐγγυητὴν καὶ λαμβάνειν τὴν προῖκα, δαπανηρὸν πολλάκις ὄντα, ἢ μὴ διδόντος διαλύειν τὴν μνηστείαν· ἀλλ' ἐκ παντὸς τελεῖται μὲν ὁ γάμος, παρέχεται δὲ καὶ ἡ προῖξ, καὶ ἐν συνεστῶτι τῷ γάμῳ εἰ βλέπει ἡ γυνὴ δαπανωμένην τὴν προῖκα, τότε δύναται κινεῖν.

[η'.] Ὅτι δίκη ἐκινήθη παρὰ τῷ ἐξάκτορι τοιαύτη· καμπανάριος ἐναγόμενος ἐπίτροπος[3] τοῦ γαλατᾶ ποιῆσαι τὸ ἱκανὸν τῇ γυναικὶ τοῦ ἀνεψιοῦ τοῦ δρουγγαρίου, ὡς χρεωστουμένῃ προῖκα, πρῶτον μὲν ἔλεγε μὴ εἶναι εὐπορίαν, εἶτα καὶ δικαίοις ἐχρῆτο καὶ χρεωστεῖσθαι ἔλεγε, καὶ ἐπεδείκνυε τὸ γαμικὸν σύμφωνον τῆς τελευτησάσης ἀδελφῆς αὐτοῦ, προγενέστερον ὂν τοῖς συμφώνοις τῆς ἐναγούσης, ἐν ᾧ ἐγγέγραπτο[4], ὅτι εἰ συμβῇ τελευτῆσαι ἄτεκνον ταύτην, ἵνα διατίθεται εἰς τόσας λίτρας τῆς προικὸς αὐτῆς, αἱ δὲ τόσαι λίτραι περιέρχονται [εἰς] τὴν μητέρα καὶ τοὺς ἐξ ἀδιαθέτου κληρονόμους αὐτοῦ· καὶ τούτων ἀντιπεριείχετο ὁ καμπανάριος. ὁ οὖν ἐξάκτωρ ἔλεγε, δεῖν προτιμηθῆναι τὸ μεταγενέστερον ὄν[5].

---

[1] Cod. *μὲν* habere videbatur. [2] Extat hic locus apud Harm. IV, 1, 23 et in Cod. Vindob. jurid. gr. 6 fol. 224, ubi vocatur *βι. ῥωμαϊκὸν τί. κη' κεφ. ς'*. [3] Videtur legendum *ὁ ἐπίτρ.* [4] Malim *ἐνεγ.* [5] Quae sequuntur, corrupta sunt. Sed ita parum causam, de qua agitur, enucleare potui, ut emendationes proponere vix audeam. Fortasse hic exciderunt verba: *τὸ μὲν γὰρ προγενέστερον*.

Bayerische Staatsbibliothek München

ἀλλ' οὖν ὑπὸ αἵρεσιν ὂν τήν· ἐὰν συμβῇ προτελευτῆσαι ἄτεκνον καὶ τελευτῶσιν[1] ἵνα χωρῶσιν εἰς τοὺς ἐξ ἀδιαθέτου κληρονόμους, καὶ μήπω προχωρῆσαν, μὴ τοσοῦτον ἔχειν τὸ ἰσχυρόν· τὸ δὲ τελευταῖον σύμφωνον καὶ ζώσης ἔτι τῆς γυναικὸς καὶ μὴ κληρονόμων ἀγωνιζομένων ἀλλ' αὐτῆς ὑπεσχέθησαν[2] χρῆναι τὸ κῦρος ἔχειν μᾶλλον αὐτό.

[θ'.] Ὅτι[3] ἐὰν γυνὴ γένηται αὐτεξουσία[4] παρὰ τοῦ νόμου ἔτι συνεστῶτος τοῦ γάμου εἰς ἀπορίαν ἐλάσαντος τοῦ ἀνδρὸς καὶ παραδοθῇ αὐτῇ ἡ προῖξ, δύναται ἐκποιεῖν τὰ ἀκίνητα τῆς προικὸς καὶ οὐ δύναται. καὶ πρὸς μὲν τὸν ἄνδρα οὐ δύναται ἐκποιεῖν, ἐπεὶ ὁ ἀνὴρ κινεῖ κατὰ τοῦ ἀγοραστοῦ ὡς ἐπισφαλῶς ὠνησαμένου, διότι ὀφείλει ὁ ἀνὴρ ἐκ τῆς προσόδου τῶν ἀκινήτων τρέφεσθαι· ἔχει[5] οὖν ἐξουσίαν κινεῖν ὁ ἀνὴρ κατὰ τοῦ ἀγοραστοῦ, μετὰ μέντοι τὴν ἀποβίωσιν αὐτοῦ οὐκ ἀνατρέπεται ἡ πρᾶσις παρὰ τῆς γυναικός. πρὸς δὲ αὑτὴν[6] καλῶς ἐκποιεῖται ἡ γυνὴ τὰ ἀκίνητα. οἷον γυνή τις παρέλαβε προῖκα ἐπὶ τῷ διατρέφειν αὑτὴν καὶ δύο παῖδας καὶ τὸν ἄνδρα. εἶχεν οὖν οἶκον πρόσοδον ἔχοντα νομίσματα μ̄, εἶτα ἐξεποιήσατο τὸν οἶκον, καὶ κινεῖ ὁ ἀνὴρ κατὰ τοῦ ἀγοραστοῦ. τὴν μὲν οὖν πρᾶσιν ἅπασαν οὐ δύναται ἀκυροῦν, ἀναγκάζεται δὲ ὁ ἀγοραστὴς τὸ τέταρτον τῆς προσόδου τοῦ οἴκου καταβάλλειν τῷ ἀνδρὶ μέχρις ἂν περιῇ, καὶ τότε ἕξει τὸν οἶκον ἀναφαίρετον.

[ι'.] Ὅτι[7] ἐὰν γυνὴ ἄπροικος ἅμα τῷ ἀνδρὶ αὐτῆς ὑπόσχηται προῖκα υἱῷ ἢ θυγατρὶ καὶ παράσχῃ, εἶτα τελευτῶντος τοῦ ἀνδρὸς ἐν ἀπορίᾳ μηδὲν κερδανεῖ ἡ γυνὴ ἐξ αὐτοῦ, δύναται κινεῖν κατὰ τοῦ υἱοῦ αὐτοῦ ἢ θυγατρὸς εἰς τὸ λαβεῖν καὶ αὐτὴ[8] μοῖραν παιδός: ἡ γὰρ γυνὴ ἄπροικος οὖσα, ἐὰν τελευτήσῃ ὁ ἀνὴρ ταύτης ἐν ἀπορίᾳ[9], καταλείψας παῖδας, τοσοῦτον λαμβάνει ἐκ τῆς ἀνδρῴας περιουσίας, ὅσον εἷς τῶν παίδων ἔλαβεν.

[ια'.] Ὅτι οὐκ ἀναγκάζεται ὁ ἀνὴρ τελευτώσης τῆς γυναικὸς ποιεῖν ἀπογραφήν. ἔχει γὰρ ἐκ τῶν συμφώνων ὡρισμένην τὴν ποσότητα τῆς προικὸς, καὶ ἐκ παντὸς ὑπόκειται εἰς ἀπόδοσιν ταύτης.

[ιβ'.] Ὅτι ἐὰν προικίσῃ μήτηρ παῖδα, δοῦσα αὐτῷ προῖκα ὑπὲρ πατρῴας καὶ μητρῴας κληρονομίας, ἐγχειρίσῃ δὲ τὴν προῖκα τῷ πενθερῷ, ὁ δὲ πενθερὸς κατασπασθήσῃ[10] ταύτην, οὐκ ἐνά-

---

[1] An λίτραι τόσαι? [2] An ὑπεσχέθη καί? [3] Cf. infra tit. XXXVIII c. 6. [4] I. e. οἱονεὶ ἀῤῥενοθεῖσα, ut est tit. XXIV c. 15. [5] Cf. Harm. IV, 8, 35. [6] Cod. videbatur habere αὐτόν. [7] Cf. Harm. IV, 9, 16. [8] An αὐτήν? [9] An εὐπορίᾳ? [10] Malim κατασπαταλήσῃ.

γεται παρὰ τοῦ υἱοῦ ἡ μήτηρ ὑπὲρ ὅλης τῆς προικὸς, ἀλλ' ὑπὲρ μόνων τῶν ἐκ τοῦ ὑποβόλου αὐτῆς ἁρμοζόντων τῷ υἱῷ. περὶ τοῦτο γὰρ τὸ μέρος χρὴ τὰς μητέρας πρόνοιαν ποιεῖσθαι· ἐπεὶ οὐκ ἀναγκάζονται οἱ ἤδη δεδωκότες γονεῖς προῖκα δὶς ταύτην καταβαλεῖν.

[ιγ'.] Ὅτι μετὰ τελευτὴν τῆς μητρὸς τὸ ἐκ τοῦ ὑποβόλου ἐπιλαγχάνον τοῖς παισὶ δίδοται· ἕως δὲ περιῇ ἡ μήτηρ, τὴν χρῆσιν τούτου ἔχει.

[ιδ'.] Ὅτι ἐὰν δύο παῖδες τυχὸν προικισθῶσι παρὰ γονέων, καὶ ὁ εἷς καταλειφθῇ ἄπροικος, οὐ πρὸς ὁλότητα, ὧν ἔλαβον οἱ λοιποὶ ἀδελφοὶ, λαμβάνει, ἀλλὰ μόνον τὸν φαλκίδιον ἐκ τοῦ ἐσχάτου συμφώνου ἀναπληροῦται.

[ιε'.] Ὅτι[1] ἡ γυνὴ οὐ μόνον ἃ εἶχεν ὁ ἀνὴρ πρὸ τοῦ γάμου ὑποκείμενα ἔχει, ἀλλὰ καὶ εἴ τι μετὰ σύστασιν τοῦ γάμου ἐκέρδανε, τυχὸν ἀπὸ κληρονομίας ἢ ἀπὸ λεγάτου· μὴ ἀναγκαζούσης αὐτῆς τὸν ἄνδρα μὴ βουλόμενον ὑπελθεῖν κληρονομίᾳ ἢ ἄλλῳ τινὶ κέρδει. οὐ γὰρ δίδωσιν αὐτῇ ὁ νόμος ἄδειαν, ἐφ' οἷς οὐ βούλεται ὁ ἀνὴρ κερδαίνειν, ἔνοχον τοῦτον ποιεῖν.

[ιϛ'.] Ὅτι τὴν ἐντὸς τοῦ πενθίμου χρόνου γαμηθεῖσαν ἔγκλημα ἁμαρτάνειν ἔλεγεν ὁ μάγιστρος, καὶ ἁρμόζειν τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτῆς τοῖς παισὶν ἢ τῷ δημοσίῳ, καὶ[2] δέκα χρόνους ἀρκεῖν πρὸς παραγραφὴν τοῦ δημοσίου καὶ τῶν παίδων εἰς τὸ κινῆσαι κατ' αὐτῆς περὶ τοῦ ἐγκλήματος. ἐντὸς γὰρ τοῦ ὡρισμένου χρόνου δύναται κινεῖν ὁ δημόσιος εἴτε καὶ οἱ παῖδες, καὶ ἀναλαμβάνειν τὸ ἥμισυ τῆς ὑποστάσεως. καὶ οὐκ ἔξεστιν αὐτῇ πλεῖον τοῦ τρίτου μέρους τῆς οὐσίας αὐτῆς τῷ δευτέρῳ ἀνδρὶ διδόναι.

[ιζ'.] Ὅτι[3] συγκλητικοῦ γυνὴ τουτέστι πρωτοσπαθαρίου καὶ ἐπάνω οὐ δύναται τοῖς σπουρίοις αὐτῆς παισὶν οὔτε ζῶσα οὔτε μετὰ τελευτὴν δωρεῖσθαι ἢ ἐν διαθήκῃ συνεισάγειν αὐτοὺς μετὰ τῶν γνησίων αὐτῆς παίδων κληρονόμους. ἡ μέντοι εὐγενὴς καὶ ἐλευθέρα, ἐὰν ἔχῃ σπούριον υἱὸν, δύναται αὐτὸν κληρονόμον καταλιμπάνειν· ἐπεὶ καὶ κληρονομεῖ τούτου ἡ μήτηρ· εἰ μὴ ἄρα ἐξ ἀθεμιτογαμίας ἦν, τουτέστιν ἐκ κεκωλυμένων γάμων.

[ιη'.] Ὅτι ὅτε ἐστὶν ἀόριστον ἐν τῇ προικὶ θεώρετρον, πρὸς τὴν ποσότητα τῆς προικὸς τοῦτο τυποῖ ὁ δικαστὴς, τουτέστιν

[1] Cf. Harm. IV, 8, 31. [2] Cod. εἰς. [3] Cf. Harm. V, 8, 68, et infra tit. LIV c. 7.

ἑκάστῃ λίτρᾳ νομίσματα ϛʹ, καὶ τὸ ὑπόβολον ὁμοίως πρὸς τὸ πᾶν τῆς προικὸς συμφωνεῖται, τουτέστιν ἐπὶ ταῖς δυσὶ λίτραις λίτρα μία. ὅτε οὖν ὑποσχεθῇ τινι προῖξ ἀπὸ πατρῴας καὶ μητρῴας κληρονομίας τυχὸν λίτραι δ̅, καὶ ἐν τῷ μεταξὺ περιστάσεις τινὲς συμβᾶσαι, τυχὸν ἄλογοι δαπάναι τοῦ ἀνδρὸς ἢ δημόσιον ὄφλημα, πᾶσαν τὴν περιουσίαν τοῦ ἀνδρὸς ἀφέλωνται, καταλειφθῇ δὲ μόνον ἡ προτέρα προῖξ τῆς μητρὸς τῆς ὑποσχομένης ὑπὲρ τῆς θυγατρὸς, οὐκ[1] ἀναγκάζεται ἡ μήτηρ διδόναι τὸ πᾶν ἤτοι τὰς δ̅ λίτρας, ἀλλὰ μόνον τὸ ἥμισυ διδόναι. τὸ αὐτὸ δὲ καὶ ἐπὶ ὑποβόλου γίνεται. εἰ γὰρ ὑπεδέξαντο προῖκα γονεῖς ὑπὲρ ἄῤῥενος παιδὸς καὶ ὑπέσχοντο ὑπόβολον, συνέβη δὲ τοῦ πατρὸς ἡ ἀπορία, οὐκ ἀναγκάζεται ἡ μήτηρ τὸ πᾶν τοῦ ὑποβόλου παρέχειν, ἀλλὰ τὸ ἥμισυ. ὁμοίως καὶ ἐπὶ θεωρέτρου γίνεται.

[ιθʹ.] Ὅτι τὸ ὑπόβολον ἐπέκεινα τοῦ ἡμίσεως τῆς προικὸς οὐ δίδοται οὔτε συμφωνεῖται οὔτε ἀπαιτεῖται.

[κʹ.] Ὅτι ἐὰν ὑπόσχωμαι ὑπὲρ θυγατρὸς προῖκα, καὶ οὐ παραδώσω αὐτὴν τῷ ἀνδρὶ, καὶ τελευτήσῃ ὁ ἀνὴρ, οὐ λαμβάνει ἡ γυνὴ τῆς προικὸς ὑπόβολον· οὐδὲ γὰρ δέδωκέ τι. εἰ δὲ μέρος δέδωκα, μέρος λαμβάνει. εἰ δὲ τυχὸν ἐπεφώνησεν ὁ πενθερὸς τῷ γαμβρῷ λαβεῖν τὴν προῖκα, ὁ δὲ οὐκ ἔλαβε, καὶ ἐνέμετο ταύτην ὁ πενθερὸς, δίδωσι μὲν τὸ ὑπόβολον ὁ ἀνὴρ ὡς ἐπιφωνήσῃ, ἀπαιτεῖται δὲ ὁ ὑποσχόμενος τὴν προῖκα παρὰ τοῦ ἀνδρὸς τοὺς καρποὺς τῆς προικὸς ὡς νεμόμενος αὐτὴν, διότι ὁ ἐπιγινώσκων τὰ βάρη τῆς προικὸς καὶ τὰ κέρδη αὐτῆς ὀφείλει ἔχειν. εἰ δὲ πολλάκις ἐπεφωνήσατο μὲν ὁ πενθερὸς, ὁ δὲ ἀνὴρ παρέλαβε, καὶ οὗτος σφραγίσῃ τὴν προῖκα, ἀπαιτεῖται καὶ οὕτως τὸ ὑπόβολον ὁ ἀνήρ· ἀπαιτεῖ δὲ καὶ ὁ πενθερὸς τοὺς καρποὺς τῶν ἐν μέσῳ χρόνων, τουτέστι τοὺς μέχρι τῆς προφωνήσεως.

[καʹ.] Ὅτι[2] μὴ ἀπογραφομένη γυνὴ ἐκπίπτει τῶν μὴ φαινομένων προικιμαίων εἰδῶν, ἤγουν ἀπαίτησιν τούτου οὐκ ἔχει, καὶ οὐκ ἐστὶ νόμος περὶ τούτου διαλαμβάνων, ἀλλ' οὕτως ἐκράτησεν ἡ συνήθεια. εἰ μέντοι γυνὴ καταλειφθεῖσα ἐπίτροπος τοῦ ἀνδρὸς ἢ καὶ χειρίσασα καὶ κατασχοῦσα τὰ πράγματα τούτου μὴ ἀπογράψεται, ἀλλὰ τὰ μὲν τοῦ ἀνδρὸς κατασπαταλήσει, τὰ δὲ οἰκεῖα ἤτοι τὰ τῆς προικὸς συντηρήσει, καὶ ἀπαιτουμένη παρὰ τοῦ παιδὸς τὰ πατρῷα μηδὲν ἔχειν λέγει μηδέ τι κεκτῆ-

---

[1] Cf. Harm. IV, 8, 45. [2] Cf. Harm. I, 13, 33.

σθαι τῶν ἀνδρῴων ἐνίσταται, ἆρα κινδυνεύσει ὁ παῖς καὶ ἀπολέσαι τὰ πατρῷα, καὶ μόνον ἐπιτίμιον σχοίη ἡ γυνὴ τὴν ἔκπτωσιν τῶν μὴ φαινομένων αὐτῆς πραγμάτων, ὀλίγης ποσότητος τυχὸν ὄντων, τῶν ἀνδρῴων πολλοῦ τιμωμένων; ἢ ταύτην ἔλεγεν ὁ μάγιστρος μὴ μόνον μὴ ἔχειν ἀγωγὴν περὶ τῶν μὴ φαινομένων εἰδῶν τῶν προικιμαίων, ἀλλὰ καὶ τὸν ὅρκον τῷ υἱῷ προτιμᾶσθαι· τὸν γὰρ υἱὸν ἔφασκε χρῆναι ὀμνύειν, τί ἄρα ὁ πατὴρ ἐν τῇ τελευτῇ ἐκέκτητο, καὶ ταῦτα τὴν μητέρα ζημιοῦσθαι καὶ ἀπὸ τῆς ἰδίας προικός.

[κβ΄.] Ὅτι ἡ ἄπροικος γυνὴ μόνον τὸ τέταρτον λαμβάνει τῆς ἀνδρῴας περιουσίας. ἠρώτησα ἐγώ· ἐὰν δὲ δανεισταὶ ὦσιν ὑφ᾽ [ὧν] ἀνάγκη πᾶσαν τὴν τοῦ ἀνδρὸς ἐξαντληθῆναι ὕπαρξιν, κινήσει ἡ γυνὴ καὶ λήψεται τὸ ἀπὸ νόμου δεδομένον αὐτῇ τέταρτον ἢ οὐχί; καὶ προσέθετο ὁ βέστης, ὅτι νικηθήσεται ἀπὸ τῶν δανειστῶν, καὶ οὐδὲν λάβῃ. τοῦ γὰρ ἀνδρὸς λαμβάνει τῆς ὑπάρξεως τὸ τέταρτον, οὐ μέντοι τὰ τῶν ξένων αὐτῇ κερδαίνει. ἐπεὶ καὶ παῖδες οὐδὲν λήψονται ἐκ τοῦ πατρὸς, εἰ κατάχρεος εὑρεθῇ. ἡ δὲ γυνὴ ὡς φαλκίδιον λαμβάνει τὸ τέτρατον, καὶ οὐδὲν λήψεται μὴ οὔσης ὑποστάσεως.

[κγ΄.] Ὅτι[1] ὁ μάγιστρος ἔλεγε τῆς ἐλεγχθείσης γυναικὸς μοιχαλίδος μὴ κερδαίνειν τὸν ἄνδρα τὴν προῖκα, ἀλλ᾽ εἰ μὲν παῖδας αὕτη ἔχει, τὸ δίμοιρον λαμβάνειν τούτους τῆς προικὸς, τὸ δὲ τρίτον τὸ μοναστήριον ἐν ᾧ ἐμβάλλεται· εἰ δὲ μὴ ἔχει παῖδας, τὸ μὲν δίμοιρον λαμβάνειν τὸ μοναστήριον, τὸ δὲ τρίτον τοὺς ἀνιόντας, εἴγε μὴ συνέπραξαν τῷ ἀτοπήματι. ταῦτα δὲ πάντα γίνεται μετὰ τὸ ἐμβληθῆναι τὴν γυναῖκα εἰς μοναστήριον, καὶ παρελθεῖν διετίαν, καὶ μὴ βουληθῆναι ἀναλαβεῖν αὐτὴν τὸν ἄνδρα, κατὰ τὸ κείμενον κεφ. εἰς τὸν περὶ λύσεως γάμου τίτλον[2]. φαίνεται γὰρ παράδοξός πως[3] ὁ τίτλος κατὰ τὸ εἰρημένον κεφ. καὶ γὰρ ἐν προοιμίοις τοῦτο λέγει, ὅτι βούλομαι εἰπεῖν τὰ κεφάλαια ἀφ᾽ ὧν γίνεται διαζύγιον καὶ κερδαίνει ὁ ἀνὴρ τὴν προῖκα· καὶ δεύτερον περὶ μοιχείας ὡς εἴρηται· καὶ τρίτον ἐὰν συλλούηται καὶ συμποσιάζῃ ξένοις ἀνδράσι, γίνεται διαζύγιον· καὶ ἐὰν ἡ γυνὴ ἐν ἱππικοῖς ἀπέρχεται, ὁμοίως γίνεται. καὶ δοκεῖ θαυμάσιόν τι εἶναι. εἰ μὲν γὰρ ἐλεγχθῇ μοιχαλὶς ἡ γυνὴ, οὐ κερδαίνει ὁ ἀνὴρ τὴν προῖκα· ἐὰν δὲ ἀπέλθῃ εἰς τὸ ἱππικὸν ἢ συλλούσηται καὶ συμποσιάζῃ ξένοις ἀν-

---

[1] Cf. Harm. VI, 2, 15. [2] Basil. XXVII, 7, 1. [3] Cod. παράδοξον καὶ πῶς.

δράσιν ἡ γυνή, τότε κερδαίνει ὁ ἀνὴρ τὴν προῖκα ταύτης. καὶ μεγάλου μὲν φανέντος ἐγκλήματος τοῦ τῆς μοιχείας ὁ ἀνὴρ οὐδὲν κερδαίνει, ἐπὶ μικροῖς δὲ καὶ οὐδαμινοῖς πράγμασιν ἡ μὲν γυνὴ τοσαύτην ὑφίσταται ζημίαν, τῷ δὲ ἀνδρὶ τοσοῦτον προσγίνεται κέρδος. τοῦτο δὲ τὸ ξενοπρεπὲς καὶ ἄπορον οὕτως ἐπιλύεται ὁ βέστης. ἔλεγε γάρ, ὅτι οἱ νομοθέται οὐδὲν κενὸν ἐξέθεντο οὐδὲ ἄνευ λόγου, ἀλλ᾽ εἰδότες, ὡς πολλοὶ τῶν ἀνδρῶν ἐλπίδι τοῦ κερδῆσαι τὴν προῖκα τῆς γυναικὸς εὐχερῶς συμβουλευσάμενοι ἑτέροις ὁμοίοις ἀνδράσι πείθουσι τούτων τινὰ παρὰ τῷ οἴκῳ κρυβῆναι καὶ μοιχὸν ὑποκρίνεσθαι, καὶ κατηγορῆσαι ἐκ τούτου μοιχείαν τῆς γυναικὸς ἐπ᾽ αὐτοφόρῳ ἁλόντος τοῦ ὑποκριτοῦ, καὶ τῆς γυναικὸς μηδὲ εἰδυίας μηδὲ ἐπισταμένης[1] δέ, κἀντεῦθεν κερδήσωσι μὲν οἱ ἄνδρες, αἱ δὲ γυναῖκες ζημιωθήσονται. διὰ ταύτην τὴν ἔννοιαν ἐθέσπισαν μὴ κερδαίνειν τὶ τὸν ἄνδρα ἐκ τοῦ τῆς μοιχείας ἐγκλήματος, ἀλλὰ τὴν γυναῖκα μὲν τιμωρεῖσθαι, καθ᾽ ὃν εἴρηται τρόπον, τὸν δὲ ἄνδρα μόνῃ τῇ τιμωρίᾳ καὶ τῷ διαζυγίῳ τῆς γυναικὸς ἀρκεῖσθαι, καὶ εἰ πολλάκις τινὰ ἐν τοῖς συμφώνοις περὶ προικὸς ἢ ἄλλης τινὸς αἰτίας συνεφωνήθη, καὶ ταῦτα αὐτὸν λαμβάνειν. τὸ συλλούεσθαι καὶ συμποσιάζειν τὴν γυναῖκα ξένοις ἀνδράσι καὶ τὸ ἄκοντος τοῦ ἀνδρὸς ἐν θεάτροις [ἢ] ἱππικοῖς αὐτὴν ἀπέρχεσθαι διὰ τοῦτο οὕτω σφοδρῶς αὐτὴν ἐκόλασε, διότι ἐνταῦθα τὸ πᾶν ἁμάρτημα τῆς γυναικός ἐστι, καὶ οὐκ ἔστιν ὑπόνοια, ὅτι ὁ ἀνὴρ αὐτὴν ἄκουσαν εἰς θέατρον ἀνήγαγεν ἢ εἰς λουτρὸν μετὰ ξένων ἀνδρῶν ἢ εἰς συμπόσιον παρεσκεύασε μεθύσκεσθαι ταύτην καὶ συλλούεσθαι· τοῦτο γὰρ ἄτοπον. ἅμα δὲ οὐδὲ τὸ ἅπαξ συνεστιαθῆναι ξένοις ἀνδράσι τὴν γυναῖκα ἢ τὸ εἰς ἱππικὸν ἢ θέατρον εὑρεθῆναι εἶπεν ὁ νόμος κολάζεσθαι, ἀλλὰ τὸ πολλάκις· διὰ τοῦτο γὰρ ἐχρήσατο τῷ ἐνεστῶτι, εἰπών· ἐὰν συμποσιάζῃ καὶ συλλούηται. τῆς γὰρ γυναικὸς ἐν τοῖς τοιούτοις ἀτοπήμασιν εὑρισκομένης πολλάκις παρὰ τοῦ ἀνδρός, διαζύγιον παρακολουθήσει καὶ αὕτη τιμωρηθήσεται τῇ τῆς προικὸς ἐκπτώσει.

[κδ΄.] Ὅτι ἡ δευτερογαμοῦσα γυνὴ πάσης ἐκπίπτει φιλοτιμίας τοῦ πρώτου ἀνδρός.

[κε΄.] Ὅτι εὑρέθη γυνὴ μὴ δευτερογαμήσασα ἀλλὰ κατηγορουμένη παρὰ τῶν ἐπιτρόπων τοῦ ἀνδρὸς ἔχειν μοιχόν. τοιαύτην οὖν δίκην κινηθεῖσαν ἐδίκασε ὁ μάγιστρος καὶ ἐδικαίωσε τὴν γυναῖκα λογισμοῖς τούτοις· ὅτι ὁ νόμος[2] οὐ τὰς μοιχευ-

---

[1] Cod. μὴ πιστευμένης. [2] Harm. IV, 7, 29.

οὔσας ἐκώλυσεν ἀπολαύειν τῆς φιλοτιμίας τοῦ ἀνδρὸς, ἀλλὰ τὰς δευτερογαμούσας· διατί; ὅτι ἡ μὲν δευτερογαμοῦσα προφανῶς ἀποβάλλεται τὴν μνήμην τοῦ ἀνδρὸς, καὶ τοὺς προτέρους ἀτιμάζει παῖδας ἐπεισάγουσα πρῶτον καὶ δεύτερον ἀδελφὸν, ἡ δὲ πορνεύουσα κρυπτῶς ἁμαρτάνει· καὶ ὅτι ἡ μὲν δευτερογαμοῦσα ἐλαττοῖ τοῖς παισὶ τὴν ἐκείνοις ὕπαρξιν τῇ ἐπιγεννήσει τῶν ὕστερον παίδων, ἡ δὲ πορνεύουσα αὔξει μᾶλλον τὴν οὐσίαν τούτοις. καὶ τέθεικεν τὸν τοῦ ὁμήρου στίχον τὸν ἐν ὁδῷ[1]. τοῖος γὰρ νόος γυναικὸς

„κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι[2],
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνεται [τεθνηότος] οὐδὲ μεταλλᾷ."

διὰ ταύτας οὖν τὰς ἐννοίας, καὶ τὸ μὴ φανερῶς κολάσαι τὸν νόμον τὴν πορνεύουσαν, ἐδικαίωσε τὴν γυναῖκα, καὶ ταύτην[3] οὐκ ἀβασανίστως. ἐξετάσας γὰρ τὰ περὶ τοῦ μοιχοῦ, εὗρε τοῦτον ἱερέα προσμένοντα τῇ οἰκίᾳ τῆς γυναικὸς προφάσει δούλου, καὶ κινηθῆναι μὲν τὸ τοιοῦτον καὶ παρὰ τῇ μεγάλῃ ἐκκλησίᾳ, μὴ ἐλεγχθῆναι δὲ τὸν ἱερέα, ἀλλὰ συγχωρηθῆναι ἱερουργεῖν· ἐποίησεν οὖν ὁ μάγιστρος ἐπὶ ταύτῃ τῇ δίκῃ ὑπόμνημα πάγκαλόν τι καὶ σοφόν. ἔφησε γὰρ ἐν τῷ προοιμίῳ· πάντα ὅσα καταλαμβάνομεν[4], εἰς αὐτὰ σφάλλομεν. αὐτίκα γὰρ ἐν ὕψει θεωρῶν τις περιστερὰν πετομένην φάττην εἶναι λέγει, καὶ τὸν ἥλιον ποδιαῖον ὄντα μέγαν γίγαντα.

[κϛʹ.] Ὅτι ὁ ἀνὴρ παραλαβὼν τὴν προῖκα ἐγγύας οὐκ ἀπαιτεῖται, τὸν νόμον ἔχων βοηθόν. ἔλεγε τοίνυν ὁ βέστης· ὅτι ἐν τῷ καιρῷ τοῦ ἀῤῥαβῶνος εἰ μὲν μὴ συμφωνηθῇ ῥητῶς δοῦναι τὸν ἄνδρα ἐγγυητὴν, ἐν τῇ δόσει τῆς προικὸς[5] οὐκ ἐπιζητεῖται ὁ τοιοῦτος ἐγγύας· εἰ δὲ συμφωνηθῇ ἐν τῷ ἀῤῥαβῶνι δοῦναι ἐγγυητὴν, ἐκ παντὸς δίδοται ὁ τοιοῦτος. καὶ εὑρὼν τὸ τοιοῦτον συμπεφωνημένον ἐδικαίωσε τὸν συμφωνήσαντα. εἶπε γὰρ εἰς τὸ μὴ συμπεφωνημένον ὅτι δύναται λέγειν ὁ ἀνὴρ, ὅτι εἰ ἐγὼ ἤκουσα, ὅτι ἐγγυητὴν ζητεῖς, οὐκ ἂν ἠθέλησα γενέσθαι σου γαμβρὸς, καὶ ὅπερ τότε οὐ συνεφώνησας, νῦν ἐν τῷ γάμῳ οὐ μὴ ἀπαιτήσεις. πᾶν δὲ τὸ συμπεφωνημένον ἐκ παντὸς ἀπαιτεῖται.

[κζʹ.] Ὅτι[6] τὶς τῶν δικαστῶν τῶν μεγάλων ἀγορά-

---

[1] An ὀδυσσείᾳ? Cf. Odyss. XV, 20—23. [2] Cod. ὠφέλειν ὃς σκοπήει. [3] Malim ταῦτα. [4] Cod. videbatur habere: καταλιμπ [5] Cod. γυναικὸς habere videtur. [6] Cf. tit. XXXVIII c. 7.

σαντός τινος ἀκίνητα γυναικὸς, ᾠκονόμησε τὸν ἄνδρα λαβεῖν τὸ χρυσίον χωρὶς ἐγγυητοῦ. ταῦτα δὲ τὰ ἀκίνητα ἔλαβε μὲν εἰς προῖκα ὁ ἀνὴρ, ἐξενικήθησαν δὲ παρά τινος ὡς μὴ διαφέροντα[1] τῇ γυναικὶ, τῆς τιμῆς τούτων ἁρμοζούσης αὐτῇ· ὁ δὲ ἐκνικήσας τὰ ἀκίνητα ἐπώλησε ταῦτα πρὸς ἕτερον, καὶ δέδωκε τὸ χρυσίον πρὸς τὸν ἄνδρα τῆς γυναικὸς, ὡς ἁρμόζον τῇ γυναικὶ, ὡς εἴρηται. ὁ οὖν δικαστὴς ἔκρινε μὴ εὐθύνεσθαι τὸν ἀγοραστὴν ἐξ ἀπορίας τοῦ ἀνδρὸς ὕστερον[2] παρὰ τῆς γυναικὸς, γράψας λογισμὸν, ὅτι ἐγγυητὴς οὐ δίδοται ἐπὶ τῇ προικὶ, καὶ τὸ χρυσίον νῦν προῖξ ἐστὶ, καὶ καλῶς ὁ ἀνὴρ παραλαμβάνει τοῦτο χωρὶς ἐγγυητοῦ. ἀλλ' ἀντεῖπεν ὁ βέστης λέγων, μὴ ἁρμόζειν τὸ τοιοῦτον νόμιμον ἐνταῦθα. εἰ μὲν γὰρ ἐξ ἀρχῆς τοῦ γάμου τὸ χρυσίον ἐδίδοτο εἰς προῖκα, χωρὶς συμφώνου ἐγγυητὴς οὐκ ἀπητεῖτο· ἐπεὶ δ' ἀρχῆθεν ἀκίνητον κατεβλήθη, νυνὶ δὲ ἐναλλάσσεται καὶ ἔρχεται εἰς κινητὸν εὐκόλως δαπανᾶσθαι δυνάμενον, ἐπισφαλῶς δίδοται παρὰ τοῦ ἀγοραστοῦ ἄνευ ἐγγυητοῦ. δαπανωμένου γὰρ τοῦ χρυσίου ἡ γυνὴ κατὰ τοῦ ἀγοραστοῦ κινήσει, καὶ ἐκνικήσει τὰ ἀκίνητα ἢ τὴν τούτων τιμὴν, λέγουσα, ὅτι ἐγὼ ἀκίνητον ἔχουσα ἐν προικὶ καὶ θαῤῥοῦσα τούτῳ οὐκ ἔλαβον παρὰ τοῦ ἀνδρὸς ἐγγυητὴν, σὺ δὲ τὸ ἐμὸν λαμβάνων καὶ ἀμείβων τὴν προῖκα ὑπόκεισαί μοι ποιεῖν τὸ ἱκανὸν, θαῤῥήσας τῷ ἐμῷ ἀνδρὶ καὶ παρασχὼν τούτῳ τὸ χρυσίον· εἰ γὰρ ἐγὼ εἶχον τοῦτο, οὐκ ἂν χωρὶς ἐγγυητοῦ παρέσχον τοῦτο αὐτῷ.

[κη'.] Ὅτι ἐὰν προικίσῃ ἐξωτικὸς καὶ γράψῃ αὐτῷ τὴν ἀνάδοσιν τῶν προικιζομένων, πᾶσα ἡ προῖξ μετὰ τὸν θάνατον τῆς γυναικὸς πρὸς τὸν προικίσαντα ἐπανατρέχει. καὶ τοῦτο ἔκρινεν ὁ βέστης ἐπὶ τοῦ κακατηροῦ τοῦ μαγκλαβίτου, τῆς συμβίου αὐτοῦ προικισθείσης παρὰ τῆς κυρᾶς Θεοφάνους τῆς δεσποίνης. καὶ τελευτησάσης ἐν διαθήκῃ καὶ κινηθείσης τῆς περὶ προικὸς δίκης ἔκρινεν ὁ μάγιστρος[3] σκοπηθῆναι τὸ σύμφωνον, καὶ εἴπερ ἀνάδοσιν ἔχει προικὸς, ἀφαιρεθῆναι πᾶσαν παρὰ τοῦ δημοσίου· εἰ δὲ μὴ, ἰσχύειν τὴν διαθήκην.

[κθ'.] Ὅτι ἐὰν πενθερὸς εἴπῃ, ἵνα δώσω προῖκα ὅσην δοκιμάσω, περιαιρεῖται ἡ δοκιμὴ, καὶ ἀπαιτεῖται ἡ προῖξ πρὸς τὴν εὐπορίαν τοῦ πενθεροῦ καὶ τὴν ἀξίαν τοῦ γάμου. τοῦτο δὲ ἤγουν ἡ ἅπασα[4] προῖξ καὶ ἐπὶ ἐξωτικῶν οὐ κρατεῖ ἢ ἐπὶ

[1] Cod. addit *μέν*. [2] Cod. *καὶ ὕστ.* [3] An *ὁ βέστης*? an forte *ὁ βέστης* et *ὁ μάγιστρος* unam eandemque personam indicant? Cf. tit. XLVI c. 4.
[4] Forte *ἄποσος*.

ἄλλων προσώπων, ὥσπερ οὐδὲ τὸ ἄποσον λεγάτον ἢ ἡ δωρεά· οἷον ἀφίημι τῷ δεῖνι ἢ δωροῦμαι, ὅπερ βουληθῶ.

[λ'.] Ὅτι ἡ γυνὴ ἐποιήσατο διάλυσιν μετὰ τοῦ ἀνδρὸς, ὅτι ἐμοιχεύθη, καὶ διεζεύχθη αὐτοῦ. εἶτα ἔθανεν ὁ ἀνὴρ, ἔθανε καὶ ὁ παῖς, καὶ ἐκωλύετο ἡ μήτηρ κληρονομῆσαι τὸν υἱόν· καὶ ὁ δικαστὴς ἐδικαίωσεν αὐτὴν ἐκ δύο αἰτιῶν, ὅτι τε οὐκ ἰσχυρόν ἐστι τὸ πρὸς τὸν ἄνδρα σύμφωνον γεγονὸς τῆς διαλύσεως, καὶ ὅτι ὁ νόμος καὶ τὴν ἀληθῶς μοιχευθεῖσαν οὐ κωλύει κληρονομῆσαι τὸν παῖδα. cf. VII, 8!

[λα'.] Ὅτι ἡ γυνὴ μοιχείαν πλημμελήσασα κληρονομεῖ τῶν ἐξ ἀδιαθέτου.

[λβ'.] Ὅτι τῆς μοιχαλίδος τὴν περιουσίαν λαμβάνει τὸ μοναστήριον, οὐ μὴν δὲ τοὺς κλήρους τῶν ἀδιαθέτων τελευτησάντων παίδων αὐτῆς.

[λγ'.] Ὅτι ὁ δευτερογαμῶν γονεὺς τῶν ἐκ τοῦ πατρὸς ἢ τῆς μητρὸς περιελθόντων τῷ παιδὶ τῆς δεσποτείας ἐκπίπτει, μόνην χρῆσιν λαμβάνων, οὐδὲ ἐκποιούμενος ἣν κατὰ χρῆσιν εἶχε μερίδα· ἀνατρέπεται γὰρ ἡ πρᾶσις παρὰ τῶν παίδων. πρὸς δὲ τὰ ἐπελθόντα ἔξωθεν τῷ παιδὶ τυχὸν ἀπὸ λεγάτου ἢ δωρεῶν ἢ κληρονομιῶν συγγενῶν, πρὸς ἐκεῖνα ὁ δευτερογαμῶν τὴν ἀπὸ τοῦ νόμου ἔχει βοήθειαν καὶ κατὰ δεσποτείαν μέρος λαμβάνει.

[λδ'.] Ὅτι ἐπὶ ὑποσχέσει προικὸς καὶ ἀπὸ ψιλῆς συμφωνίας ἐνέχεταί τις.

[λε'.] Ὅτι ὅτε προσαύξησις προικὸς γίνεται καὶ τὸ ὑπόβολον χρὴ προσαυξάνειν· ἴσοις γὰρ βήμασι βαίνειν τὰς προσαυξήσεις ὁ νόμος διακελεύεται, καὶ μὴ τὸν μὲν τῶν ζυγῶν αὐξάνειν τυχὸν τὴν προῖκα ἢ τὸ ὑπόβολον, τὸν δὲ μένειν ἐπὶ τῆς προτέρας ποσότητος. ἐκώλυσε δὲ τοῦτο δι' οὐδὲν ἕτερον, ἢ διὰ τὰς πρὸς τοὺς δανειστὰς περιγραφὰς καὶ τὰς ἐπὶ μέσων αὐτῶν νοουμένας καινοτομίας.

[λϛ'.] Ὅτι τινὸς συνισταμένου τοῦ γάμου ἐκποιησαμένου ἀκίνητα τῆς προικὸς, καὶ τελευτήσαντος καὶ καταλιπόντος αὐτάρκη οὐσίαν, καὶ τῶν τούτου παίδων ἐπιχειρούντων ἀνατρέψαι τὴν πρᾶσιν, ὡς μητρικῶν ὄντων τῶν ἐκποιηθέντων, καὶ νόμον[1] προβαλλομένων λέγοντα· „οὐ δύναται ὁ ἀνὴρ ὑποτίθεσθαι τὴν προγάμου δωρεὰν ἢ τὴν προῖκα· ὡσαύτως οὐδὲ ἐκποιεῖν,“ ὁ πρωτοσπαθάριος σέργιος καὶ κριτὴς οὕτως ἡρμήνευσε

[1] In Basil. hunc textum (τὸ ῥητὸν) non invenio. Cf. Basil. XXIX, 7.

τὸ ῥητὸν, ὅτε δηλονότι ἀπορία πρόσεστι, καὶ μὴ ἐξαρκοῦντος τοῦ ἀνδρὸς τὸ ἱκανὸν ποιῆσαι τῇ γυναικί. καὶ ἔκρινεν ὁ μάγιστρος, μὴ τὸ τῆς πράσεως ἔγγραφον καταλυθῆναι, ἀλλ' εἴγε βούλοιντο οἱ παῖδες τῶν μητρικῶν δικαίων ἀντέχεσθαι, ἐκπεσεῖν τούτους τῶν κατὰ φιλοτιμίαν ἐαθέντων αὐτοῖς πατρικῶν πραγμάτων, καὶ ἐκεῖθεν τὸ ἱκανὸν σχεῖν τὸν ἀγοραστήν.

[λζ'.] Ὅτι ὁ ἀνὴρ καὶ ἡ γυνὴ ἐκ συναινέσεως λύσαντες τὸν γάμον, καὶ τῆς γυναικὸς τὸν μονήρη ἀσπασαμένης βίον, ὁ ἀνὴρ ὕστερον ἐκίνει κατ' αὐτῆς, καὶ περὶ ἀφαιρέσεως πραγμάτων κινῶν καὶ περὶ λύσεως τοῦ γάμου. καὶ ἔκρινεν ὁ δικαστὴς, μηκέτι ἐνάγεσθαι τὴν γυναῖκα, ἀλλὰ μᾶλλον τὸν ἄνδρα ἔκπτωσιν ὑποστῆναι τῆς ἰδίας περιουσίας καὶ εἰς μοναστήριον ἐμβληθῆναι, ὅτι καὶ ὁ νόμος τιμωρούμενος τὸν ἀπὸ συναινέσεως γάμον λύοντα ταύτην τὴν ἐπιτίμησιν ἐπαγάγει, ἧς ἀνεύθυνος ἡ γυνὴ πρὸ κατηγορίας τὸν μονήρη βίον ὑπελθοῦσα· εἰ γὰρ ἐπὶ τοῦ ἀθεμίτου καὶ τῶν ἄλλων εἰς δικαστήριον οὐχ ἕλκεται, πολλῷ μᾶλλον ἐπὶ τῆς εἰρημένης αἰτίας.

[λη'.] Ὅτι[1] ἐλεγχθέντος ἀνδρὸς, ὡς ἀπεκάρη, καὶ τὸ ἱερὸν ἀποθέμενος σχῆμα εἰς γάμον ἦλθε, διελύθη ὁ γάμος καὶ οἱ τοῦτο συνειδότες ἐν τῷ γάμῳ συναινέσαντες ἐτιμωρήθησαν.

[λθ'.] Ὅτι χρόνων κ̄ τὶς ὢν εἰσῆλθεν ἐσώγαμβρος[2], καὶ συνεφώνησαν οἱ ὑπὲρ αὐτοῦ δόντες τὴν προῖκα, ἵνα ἐνήλιξ γενόμενος παραλάβῃ τὴν προῖκα αὐτοῦ, καὶ ὑποχωρήσῃ ἐκ τοῦ πενθεροῦ, καὶ ὑπόκειται εἰς ὑπόβολον καὶ θεώρετρον. ὁ οὖν γαμβρὸς πληρώσας τὸν κε̄ ἐνιαυτὸν οὐκ ἠθέλησε διαζευχθῆναι τοῦ πενθεροῦ, ἀλλὰ χρόνον συχνὸν μετ' αὐτοῦ διατρίψας, εἶτα ὕστερον πρὸς ἐκστρατείαν μέλλων ἀποδημεῖν, ἔφησε· θέλω εἶναι τὴν γυναῖκά μου παρὰ σοὶ καὶ τοὺς ἐμοὺς, καὶ διοικεῖσθαι καὶ τρέφεσθαι τούτους παρά σου, καθὰ καὶ τὸ πρότερον, καὶ ἐὰν συμβῇ τελευτῆσαί με ἐν τῷ πολέμῳ, ἵνα λαμβάνῃ ἡ θυγάτηρ σου τὰς δύο λίτρας καὶ τὸ ὑπόβολον αὐτῆς καὶ θεώρετρον. ἔπεσεν οὖν ἐν τῷ πολέμῳ ὁ ἀνὴρ, καὶ οἱ τὰ ἐκείνου ἐκδικοῦντες ἐκίνησαν τὴν δίκην, μὴ δεῖν τὴν γυναῖκα λαβεῖν ὁλόκληρον τὸ ὑπόβολον λέγοντες, ἀλλὰ καθόσον δέδωκεν. ὁ δὲ δικάζων ἔκρινεν, ὁλόκληρον λαβεῖν τὸ ὑπόβολον, εἰπὼν, διὰ τοῦ δευτέρου συμφώνου βεβαιῶσαι τὸν ἄνδρα, ὡς οὐκ ἤθελεν αὐτὸς ἀποστῆναι τοῦ πενθεροῦ καὶ οὐδὲ ἐπεζήτει τὴν προῖκα· ἦ γὰρ ἂν ἔγραψεν, ὡς ἐπεζήτησα καὶ οὐκ ἐδόθη μοι· καὶ μὴ ἀποστὰς

---

[1] Harm. IV, 12, 8. [2] Cf. infra h. t. c. 66.

τοῦ πενθεροῦ μηδὲ ζητῶν τὴν προῖκα δοκεῖ εἶναι ἐν νομῇ τῆς προικὸς, καὶ ὁ ἐν νομῇ ὢν ἐπέχει[1] τὰ βάρη. εἰ γὰρ ἑτέρας ἐννοίας ἦν, πάντως ἐν τῇ ἀσφαλείᾳ ἢ ἀπεσίγησε τὸ περὶ τοῦ ὑποβόλου ἢ ῥητῶς ἔγραψε κατὰ τὸ ἀνάλογον ἧς εἴληφε προικός.

[μ΄.] Ὅτι[2] διὰ πέντε μόνας αἰτίας δημεύεται ἡ προῖξ τῆς γυναικός.

[μα΄.] Ὅτι λαβοῦσά τις ἄνδρα, εἶτα τούτου ἑταίρας ἔρωτι ληφθέντος, ἐκείνη προστρέχουσα δικαστηρίῳ ἕτερον[3], συναινέσαντος καὶ τοῦ πρώτου ἀνδρὸς τῷ συμφώνῳ καὶ ἀσφαλισαμένου. εἶτα ἔθανεν ἡ γυνὴ, καὶ ἐπίτροπον ἐνεστήσατο τὸν δεύτερον ἄνδρα. ἡ δὲ ταύτης ἀδελφὴ ἐπιχείρει ῥηγνύειν τὴν διαθήκην καὶ κληρονομεῖν τὴν ἀδελφὴν, μοιχείαν ταύτην πλημμελῆσαι λέγουσα, καὶ μὴ ἔχειν ἐξουσίαν διατίθεσθαι. ἀλλ᾽ ὁ δικαστὴς οὐκ ἐδέξατο τὴν ἀδελφὴν κινοῦσαν ἔγκλημα κατὰ τῆς ἀδελφῆς. φησὶ γὰρ ὁ νόμος[4]· „οὐκ ἐφεῖται ἀδελφῷ κατὰ ἀδελφοῦ δημόσιον ἔγκλημα κινεῖν, ἐπεὶ ἐξ ἀπορίας[5] ποινῇ ὑποπίπτει.“ ἀλλ᾽ οὐδὲ τῆς περιουσίας αὐτῇ μετέδωκε. φησὶ γὰρ ὁ νόμος[6]· „ἡ μοιχευθεῖσα κουρεύεται καὶ εἰς μοναστήριον ἐμβάλλεται, καὶ εἰ μὲν ἔχει κατιόντας“ καὶ τὰ ἑξῆς. εἰ οὖν ἐκ τῆς ἐλεγχομένης μοιχείαν πλημμελῆσαι οὐδὲν λαμβάνει ὁ ἀδελφὸς, πολλῷ μᾶλλον ἐκ τῆς μὴ ἐλεγχθείσης. καὶ οὐδὲ μοιχαλὶς ἐκείνη ἐκρίθη, καὶ τότε μετὰ τελευτὴν[7], καθ᾽ ἣν μηδὲ δόλος ἐπράχθη μήτε κατήγορος προηγήσατο, ἀλλὰ σύμφωνα γαμικὰ προέβησαν. φησὶ γὰρ ὁ νόμος[8]· „ἐὰν παρὰ τὸν νόμον πεμφθῇ διαζύγιον, διαλύεται[9] μὲν ὁ γάμος, ὁ δὲ ταύτην λαμβάνων γαμετὴν οὐ μοιχεύει· δόλου γὰρ ἐκτὸς οὐ γίνεται μοιχεία.“

[μβ΄.] Ὅτι ὁμολογήσας ἀνὴρ ἑτέραις γυναιξὶ συμφθείρεσθαι, καὶ μετὰ πενταετίαν τῆς προτέρας αὐτοῦ γυναικὸς εἰς ἕτερον ἐρχομένης γάμον καὶ συμφώνων γενομένων, καὶ τοῦ προτέρου ἀνδρὸς ὡς αἰτίαν παρασχομένου μὴ ἀντιλέγοντος ἀλλὰ κατατιθεμένου, οὐ δύναται οὗτος ἐκ μεταμέλου καταμέμφεσθαι παραγραφῆς ἀντιτιθεμένης αὐτῷ. φησὶ γὰρ ὁ νόμος[10]· „ἡ διάταξις κελεύει πάσας τὰς ἄλλας παραγραφὰς ἀργεῖν ἐπὶ τοῦ μοιχοῦ, ὑπεξῃρημένης τῆς λεγούσης, ὅτι πενταετία παρῆλθε μετὰ τὴν μοιχείαν, καὶ τῆς παραγραφῆς τῆς πορνοβοσκείας, ἥτις τῷ ἀνδρὶ ἀντιτίθεται, καὶ τῆς διαλυσάσης τὸν πρότερον

---

[1] Malim ὑπέχει. [2] Harm. IV, 9, 11. [3] Desunt nonnulla, puta ἄνδρα ἔλαβε. [4] Basil. LX, 34, 35. [5] Lege ἐξορίας. [6] Basil. XXVIII, 7, 1. [7] An τελετήν? [8] Basil. LX, 37, 44. [9] Basil. οὐ διαλ. [10] Basil. LX, 37, 66.

γάμον καὶ [πρὸ] παραγγελίας συναφθείσης ἑτέρῳ ἀνδρί. τούτων οὖν ὑπεξῃρημένων οὐδεμίαν ἑτέραν παραγραφὴν συγχωροῦμεν ἀντιτιθέναι τοῦ ἐγκλήματος κινουμένου.“

[μγ΄.] Ὅτι ὁ τὴν παρ᾽ αὐτοῦ μοιχευομένην λαμβάνων γυναῖκα ὕστερον καὶ κληρονόμος παρ᾽ αὐτῆς γραφόμενος, ἀφαιρεῖται τὴν προῖκα παρὰ τοῦ δημοσίου, καὶ οὐκ ἀδελφὸς καὶ ἀδελφὴ ταύτην λαμβάνουσι. φησὶ γὰρ ὁ νόμος[1]· „ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτὴν, εἰ καὶ μὴ αὐτὴ κατεδικάσθη, οὐδὲ ὁ γάμος ἔῤῥωται, ἀλλ᾽ εἰ καὶ κληρονόμον αὐτὴν γράψω ἢ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία.“

[μδ΄.] Ὅτι ἐπὶ τοῦ συναινέσαντος ἀνδρὸς τῷ δευτέρῳ γάμῳ τῆς γυναικὸς οὐ δύναταί τις προσαγγέλλειν τῷ δημοσίῳ περὶ προικὸς ὡς κατὰ συναίνεσιν ἐλύθη, καὶ ὅτι δύο παραδραμόντων ἐνιαυτῶν μετὰ τελευτὴν τῆς γυναικὸς ἐσβέσθη ἡ κίνησις.

[με΄.] Ὅτι[2] ἀπὸ ψιλῆς ἐπαγγελίας χρεωστεῖ ὁ πατὴρ προῖκα.

[μς΄.] Ὅτι ὁ νόμος[3] φησίν· „ἐὰν ἁπλουστέρως εἶπεν ὁ πατήρ· δίδωμι προῖκα ἢ προγάμου δωρεὰν, πάντως οἴκοθεν δίδωσι.“ Παραγραφή· Οὐκ εἶπεν ὁ νόμος, εἰ τοῖς γάμοις ὁ πατὴρ συναινέσει, δίδωσιν, ἀλλ᾽ ἐὰν εἴπῃ· δίδωμι, καὶ τῶν ῥημάτων σωζομένων οὐ δεῖ ἔξωθεν στοχαστικὴν ἔννοιαν ἐπεισάγειν, οὐδὲ ἀντιδιαστολὴν παρεισάγειν, ἀλλὰ πρὸς τὴν ἀνεπίληπτον ἑρμηνείαν χωρεῖν καὶ πρὸς αὐτὸ τὸ καλοθελές.

[μζ΄.] Ὅτι τὴν πρὸ τοῦ πενθίμου χρόνου εἰς γάμον ἐρχομένην πολλοὶ τῶν δικαστῶν ἐσημειώσαντο μήτε θεώρετρον μήτε ὑπόβολον λαμβάνειν. ὁ δὲ δρουγγάριος ἔλεγε, μὴ ἀπολέσαι τὸ θεώρετρον τὴν γυναῖκα, καὶ διαφόρους σημειώσεις ποιήσας τούτου τὴν γυναῖκα οὐκ ἀπεστέρησεν[4]. ἔλεγε γὰρ, ὡς ὁ νόμος οὐ διαστέλλει περὶ τοῦ τοιούτου, ἀλλά φησι· πάντων τῶν καταλελειμμένων παρὰ τοῦ ἀνδρὸς αὐτῇ στερηθεῖσα καὶ οὔτε προγαμιαίας δωρεᾶς ἀπολαύσει, ὡς βι. κη τί. ιδ, καὶ προγαμιαίαν δωρεὰν ἔλεγε μόνον τὸ ὑπόβολον· φησὶ γὰρ τοῦ κη βι. τί. ιβ· „ἐπειδὴ δὲ τὰς γυναῖκας καὶ οὐκ εἰς δεύτερον ἔφησαν[5] γάμον ἔχειν τὶ πλέον τῶν εἰς δευτέρους γάμους ἐρχομένων βουλόμεθα, ἔχειν ταύτας τὸ ἥμισυ ἢ τὸ ὅλον τῆς προγάμου δωρεᾶς κατὰ ἀναλογίαν παίδων ὄντων καὶ μὴ ὄντων.“ ἐκ τούτου

---

[1] Basil. LX, 42, 13. [2] Cf. Harm. IV, 8, 10. [3] Basil. XXIX, 1, 87. [4] Cf. tit. XXIV c. 13 et infra h. t. c. 62. [5] An αἳ — ἔβησαν? Verba legis paulo liberius et memoria tenus referuntur.

ἔλεγεν ὁ δρουγγάριος περὶ μόνου τοῦ ὑποβόλου διαλέγεσθαι τὸν νόμον, μὴ μέντοι καὶ περὶ θεωρέτρου. ἡ γὰρ γυνὴ οὐ καινοτομεῖται παρὰ τῶν παίδων εἰς τὸ θεώρετρον, ἀλλ᾽ ὡς μέρος τῆς προικὸς οἶμαι κομίζεται, καὶ ἅμα ἡ δευτερογαμοῦσα γυνὴ τῆς μὲν τοῦ ὑποβόλου δεσποτείας ἐκπίπτει, τοῦ δὲ θεωρέτρου οὐδεμία εὑρέθη στερηθεῖσα· καὶ ὅπερ ὁ νόμος ἀφαιρεῖται τὴν δευτερογαμήσασαν, ἤγουν τὴν χρῆσιν τοῦ ὑποβόλου, τοῦτο κατὰ τὸ πλέον ἀφαιρεῖται τὴν ἐντὸς τοῦ πενθίμου γαμηθεῖσαν ὡς μεῖζον ἁμαρτοῦσαν, καὶ οὐδὲ ὅλως αὐτῇ δίδωσι μηδ᾽ οὐσίαν ἐν τῷ ὑποβόλῳ, θεωρέτρου δὲ μνείαν οὐ ποιεῖται· ἐπειδὴ καὶ ἡ εὕρεσις τούτου νεωτέρα ἐστὶ τοῦ νόμου, καὶ ἡ γυνὴ πρὸ τοῦ γάμου καὶ ἐν τῷ γάμῳ τοῦτο δωρεῖσθαι ᾧτινι βούλεται οὐ κεκώλυται, καὶ διατίθεσθαι ἐπ᾽ αὐτῷ, καὶ ἅμα ἐὰν δανεισταὶ τὴν οὐσίαν ἐκδικῶσι τοῦ ἀνδρὸς καὶ κινήσῃ ἡ γυνὴ τὴν περὶ προικὸς ἀγωγὴν, ἱκανοῦται μὲν καὶ τὸ θεώρετρον καὶ τὸ ὑπόβολον, ἀλλὰ τὰ μὲν τοῦ θεωρέτρου ἀναμφίβολα εἰσὶ, καὶ οὐ σκοποῦνται τῇ τελευτῇ τοῦ ἀνδρὸς βεβαιοῖ[1]. οὕτως οὖν ἔλεγεν ὁ δρουγγάριος, καὶ διὰ τοὺς τοιούτους λογισμοὺς οὐκ ἐστέρει τὴν ἐντὸς τοῦ πενθίμου χρόνου γαμουμένην τῆς τοῦ θεωρέτρου ἀπολαύσεως, ἀλλὰ τῶν ἄλλων τῶν παρὰ τοῦ ἀνδρὸς ἀπήλαυνεν αὐτὴν, ὥσπερ καὶ τὴν δευτερογαμοῦσαν· ἀλλὰ τὴν μὲν τῆς δεσποτείας μόνης, τὴν δὲ πλημμελοῦσαν καὶ τῆς χρήσεως· ἀμφοτέραις δὲ καὶ τὸ θεώρετρον ἐπεδίδου.

[μη'.] Ὅτι τοῦ νόμου[2] λέγοντος, τὰ ἀφαιρούμενα ἐκ τῆς ἐντὸς τοῦ πενθίμου πλημμελούσης παρὰ μόνων τῶν ῑ προσώπων κληρονομεῖσθαι κατὰ τὴν ἐν αὐτῷ κειμένην διάταξιν τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας διατάξεως[3], ὁ δρουγγάριος εὑρὼν ἀδελφοὺς καὶ ἀδελφόπαιδας ἐλάσας[4]. εἶπε γάρ· ὅτι εἰ καὶ ἀδελφόπαιδες εἰς τὸ τοῦ πατρὸς ἐπαναβαίνουσι πρόσωπον, ἀλλὰ τοῦτο ἐξεφώνησε τοὺς βαθμοὺς ἐπὶ τῆς οἰκείας τάξεως μένειν, καὶ οἱ μὲν ἀδελφοὶ δευτέρου ὄντες βαθμοῦ τοὺς τοῦ γ̄ ὄντας βαθμοῦ ἀνεψιοὺς οὐ προσδέχονται, ἀλλ᾽ ἀποῤῥιπίζουσι ἐκ τῆς τοῦ νόμου διατάξεως μένειν τοὺς βαθμοὺς ἐπὶ τῆς ταυτότητος βουλομένης.

[μθ'.] Ὅτι οὐ δύναται εὐχερῶς, μάλιστα δόλον βουλόμενος πλημμελεῖν ἐκ τοῦ μὴ κρῖναι τυχὸν τὴν προῖκα, διαλύειν μνη-

[1] Legerim βεβαιούμενα, sicut hypobolum morte demum mariti ad uxorem pertinere dicitur. [2] Basil. XXVIII, 14. [3] Legerim φυλαττομένων τάξεως. Cf. tit. XXIV c. 13. [4] Nonnulla exciderunt. Drungarius, quum essent fratres fratrumque liberi, illos admisit, hos expulit.

στείαν ὁ συστησάμενος πατὴρ ....[1] εἰ μήπου κατὰ καινοτομίαν βεβιασμένως παρέχων τυχὸν τὸ πρόστιμον, ἀλλὰ μὴ τὴν ποσότητα τῆς ὑποσχεθείσης προικὸς τῆς θυγατρός.

[ν΄.] Ὅτι οὐ μόνον ἡ ὀρφανὴ παρθένος ἀφῆλιξ γνώμῃ τῶν συγγενῶν καὶ δοκιμασίᾳ τοῦ ἄρχοντος ὀφείλει τῷ γάμῳ προσομιλεῖν, ἀλλὰ καὶ ἡ χήρα ἀφῆλιξ ὑπὸ τὴν αὐτὴν ἔννομον ὁμοιοτρόπως συντήρησιν χρεὼν εἰς εὐνὴν δίδοσθαι. ἐξ ἀναγκαίου γὰρ τοῦτο διοριζόμενον καθίσταται, ἵνα ἡ τῶν συγγενῶν περίσκεψις διὰ τῆς δοκιμασίας τοῦ ἀγαθοῦ ἄρχοντος τοῦ συναπτομένου προσώπου τὴν περιουσίαν καὶ τὸν τρόπον διερευνῶσι, καὶ τὸ συμφέρον ὑπὲρ τῆς ὀρφανῆς διορίσηται. ἐν οἷς γὰρ ἔξω τῆς τοιαύτης συντηρήσεως[2], ὁ τῇ ὀρφανῇ πλησιάσας στροῦπτον τουτέστι μοιχείαν πλημμελεῖ.

[να΄.] Ὅτι γυνὴ μὴ ποιησαμένη ἀπογραφὴν μετὰ θάνατον τοῦ ἀνδρὸς μηδὲ τὴν διαθήκην βεβαιώσασα, τῆς κυριότητος ἐκπίπτει καὶ τοῦ μὴ τοὺς κλήρους ἀνίσους τοῖς παισὶν ἐπιδιδόναι, καὶ τῶν μὴ σωζομένων τῆς προικὸς ἔκπτωτος γίνεται, κατ᾽ ἐκεῖνο τὸ μέρος ἄπροικος λογιζομένη.

[νβ΄.] Ὅτι ὅτε μετὰ τὴν ποίησιν τοῦ γάμου ἐπαυξηνθῇ ἡ προῖξ, αὐξάνεσθαι καὶ τὸ ὑπόβολον ἀναλόγως φανεροῦ νομίμου ἐστίν.

[νγ΄.] Ὅτι γυνὴ ὑποσχεθεῖσα προῖκα καὶ ταύτην παρ᾽ ὅλον τὸν τοῦ γάμου καιρὸν μὴ ἀπαιτήσαντος τοῦ ἀνδρὸς ἀλλὰ αὐτὴ μετὰ λύσιν τοῦ γάμου ἐπιζητοῦσα ἐκωλύετο, τοῦ ἐναντίου τὴν τῆς δεκαετίας ἀντιτιθέντος παραγραφὴν, ἣν κατὰ τοῦ ἀνδρὸς ἐνέταξε. καὶ ὁ δικαστὴς οὐ παρεδέξατο ταύτην, εἰπὼν, μὴ μόνον τῷ ἀνδρὶ κινεῖν κατὰ τῶν ὑπεσχημένων ὁ νόμος ἐφίησι, ἀλλὰ δὴ καὶ τῇ γυναικὶ, ἐπειδὴ δι᾽ αὐτὴν καὶ ὑπὲρ αὐτῆς τῷ ἀνδρὶ[3], καὶ τὰς πρὸς τὸν ἄνδρα συμφωνίας καὶ ἐπαγγελίας καὶ ἐπερωτήσεις πρὸς αὐτὴν δοκεῖ τὴν γυναῖκα διαθεσμοδοτεῖν, ὥσπερ καὶ τὰ περὶ τῆς διὰ γάμον δωρεᾶς πρὸς τὴν γυναῖκα σύμφωνα πρὸς τὸν ἄνδρα αὐτόν. φησὶ γὰρ ἡ διάταξις[4], ἵνα εἴτε ἐπιδέδωκέ τις προῖκα ὑπὲρ γυναικὸς, δι᾽ ὧν χωρὶς πράξεως ὑπομνημάτων, δόξει δωρεῖσθαι τῇ γυναικὶ τὴν ποσότητα τὴν εἰς προῖκα ὑπὲρ αὐτῆς δοθεῖσαν, ὥστε δύνασθαι αὐτὴν καὶ ἄνευ τῆς τῶν ὑπομνημάτων πράξεως διαλυομένου τοῦ γάμου ἀπαιτεῖν τὴν ἐπιδοθεῖσαν προῖκα· ὁμοίως δὲ καὶ εἴ τις ὑπὲρ

---

[1] In Cod. parva lacuna est. [2] Excidit aliquid, veluti *γάμοι συναλλάττονται*. [3] Nempe addendum: *προῖξ ὑπεσχέθη*. [4] Basil. XXIX, 1, 118.

ἀνδρὸς διδοὺς προγαμιαίαν δωρεὰν ὑπομνήματα ἐποίησε πρὸς τὴν γυναῖκα, ἵνα δόξῃ καὶ [πρὸς] αὐτὸν τὸν ἄνδρα τὰ ὑπομνήματα ποιεῖν, ὥστε δύνασθαι αὐτὸν τοῦ γάμου διαλυομένου κατὰ τὸν συμφωνηθέντα τρόπον ἐπαναλαμβάνειν.“ καὶ εἰκότως· οὔτε γὰρ τῇ γυναικὶ προδωρούμενος τὴν διὰ γάμον δωρεὰν δίδωσιν ὁ ταύτην ἐπαγγειλάμενος, ἀλλὰ τῷ ἀνδρί· οὔτε τῷ ἀνδρί τις χαριζόμενος ὑπισχνεῖται προῖκα ὑπὲρ γυναικὸς, ἀλλὰ τῇ γυναικί. καὶ οὕτω μὲν ἐσημειώσατο παλαιὸς δικαστής· ὁ δὲ μάγιστρος τὴν περὶ προικὸς ἀναργυρίαν ἡρμήνευσε καὶ διῇρε, καθὼς εἴρηται εἰς τὸν τίτλον περὶ ἀναργυρίας[1].

[νδ΄.] Ὅτι [ὁ] τὴν προγάμου δωρεὰν ἐπαγγελλόμενος τὴν γυναῖκα βούλεται μᾶλλον κερδᾶναι παρὰ ὠφεληθῆναι τὸν ἄνδρα ἐκ τῆς προικὸς, καὶ ταύτην τῷ ἀνδρὶ ὑπισχνούμενος· καὶ γὰρ ἐν ἀμφιβόλῳ, τὰ τῆς προγάμου δωρεᾶς εἴτε παρὰ τῆς γυναικὸς εἴτε παρὰ τοῦ ἀνδρὸς κερδανθήσονται. ἀλλ᾽ ὅμως καὶ τὰς διὰ γάμον δωρεὰς καὶ πρὸς τὸν ἄνδρα δοκεῖν γεγράφθαι φησὶν, ὥσπερ καὶ πρὸς τὴν γυναῖκα τὴν προῖκα.

[νε΄.] Ὅτι τῇ κινούσῃ γυναικὶ μετὰ τὴν λύσιν τοῦ γάμου τὰς περὶ προικὸς ἀγωγὰς[2] κατὰ τοῦ ὑποσχομένου ἁρμόζειν ἐξ ἐπερωτήσεως, εἴτε παρηκολούθησεν εἴτε μὴ, σιωπηρῶς ἀπὸ τῆς τοῦ νόμου φιλοτιμίας. εἴτε ὑποθήκαις τὴν ἐπερώτησιν ὁ πράττων τὰ ὑπὲρ αὐτῆς κατωχύρωσε, καὶ ὑποθηκαρία ἁρμόσει αὐτῇ· εἰ δὲ μὴ μνεία ὑποθήκης γέγονε, σιωπηρῶς αὐτῇ διὰ τὴν ἀγροικίαν καὶ ἁπλότητα ἀπὸ τῆς τῶν διατάξεων προνοίας ἁρμόσει πρὸς τῇ προσωπικῇ ὑποθηκαρίᾳ. καὶ ὁ νόμος[3]· „πᾶσα προῖξ ἀπαιτείσθω, εἴτε ἐγένετο ἐπερώτησις, εἴτε παντελῶς μὴ ἐγένετο, εἴτε ἀνυπόστατος ἐγένετο. καὶ γὰρ παρὰ τοῖς παλαιοῖς κανὼν ἦν ὁ λέγων, ὅτι τὸ χρήσιμον μετὰ τοῦ ἀχρήστου μιγνύμενον καὶ αὐτὸ χρήσιμον γίνεται. εἰ γὰρ ἐνταῦθα μὴ γέγονεν ὅλως ἐπερώτησις, ἀλλ᾽ οὖν δοκεῖ ἐν τῇ προικὶ γεγονέναι. ἔστωσαν δὲ καὶ σιωπηραὶ ὑποθῆκαι τῆς προικὸς, ὥσπερ καὶ ἐπὶ τῆς ἐπιτροπῆς καὶ τῶν ἄλλων θεμάτων σιωπηραὶ ὑποθῆκαι ἁρμόζουσιν, ἵνα οὕτω καὶ τὰ τῆς γυναικὸς πράγματα ὑπόκειται τῷ ἀνδρὶ, εἰς ἣν ἐπηγγείλατο προῖκα[4]. κρατείτω δὲ ταῦτα, εἴτε αὐτὴ ἡ γυνὴ δέδωκε τὴν προῖκα εἴτε ἄλλος ὑπὲρ αὐτῆς, εἴτε ἀνὴρ ὑπεδέξατο τὴν προῖκα εἴτε ἄλλος ὑπὲρ αὐτοῦ, εἴτε παρὰ πατρὸς δεδομένη ἦν προῖξ εἴτε παρὰ ἐξωτικοῦ, ὥστε εἴτε καὶ διὰ

---

[1] Cf. infra tit. LXXI c. 1. [2] Cod. κληρονομίας. [3] Basil. XXIX, 1, 119.
[4] Adde: καὶ τὰ τοῦ ἀνδρὸς τῇ γυναικὶ εἰς ἀπόδοσιν τῆς προικός.

ἀγροικίαν καὶ ἀπειρίαν μὴ γένηται ἐπερώτησις ἤτοι ὑποθήκη, σιωπηρῶς αὐτῇ ἁρμόζει. ταῦτα δὲ κρατεῖ, εἴτε ἐγγράφως εἴτε ἀγράφως ἡ προῖξ ἐδόθη ἢ ἐπηγγέλθη."

[νς΄.] Ὅτι ἡ ἀπρόοπτος καὶ ἐξ ἀρχῆς ἀπορία τοῦ ὑποσχομένου τῇ γυναικὶ κινδυνεύεται.

[νζ΄.] Ὅτι οὐκ ἐφεῖται τῇ γυναικὶ κινεῖν περὶ προικὸς ἀγωγὴν κατὰ τῶν ὑποσχομένων, εἰ μὴ ὁ γάμος λυθῇ, κἂν ὁ ἀνὴρ ἀπορίαν δυστυχήσει[1] ἀπρόοπτον συνεστῶτος τοῦ γάμου. αἰσχύνεται καὶ[2] ὁ νόμος κατὰ τῶν ὑποσχομένων τῇ γυναικὶ τὰς ἀγωγὰς ἐκχωρεῖν καὶ ἐν χώρᾳ κεφαλῆς καθιστᾶν, ἀλλὰ τὸν ἄνδρα ἐρυθριῶν ὡς καὶ τὰ βάρη τοῦ γάμου ὑπέχοντα καὶ ὡς τῆς φαμιλίας ἐξάρχοντα, ὡς ἐν τέλει μὲν οὐχὶ[3], ἵνα μὴ καταρᾳθυμήσῃ[4] τῆς ἀπαιτήσεως ἢ δόλῳ τὰ τῆς γυναικὸς δίκαια καταπερθῇ[5], ὡς κεφαλῇ δὲ αὐτῷ καὶ μείζω τὴν προνομίαν δίδωσι καὶ κίνδυνον ἐπαπειλεῖ καὶ τὴν ἀπαίτησιν ἐπιτρέπει, τῇ δέ γε γυναικὶ σιωπᾶν ἐπιτρέπει καὶ ἡσυχάζειν καὶ πρὸς τὸ τοῦ γάμου ὁρᾶν ἐπιτέλεσμα[6], ὡς ἂν κἀκείνη[7] ἢ τοῖς τοῦ ἀνδρὸς κληρονόμοις ἐπισείῃ τὰς ἀγωγὰς ἢ κατὰ τῶν ὑποσχομένων χωρήσῃ τὴν προῖκα μὴ καταβαλλομένων. ἀπόρου δὲ τοῦ ἀνδρὸς τὸν βίον καταστρέψαντος καὶ τὴν προῖκα μὴ λαβόντος, οὐ περιορᾷ τὴν γυναῖκα κινδυνεύουσαν τῆς τῶν γονέων περιουσίας ἀπόκληρον γενέσθαι, οὐδὲ ἄπροικον καταλειφθῆναι ἢ ῥᾳθυμίᾳ ἢ δόλῳ τοῦ ἀνδρὸς ἀφεικότος τὴν εἴσπραξιν, ἀλλ' ὡσανεὶ πρὸς αὐτὴν γενομένων τῶν ἐπαγγελιῶν καὶ ἐπερωτήσεων ἁρμόζειν μὲν αὐτῇ τὴν προσωπικὴν, ἁρμόζειν δὲ καὶ τὴν ὑποθηκαρίαν ἀποφαίνεται, καὶ ἀμφοτέραις ταῖς ἀγωγαῖς ὁπλίσας αὐτὴν, οὐκ ἐᾷ κεναῖς ἐκπεσεῖν ταῖς χερσί. τὸ δὲ πλέον διὰ τοῦτο ἡ γυνὴ οὐ κινεῖ συνεστῶτος τοῦ γάμου κατὰ τῶν ὑποσχομένων καὶ ἀπόρου ὄντος τοῦ ἀνδρὸς, ἵνα μηδὲ ὁ μετὰ τὴν δεκαετίαν περιαιρῶν νόμος τῷ ἀνδρὶ τὴν τῆς ἀναργυρίας[8] μέμψιν περιγραφῇ, δυναμένης διὰ μέσου τῆς γυναικὸς κινεῖν κατὰ τοῦ ἀνδρὸς καὶ τὰ ὑποσχεθέντα εἰσπράττεσθαι.

[νη΄.] Ὅτι διὰ μόνην τὴν σύγχυσιν τῆς γονῆς ἡ ὑπέρθεσις τοῦ χρόνου τοῦ πενθίμου ἐξεφωνήθη. φησὶ βι. κη΄ τί. ζ΄[9]· „Ἡ γυνὴ κατηγορηθεῖσα παρὰ τοῦ ἀνδρὸς ἐὰν ὑπερισχύσῃ καὶ κρατήσῃ τοῦ ἀγῶνος, ὀφείλει λαβεῖν κατὰ τὸν καιρὸν καὶ τὰ ἴδια

---

[1] Cod. videbatur habere καὶ — δυστυχήσας. [2] Malim γάρ. [3] Haec adhuc emendatione indigent. [4] Cod. καταρυθμίσῃ. [5] Cod. καταπροθῇ. [6] Malim ἀποτέλ. [7] Cod. κἀκεῖνον. [8] Cod. ἁμαρτίας habere videbatur. [9] Videtur significari c. 2, cujus epitomen verba relata praestant.

καὶ τὰ τῆς ποινῆς, καὶ ἀναμένειν τὸν χρόνον, ὃν αἱ πενθοῦσαι παραφυλάττουσι διὰ τὴν σύγχυσιν τῆς γονῆς.“

[νθ'.] Ὅτι[1] εἰ ὁ ἀνὴρ πόῤῥω ὢν τελευτήσει, καὶ δράμῃ ὁ πένθιμος χρόνος, καὶ εἰς τὴν ἐσχάτην ἡμέραν τοῦ ἐνιαυτοῦ μάθῃ τὴν τελευτὴν τοῦ ἀνδρὸς ἡ γυνὴ, δύναται κατ' αὐτὴν τὴν ἡμέραν ἀποτίθεσθαι τὰ πένθιμα καὶ γαμεῖν.

[ξ'.] Ὅτι εἰ ἐν τῷ προικῴῳ συμβολαίῳ γέγραπται· δίδωμι τῇ θυγατρί μου τόδε καὶ τόδε, ...[2] ἀλλ' οὖν ταῦτα πάντα, ὅσα γραφῶσι, δύναμιν προικὸς ἔχουσι, καὶ ταῦτα ὁ ἀνὴρ καρποῦται καὶ κινδυνεύει ἐπ' αὐτοῖς· ὅσα δὲ μὴ γραφῶσι καὶ περιληφθῶσι τοῖς συμφώνοις πράγματα, ταῦτα ἡ γυνὴ ἔχει. καὶ ἐὰν πολλάκις ἀγρός ἐστιν ἄγραφος, καὶ τοὺς καρποὺς τούτου ὁ ἀνὴρ λαμβάνει, ὕστερον δίδωσι τούτου τοῦ ἀγροῦ τοὺς καρποὺς, καὶ οὐκ ἔχει λόγον, ὅτι οὐκ ἐστὶν ἐν προικί· διὰ τοῦτο γὰρ μᾶλλον δίδωσι τούτου καρποὺς, ὅτι μὴ παραλαβὼν αὐτὸν ὡς προικιμαῖον ἐνέμετο αὐτόν. οἷόν τι συνέβη ἐπὶ τῇ θυγατρὶ τοῦ γοργοπλούτου καὶ τοῦ αὐτῆς ἀνδρός· αὐτὴ γὰρ καταγράψασα κτήματα αὐτῆς ἐν προικὶ ἀφῆκεν ἀγρὸν ἄγραφον, καὶ διαζυγίου ἐπισυμβάντος ἀπήτησε καὶ τοὺς καρποὺς τὸν ἄνδρα τούτου δὴ τοῦ ἀγράφου ἀγροῦ κρίσει δικαστοῦ.

[ξα'.] Ὅτι[3] λαβών τις γυναῖκα καὶ τεκνοποιήσας καὶ προικίσας τὴν θυγατέρα, ἀπέβαλε τὴν σύνοικον. εἶτα μετὰ χρόνον πολὺν δευτέραν ἀνηγάγετο γαμετὴν, καὶ ἔτεκεν ἐξ αὐτῆς παιδίον. τελευτήσαντος τοῦ πατρὸς ὁ δεύτερος παῖς ἀνέστη ἐπιζητεῖν κλῆρον[4] ἀπὸ τῆς ἀδελφῆς, ἥτις ἐξ ἑτέρας ἐτέχθη μητρὸς καὶ πρὸ τοῦ αὐτὸν γεννηθῆναι ἔλαβε προῖκα· ἡ δὲ παρεγράφετο τοῦτον λέγουσα, μηδὲν καινοτομεῖν αὐτόν· πρὸ γὰρ τοῦ τὴν μητέρα αὐτοῦ ἀγαγέσθαι τὸν πατέρα καὶ γεννηθῆναι αὐτὸν, καὶ[5] προικισθῆναι. ὁ δὲ μάγιστρος ἔλεγεν, ὅτι καὶ ἄκουσα δώσει τῷ ἑτεροθαλεῖ ἀδελφῷ τὸν φαλκίδιον· οὐδὲν γὰρ αὐτὴν ὀνήσει ἡ παραγραφή. ὁ γὰρ αὐτὸς πατὴρ ἀμφοτέρους ἐγέννησεν, εἰ καὶ τὴν μὲν πρῶτον, τὴν[6] δὲ ὕστερον. πρὸς γὰρ τὸν φαλκίδιον οὐδεὶς λόγος βοηθήσει αὐτήν· πρὸς μέντοι τὰ μητρῷα οὐδεὶς ἔσται κατ' ἀμφοτέρων λέγων, ἀλλ' ἕκαστος τὴν τῆς οἰκείας μητρὸς κληρονομίαν ἀκαινοτόμητον λήψεται.

[ξβ'.] Ὅτι συνέστη γάμος καὶ εἰσήχθη προῖξ ἐν ἀκινήτοις

---

[1] Harm. IV, 7, 4. [2] Locus in albo relictus: forte ut lacuna indicetur. [3] Harm. V, 9, 19. [4] Harm. προῖκα ἤτοι κλῆρον. [5] Forte γαμηθῆναι αὐτὴν καί. [6] Malim τόν.

ἀδιατιμήτως, καὶ συνεφωνήθη θεώρετρον καὶ ὑπόβολον ἡνωμένως λίτραι δ΄. εἶτα ἐκ συναινέσεως ὁ ἀνὴρ καὶ ἡ γυνὴ τίθενται πρὸς ἀλλήλους σύμφωνα καὶ διαλύουσι τὸν γάμον, ὑποσχομένου τοῦ ἀνδρὸς δώσειν τῇ γυναικὶ ἀντὶ τοῦ ὑποβόλου καὶ τοῦ θεωρέτρου καὶ τῆς λύσεως τοῦ γάμου λίτρας β΄, καὶ ἵνα ὑπάρχῃ κυρία ἡ γυνὴ καὶ ὡς βούλεται διοικῇ τὰ ἑαυτῆς καὶ λαμβάνῃ καὶ ἕτερον ἄνδρα. γέγονε τὸ τοιοῦτον χαρτίον, καὶ διῆλθον[1] χρόνοι ἕξ, καὶ τελευτᾷ ὁ ἀνὴρ καταλιπὼν τῇ γυναικὶ ἐν διαθήκῃ καὶ λεγάτα, μὴ ὀνομάσας αὐτὴν γυναῖκα, ἀλλ' εἰπών· τὴν δεῖνα βούλομαι λαβεῖν ὑπὲρ λεγάτου νομίσματα τόσα. κινεῖ ὕστερον ἡ γυνὴ καὶ ἐπιζητεῖ καὶ τὴν προῖκα καὶ τὸ θεώρετρον καὶ τὸ ὑπόβολον ἢ τέως τὰς ἐν τῷ δευτέρῳ συμφώνῳ συμφωνηθείσας παρὰ τοῦ ἀνδρὸς δοθῆναι αὐτῇ λίτρας β΄. καὶ ὁ μάγιστρος καὶ κριτής[2] ἔκριναν οὕτως· ἐπεὶ ἡ γυνὴ οὐκ ἦλθεν εἰς ἕτερον γάμον ἢ ἀπεκάρη, οὐ δεχόμεθα λύσιν τοῦ γάμου, οὐδὲ τοῦτο δεχόμεθα, ἵνα ἐκ τούτου ἀπαιτήσωμεν τὰς β΄ λίτρας, διότι οὐδὲ ὁ ἀνὴρ ἐν τῇ διαθήκῃ αὐτοῦ ἐκάλεσεν αὐτὴν γυναῖκα ἰδίαν, ἵνα εἴπωμεν μεῖναι αὐτὸν ἐπὶ τῆς ἰδίας διαθέσεως, καὶ ὡς παρανόμου ὄντος τοῦ συμφώνου τοῦ[3] ἐκ συναινέσεως λυθῆναι τὸν γάμον οὐδὲ τὸ ἐν αὐτῷ συμφωνηθὲν ἀπαιτοῦμεν, ἀλλὰ μᾶλλον διὰ τούτου τοῦ συμφώνου ἀναιροῦμεν καὶ τὸ πρῶτον συμφωνηθὲν ὑπόβολον. ἐπεὶ καὶ τοῦ κη΄ βι. τί. ιβ΄[4] περὶ διαλυομένου συνοικεσίου διαλαμβάνων φησί, τιμωρεῖσθαι τοὺς ἐκ συμφωνήσεως λύοντας ἀμφοτέρων καὶ εἰς μοναστήριον εἰσερχομένων[5], ἐκεῖνοι λαμβάνουσι τὸ δίμοιρον τῆς ὑποστάσεως, τὸ δὲ τρίτον τὸ μοναστήριον· εἰ δὲ μὴ ἔχουσι κατιόντας, καὶ τὰ ἑξῆς. ἐκ τούτου τοίνυν τοῦ κεφαλαίου κατεδίκασαν οἱ κριταὶ τὴν γυναῖκα, μὴ ζητεῖν ὑπόβολον μηδὲ κερδᾶναί τι· ἀλλ' ὁ μάγιστρος εἶπεν, ὅτι εἰς μὲν ὑπόβολον ζημιωθήσεται ἡ γυνή, εἰς δὲ τὸ θεώρετρον οὐδαμῶς[6]. ἐπεὶ γὰρ τοῦτο καὶ ἐν ζωῇ καὶ μετὰ θάνατον ὅπου βούλεται παραπέμπει, καὶ τοῦ γάμου διαλυομένου αὐτὴν ἔχειν τὴν δεσποτείαν αὐτοῦ, καὶ εἰς μοναστήριον εἴπερ ἐβάλλετο, αὐτῇ προσήρμοζε λαβεῖν τὸ θεώρετρον. διὰ τοῦτο ἐτύπωσε λαβεῖν αὐτὴν τοῦτο, καὶ ἤρεσε πᾶσιν ἡ κρίσις. ἀλλὰ γέγονεν ἔτι δυσχερέστερον· τῆς γὰρ προικὸς οὔσης ἐν ἀκινήτοις ἀδιατιμήτως καὶ ἡνωμένως συμφωνηθέντος δοθῆ-

---

[1] Cod. διήλθωσαν. [2] Forte καὶ οἱ κριταί. [3] Cod. τά. [4] Videtur indicari Basil. lib. XXVIII tit. VII c. 6. Quamquam tit. VII inscribitur περὶ λύσεως γάμων. [5] Nonnulla exciderunt. [6] Cf. supra h. t. c. 47.

ναι ὑπὲρ τοῦ ὑποβόλου καὶ θεωρέτρου λίτρας δ', πολλὴ γέγονεν ἀνάγκη διαιρεθῆναι, πόσον μὲν ἁρμόζει ἐκ τῶν δ' λιτρῶν εἰς ὑπόβολον, καὶ πόσον εἰς θεώρετρον. καὶ ὁ μάγιστρος ἔλεγε τοῦτο εἰπών· ὅτι ἐπὶ προικὸς διατετιμημένης λίτρας μιᾶς, ὑπόβολόν ἐστι νομίσματα λϛ' καὶ θεώρετρον νομίσματα ϛ', ὥστε τῆς προικὸς πάσης τὸ μὲν ἥμισυ[1] ἐστὶν ὑπόβολον, τὸ δὲ ιβ' θεώρετρον· οἷον ἑξάκις ἓξ τριάκοντα ἕξ, δωδεκάκις ἓξ ἑβδομήκοντα δύο. οὕτως οὖν καὶ ἐνταῦθα ἐπὶ τῶν δ' λιτρῶν αἱ μὲν γ' λίτραι καὶ τὰ λα' [νομίσματα] ἔσονται εἰς ὑπόβολον καὶ [οὐ] δοθήσονται τῇ γυναικὶ, τὰ δὲ μα' νομίσματα γενήσονται θεώρετρον καὶ λήψεται αὐτὴ ταῦτα. ὥστε[2] νοηθῆναι τὴν προῖκα εἶναι λίτρας ϛ' νομίσματα ξβ'. τούτων τὸ ὑπόβολον λίτραι γ' νομίσματα λα', καὶ θεώρετρον, τῶν μὲν ϛ' λιτρῶν νομίσματα λϛ', τῶν δὲ ξβ' [νομισμάτων] νομίσματα ε', ὁμοῦ μα'. ὥστε τοῦ ὑποβόλου ὃ τὸ ἕκτον[3] ἐστὶ, τοῦτο θεώρετρον· ἐστὶ γὰρ ἐνταῦθα τὸ ὅλον ὑπόβολον νομίσματα σμϛ'· καὶ λέγομεν ἐξ ἀνάγκης μ'.ϛ', σμ'· ἐξανάγκης α'.ϛ'[4], ϛ'· τὸ δὲ ἕκτον[5] μέρος ἐστὶ θεώρετρον, ἤτοι νομίσματα μα', τὰ λείποντα[6] πρὸς νομίσματα σπη', ἃ ποιοῦσι λίτρας δ'. ἐστὶ δὲ καὶ τῆς ὅλης προικὸς δωδέκατον μέρος· αἱ γὰρ ϛ' λίτραι καὶ τὰ ξβ'[7] νομίσματα ἀναβιβάζονται εἰς νομίσματα υϛδ'· καὶ διαιρεῖται οὕτως· ιβ'.μ', υπ'· ιβ'.α', ιβ'· ὁμοῦ νομίσματα υϛβ'. περὶ δὲ τῶν λεπτῶν ἄγαν[8] οὐ πολυπραγμονεῖται. ἐν ἑτέρᾳ δὲ ὑποθέσει κατωτικῇ[9].

[ξγ'.] Ὅτι[10] ὁ ἀνὴρ μέχρις εὐπορίας ἐπὶ τῇ προικὶ τῆς γυναικὸς καταδικάζεται· οὐ γὰρ ἀφίεται πένεσθαι ὅ ποτε χρηματίσας κύριος τῆς γυναικός. οὐκ ἀφίεται δὲ τοῦ χρέους, εὔπορῶν τυχὸν ὕστερον, ἕως ἂν τὴν προῖκα πᾶσαν καταβάλῃ μέχρις εὐπορίας καταδικαζόμενος. ἐπὶ δὲ τοῖς ἐξωπροίκοις εἰς τὸ πᾶν καταδικάζεται.

[ξδ'.] Ὅτι ἐν συνεστῶτι τῷ γάμῳ ἐπράθη παρὰ τοῦ ἀνδρὸς οἰκόπεδον τῆς γυναικός· εἶτα ἐκίνησεν ἡ γυνὴ τὴν περὶ προικὸς ἀγωγὴν, καὶ εἷλκε τὸν ἀγοραστὴν, καὶ ἐδικαιώθη ἐπ' αὐτοῖς. πλὴν ἔφθασεν ὁ ἀγοραστὴς ἐποικοδομῆσαι τῷ ἐρειπίῳ τινὰ, καὶ ἔκρινεν ὁ μάγιστρος οὕτως· τῇ γυναικὶ ἐπιτραπῆναι

---

[1] Cod. videbatur habere ἕκτον. Forte addendum, quod theoretrum sit sexta pars hypoboli. [2] Cod. ὅ. [3] Cod. ἕβδομον. [4] Cod. $μ^{αν}$. [5] Cod. ἕβδομον. [6] Revera 42, non 41 adjiciendi sunt. Sed cf. not. 8. [7] Cod. ξε'. [8] Scil. hypobolum proprie numerum $246^{72}/_{84}$ et theoretrum numorum $41^{12}/_{84}$ computandum erat. [9] Sic Cod. Videtur aliquid deesse. [10] Cf. tit. XXVI c. 13. — Harm. IV, 9, 25.

ἑλέσθαι τὸ ἕτερον, ἢ ἀφεῖναι μὲν τὸ κατασχεθὲν καὶ λαβεῖν ἀντιτόπιον ἐκ τοῦ γυμνοῦ τόπου, ἢ τῶν ὑλῶν δοῦναι τὴν διατίμησιν καὶ ἔχειν τὰ ἐπικτισθέντα· ἢ εἰ βουληθείη περιελεῖν τὰ ἐκτισμένα καὶ ἀναλαβεῖν τὰς ὕλας, μὴ μέντοι ποιήσας χεῖρον τὸ ὑποκείμενον[1]. ἐπεὶ δὲ συνεβιβάσθην ἡ γυνὴ, καὶ λαβεῖν ἠθέλησεν ἀντὶ[2] τοῦ τόπου νομίσματα, λήψεται ταῦτα μετ' ἐγγύης ἀξιοχρέου.

[ξε'.] Ὅτι ὁ διατιμωρίτης προικίζων τὴν ἰδίαν θυγατέρα ἔγραψεν ἐν τῷ συμφώνῳ, ἵνα ἀτέκνου προτελευτησάσης ταύτης τοῦ ἀνδρὸς ἀναδοθῇ πρὸς αὐτὸν ἡ προΐξ. ἔθανε δὲ ὁ ἀνὴρ πρῶτος· κατελείφθη ἡ θυγάτηρ ἄτεκνος· εἶτα ἐτελεύτησε καὶ ἐκείνη, καὶ ἐποίησε διαθήκην. καὶ ἐκίνησεν ὁ πατὴρ, ἵνα ἀναλάβηται τὴν προῖκα αὐτῆς κατὰ τὸ σύμφωνον. ὁ δὲ μάγιστρος ἔκρινεν, ὅτι φιλαγάθῳ γνώμῃ, ἐπεὶ οὐ προετελεύτησεν ἡ γυνὴ τοῦ ἀνδρὸς ἄπαις, ἐξ ἧς αἰτίας ἡ ἀνάδοσις τῆς προικὸς ἐπερωτήθη τῷ πατρὶ, ἀλλὰ μᾶλλον ὁ ἀνὴρ προετελεύτησεν, ἡ δὲ γυνὴ ἐπετελεύτησεν, ὑπὲρ οὗ κεφαλαίου οὐδεμία γέγονεν ἐπερώτησις, εἶχε δὲ καὶ αὐτὴ τὴν προῖκα ἕως θανάτου καὶ δυναμένη ἐλθεῖν εἰς δεύτερον γάμον καὶ παιδοποιῆσαι τοῦτο οὐκ ἐποίησεν· ἔκρινεν, ὡς εἴρηται, ὅτι[3] διὰ συμπαθὲς, ἵνα λάβῃ ὁ πατὴρ τὸ τρίτον οὐ τῆς προικὸς, ἀλλὰ τῆς πάσης περιουσίας τῆς θυγατρός. καὶ γέγονε τοῦτο.

[ξς'.] Ὅτι εἰς ἀνάδοσιν τῆς προικὸς μετὰ λύσιν τοῦ γάμου ἐνιαυτὸς χαρίζεται τῷ μέλλοντι ἀναδοῦναι, ὥστε παρασχεῖν τὰ κινητά· τὰ δὲ ἀκίνητα αὐτίκα δίδωσιν. ἐπὶ δὲ τῆς ὑποσχέσεως τῆς προικὸς διετία κεχάρισται, ὥστε καταβαλεῖν τὸν ὑποσχόμενον τὴν προῖκα, καὶ τούτου τοῦ χρόνου καρποὺς οὐκ ἀπαιτεῖται. ὁ δὲ βέστης, εὑρὼν σύμφωνον[4] γράφον ἵνα ὁμοζωῇ ὁ γαμβρὸς μετὰ τοῦ πενθεροῦ ἄχρι τριετίας καὶ τότε ἵνα λαμβάνῃ τὴν προῖκα, καὶ ὑποχωρήσαντα μὲν τὸν γαμβρὸν ἐντὸς τριετίας, τὴν δὲ προῖκα καὶ ἐπὶ πενταετίαν μὴ καταβληθεῖσαν· τὸν χρόνον τῆς τριετίας ἀπὸ τῆς πενταετίας ἐψήφισε, καὶ τόκους οὐ παρέσχεν. ὁ δὲ τόκος μετὰ τὴν διετίαν ἀπαιτεῖται ὁ ἀπὸ τρίτου ἑκατοστοῦ. οὕτω γὰρ καὶ ἐπὶ τῆς ὑποθέσεως τοῦ χάλδου ἐσημειώσατο, καὶ μετὰ διετίαν τοῦ γάμου εἶπε δοθῆναι τόκους τῆς μὴ καταβληθείσης προικὸς τοὺς ἀπὸ τρίτης ἑκατοστῆς.

---

[1] Deest aliquid. [2] Cod. ἀπό. [3] Harm. V, 9, 11. [4] Cf. supra h. t. c. 39.

[ξζ'.] Ὅτι ἐὰν ὑπόσχηται πατὴρ τὴν αὐτοῦ θυγατέρα προικίσαι καθὼς δύναται, οὐκ ἔχει ἐξουσίαν ὀλίγον τὶ δοῦναι καὶ ἔλαττον τοῦ φαλκιδίου πλούσιος ὤν, οὔτε πάλιν ἀναγκάζεται παρὰ τοῦ γαμβροῦ δίδοσθαι ὅπερ ἐκεῖνος αἱρεῖται ὑπὲρ τὸν φαλκίδιον, ἀλλὰ διατιμωμένης τῆς ὑποστάσεως ἐκείνου ἀνδρὸς ἀγαθοῦ δοκιμασίᾳ δίδοται ἡ προῖξ. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος[1], εἰπὼν καὶ νόμους[2]· „ὁσάκις ἐν τοῖς καλῇ πίστει δικαστηρίοις εἰς πρόσωπον τοῦ δεσπότου ἢ τοῦ φροντιστοῦ αὐτοῦ ἀναφαίνεται αἵρεσις, οὕτως ἐστὶν ὡσανεὶ ἀνδρὸς ἀγαθοῦ δοκιμασία ἐδέχθη." καὶ „ἐὰν[3] δοκιμασίᾳ" φησὶ „τοῦ πενθεροῦ μου ἐπερωτήσω αὐτὸν προῖκα καὶ μὴ δηλωθέντος πράγματος ἢ ποσοῦ ἔῤῥωται· καὶ περιαιρουμένης τῆς δοκιμασίας ὁρίζεται ἡ προῖξ πρὸς τὴν περιουσίαν αὐτοῦ καὶ τὴν ἀξίαν." τῆς γυμνῆς[4] εἰσπράξεως τοῦ δεῖνος λιτρῶν δ' καὶ ἡμισείας τιμηθείσης τὸ συμβαῖνον ποσὸν τῷ φαλκιδίῳ νόμῳ καταβληθήσεται χάριν προικός.

[ξη'.] Βι. κε' τῶν βασιλικῶν [τί. β'] κεφ. ξ'[5]· „Ἐὰν μήτηρ ἐπιτροπεύουσα παιδὸς καὶ ὑπερβᾶσα τὴν ἐπαγγελίαν δευτερογαμήσει, μὴ αἰτήσασα αὐτῷ πρῶτον ἐπίτροπον καὶ τοὺς λογισμοὺς παραδοῦσα, οὐδὲν ἧττον ὑπόκεινται διὰ τοῦτο καὶ τὰ τοῦ ἀνδρὸς πράγματα."

[ξθ'.] Ὅτι ἐτελεύτησέ τις ἐπὶ παιδὶ καὶ γυναικὶ καὶ ἔγραψεν εἰς τὴν διαθήκην ἕτερον μὲν φυλαττούσης τὴν κοίτην τῆς γυναικὸς καθαράν, ἐρχομένην δὲ εἰς δεύτερον γάμον ἐνετείλατο λαβεῖν τὴν προῖκα αὐτῆς καὶ τὸ θεώρετρον καὶ εἰς λεγάτον λίτρας ε', καὶ περὶ τοῦ ὑποβόλου οὐδὲν εἶπε. ζητηθείσης τοίνυν τῆς ὑποθέσεως παρά τε τοῦ δρουγγαρίου καὶ τοῦ πρωτοασηκρῆτις καὶ τῶν κριτῶν ἀνεφύη ζήτημα τοιοῦτον· ἆρα ἡ γυνὴ λήψεται τὸ λεγάτον τὰς πέντε λίτρας καὶ τοῦ ὑποβόλου στερηθήσεται, διὰ τὸ μὴ μνημονευθῆναι παρὰ τοῦ ἀνδρὸς τοῦτο; ἢ λάβῃ μὲν τὸ λεγάτον, λάβῃ δὲ καὶ τὸ ὑπόβολον, ὡς χρεωστουμένη τοῦτο παρὰ τοῦ νόμου; τοιούτου ζητήματος πεσόντος ὁ μάγιστρος[6] εἶπεν· ἓν ἐκ τῶν δύο ὀφείλειν λαβεῖν τὴν γυναῖκα· τὸν γὰρ ἄνδρα διὰ τὸ στερῆσαι ταύτην τοῦ ὑποβόλου δευτερογαμοῦσαν καταλείψαι ταύτῃ τὸ λεγάτον. καὶ ἐπιλογὴν ἔχειν τὴν γυναῖκα λαβεῖν οἷον ἂν βούλεται, ἢ τὸ παρὰ τοῦ νόμου δεδομένον αὐτῇ ὑπόβολον, ἢ τὸ παρὰ τοῦ ἀνδρὸς καταλε-

---

[1] Cf. tit. XLI c. 12. [2] Basil. II, 3, 22. [3] Basil. XXIX, 1, 65. [4] Cod. γυνῆς. [5] Apud Heimb. est c. 68. [6] Cf. tit. VII c. 6 not. 1.

λειμμένον αὐτῇ λεγάτον. ἤρεσε τοίνυν ὁ λόγος ἀμφοτέροις τοῖς δικασταῖς, καὶ ἡ γυνὴ λαβοῦσα αἵρεσιν προέκρινε μᾶλλον λαβεῖν τὸ ὑπόβολον, καὶ ἔλαβε τοῦτο κατὰ χρῆσιν, τοῦ δὲ λεγάτου ἀπεστερήθη. ἠρώτησα ἐγώ· ἐὰν δὲ ὁ ἀνὴρ ἴσως ἔγραψε λαβεῖν τὴν γυναῖκα καὶ δευτερογαμοῦσαν καὶ τὸ ὑπόβολον καὶ τὸ λεγάτον, ἆρα ἂν ἐδόθη αὐτῇ τοῦτο; καὶ οἱ μὲν ἄλλοι δικασταὶ μεγάλως πρὸς τοῦτο ἐστασίασαν, προσφέροντες νόμον τὸν λέγοντα, μηδὲν κερδαίνειν τὴν γυναῖκα δευτερογαμοῦσαν τῶν παρὰ τοῦ ἀνδρός[1]. τῇ γυναικὶ ὁμολογοῦντος καὶ συγχωροῦντος τὴν δευτερογαμίαν, καὶ προέφερε κανόνας καὶ λογισμοὺς τοιούτους· ὅτι ὁ νόμος λέγων, μηδὲν κερδαίνειν τὴν δευτερογαμοῦσαν παρὰ τοῦ ἀνδρὸς, οὐ προστίθησιν, ὅτι καὶ ἐὰν ὁ ἀνὴρ συγχωρήσῃ τὴν δευτερογαμίαν, ἵνα μηδὲν κερδαίνῃ· ἀλλ' ἐκείνην τιμωρεῖται, ἥτις ἔλαβε μὲν παρὰ τοῦ ἀνδρός τινα, ὡς μὴ μέλλουσα δευτερογαμεῖν, ἐδευτερογάμησε δέ. ἐνταῦθα δὲ ὁ ἀνὴρ γινώσκων, ὅτι εἰ δευτερογαμήσει ἡ γυνὴ ἐκπεσεῖται τῶν αὐτοῦ, διὰ τῆς γραφῆς τῆς διαθήκης δοκεῖ συγχωρεῖν αὐτῇ τὴν δευτερογαμίαν, καὶ βούλεσθαι καὶ οὕτως αὐτὴν κερδαίνειν ἐκ τῶν αὐτοῦ. καὶ οὐ κωλύεται τοῦτο ποιεῖν ὁ ἀνὴρ, ἔχων συναγορεύοντα νόμον τὸν λέγοντα[2]· „ἔξεστιν ἑκάστῳ τῶν ἰδίων δικαίων καταφρονεῖν,“ καὶ ἕτερον λέγοντα[3]· „τὰ ὑπέρ τινος εἰσαχθέντα κατ' αὐτοῦ οὐχ ἑρμηνεύεται.“ ἀντεῖπον ἐγώ· ἀλλ' ἐστὶ καὶ ἕτερος κανὼν[4] λέγων· „τὰ ἰδιωτικὰ σύμφωνα τὸν κοινὸν νόμον οὐκ ἐναλλάσσουσι.“ καὶ εἶπεν ὁ μάγιστρος μὴ προσαρμόζειν τὸν τοιοῦτον κανόνα ἐνταῦθα.

[ο'.] Βι. κε' τί. ε' κεφ. λη'[5]· „Ἐὰν γυνὴ ἀπὸ τῆς ἐν τῇ προικὶ ὑποθήκης κρατῇ τὰ τοῦ ἀνδρὸς πράγματα, ἐν ᾧ μὴ προσφέρεται αὐτῇ τὸ χρέος, οὐκ ἀποσπῶνται τὰ ἐνέχυρα. εἰ δὲ προσωπικοί εἰσιν οἱ δανεισταὶ, καὶ μὴ διεδέξατο τὸν ἄνδρα, οὐδεμίαν ἔχουσι μετουσίαν.“

[οα'.] „Ἐπειδήπερ[6] πρὸς φιλανθρωπίαν ἅπασαν μὲν ὁ νόμος ὁρᾷ“ καὶ τὰ ἑξῆς. οὔτε[7] δὲ ὁ νόμος τὴν ἄπροικον λέγει γυναῖκα λαμβάνειν τὸ τέταρτον τῆς περιουσίας τοῦ ἀνδρὸς, ὥστε μὴ ὑπερβαίνειν τὴν τῶν ρ' λιτρῶν ποσότητα, ἀλλὰ μέχρι μὲν γ' παίδων[8], ὅσον εἷς παῖς λαμβάνει· κατὰ χρῆσιν δὲ ἔχειν τοῦτο

---

[1] Complura exciderunt, propter *ὁμοιοτέλευτα*, uti videtur. Puta supplendum: *ὁ δὲ μάγιστρος εἶπε καὶ κερδαίνειν τοῦ ἀνδρός.* [2] Cf. schol. Theod. ad Basil. XI, 1, 90 ed. Heimb. I p. 664. [3] Basil. II, 1, 35. [4] Basil. XI, 1, 38. [5] Apud Heimb. est c. 37. [6] Basil. XXVIII, 12, 1. Nov. 53 c. 6. [7] An *οὗτος*? [8] Desunt quaedam.

τὴν γυναῖκα, τὴν δὲ δεσποτείαν τοῖς ἐξ αὐτοῦ τοῦ γάμου παισὶν [φυλάττεσθαι], εἰ δὲ μὴ ἔχει παῖδας, καὶ κατὰ δεσποτείαν ἔχειν τοῦτο. εἰ δὲ καὶ πρεσβεῖον ἢ λέγατον καταλίποι ταύτης ὁ ἀνὴρ ἔλαττον τοῦ τετάρτου, καὶ τοῦτο ἀναπληροῦσθαι. εἰ δέ τινα πράγματα ἴδια ἔχει ἡ γυνὴ κατὰ τὴν οἰκίαν τοῦ ἀνδρὸς ἢ ἀλλαχοῦ ἀποκείμενα, τούτων τὴν εἴσπραξιν καὶ τὴν παρακατάσχεσιν ἐχέτω, ὑποκεῖσθαι τῶν τοιούτων πραγμάτων τοῖς τοῦ ἀνδρὸς δανείσμασι κατ᾽ οὐδὲν δυναμένων, [πλὴν εἰ μὴ καθ᾽ ὅσον τῶν ἐκείνου δικαίων] ἐκ τούτου τοῦ νόμου κληρονομεῖ. ταῦτα δὲ φαμὲν εἴπερ ἡ γυνὴ προῖκα μὴ ποιησαμένη ἀπόρως διάκειται, ὥστε τὸν μὲν ἄνδρα τελευτῶντα εὔπορον εἶναι, τὴν δὲ περιοῦσαν[1] *πένεσθαι· ἐπείτοιγε [εἰ] ἴσως ἀλλαχόθεν εὐποροίη, τὴν οὐκ εἰσενεγκοῦσαν προῖκα οὐκ ἂν εἴη δίκαιον βαρύνειν τοὺς παῖδας τῇ διαδοχῇ τοῦ τελευτήσαντος, διότι ἐστὶ*[2] *νόμος ἄλλος, τὴν προῖκα [μὴ] εἰσενεγκαμένην μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι διὰ προγαμιαίας δωρεᾶς. ὅπερ κἀνταῦθα βουλόμεθα κρατεῖν, πλὴν εἰ μὴ αὐτὸς ὁ ἀνὴρ ἢ πρεσβεῖον αὐτῇ ἢ μέρος ἐνστάσεως καταλίποι. γίνεσθαι γὰρ τοῦτο καταδοῦναι βασιλικὸν καὶ νόμιμον*[3] *τρόπον.“*

[οβ'.] *Ὅτι ἔγραψέ τις οὕτως· ἐὰν συμβῇ προτελευτῆσαι τὴν γυναῖκα ἄτεκνον, ἵνα ἀντιστρέφηται πρὸς τοὺς γονεῖς ἡ προῖξ καὶ τὸ στοιχηθὲν θεώρετρον καὶ τὸ ὑπόβολον. καὶ ἔγραψεν ὁ* μάγιστρος *οὕτως· δοκεῖ μὲν περὶ τὸ ὑπόβολον ἐκ τῆς τελευτῆς τῆς γυναικὸς οὐκ ἀσφαλῶς συμπεφωνῆσθαι, ἀλλὰ τῶν συμβαλλόντων προειρηκότων περὶ τοῦδε [τοῦ] ὑποβόλου συμφωνεῖν, καὶ τὸ κατ᾽ ἰδιωτίαν ῥηθὲν δυσφράστως πρὸς τὸν νόμον ὑπάγεται.*

[ογ'.] *Ὅτι ὅτε μὴ ἐπερωτηθῇ ἡ ἀνάδοσις τῆς προικὸς, σιωπηρῶς ὁ νόμος τῷ πατρὶ δίδωσι τὴν ἀναλαβήν. φησὶ βι. κθ' τί.* [α'] *κεφ.* [ριθ']· *„Ἐὰν ἐξωτικὸς προικίσῃ καὶ μὴ ἐπερωτήσῃ ἐπαναλαβεῖν τὴν προῖκα, ἡ γυνὴ ἔχει τὴν ἀπαίτησιν· ἐκείνου γὰρ μὴ ἐπερωτῶντος ἢ συμφωνοῦντος ἡ γυνὴ δοκεῖ ἐπερωτᾶν.“* Παραγραφή[4]· *„Ἐξωτικὸν δὲ νόει πᾶν πρόσωπον χωρὶς τῶν ἐξ ἀῤῥενογονίας ἀνιόντων καὶ ἐχόντων ὑπεξουσίαν τὴν προικιζομένην· οὗτοι γὰρ σιωπηρῶς δοκοῦσιν ἐπερωτᾶν, ἐπειδὴ καὶ τὸ παλαιὸν σιωπηρῶς εἶχον τὴν ἀνάληψιν τῆς προικός.“*

---

[1] Cod. *περιουσίαν.* [2] Cod. *ὁ.* [3] Basil. et Novella: *κατ᾽ οὐδένα βασκαίνομεν.* [4] In Basil. nostris haec *παραγραφὴ* partem textus constituit.

[οδ´.] Ὅταν[1] ζώσης τῆς γυναικὸς ὁ γάμος λυθῇ, κοινὴ ἡ ἀνάδοσις τῆς προικὸς γίνεται τοῦ τε πατρὸς καὶ τῆς θυγατρὸς, καὶ ὁ πατὴρ ἔχει ἀνάγκην ἀμείωτον ταύτην φυλάττειν τῇ θυγατρὶ εἰς δευτέρους ἀφικνουμένῃ γάμους, εἰ μὴ ἀπορία ἐπισυμβᾶσα πιέζει.

[οε´.] Ὅτι ἡ προικιζομένη ὑπεξουσία διατιθεμένη, εἰ μήτι περὶ τῆς προικὸς συμπεφώνηται, τὸ νόμιμον μέρος τοῖς γονεῦσιν ὀφείλει ἀποκληροῦν, ἐπεὶ καὶ οἱ τῶν παίδων αὐτεξούσιοι ἐπὶ[2] τοῖς ἰδίοις πράγμασι μεμνῆσθαι τῶν πατέρων ὀφείλουσι, καὶ εἰ μὴ τοῦτο δράσειεν ἐθελουσίως, ἡ κατὰ τῆς διαθήκης αὐτῶν ῥῆξις κινεῖται καὶ ἀπωλεῖται.

[ος´.] Ὅτι[3] ὁ μάγιστρος δικαιώσας πατέρα ἐκ θυγατρὸς, προικισθείσης καὶ διαθεμένης παρὰ τὸ σύμφωνον, τὸ τρίτον τῆς ὅλης περιουσίας λαβεῖν διὰ περίστασιν μετὰ καθαρῶν καρπῶν, τοῦτο ἐτύπωσε γράψας οὕτως· περὶ δὲ τῶν καρπῶν οὕτω φησὶν βι. [μα´] τί. [α´] κεφ. [ιε´]· „Ὅτε δήποτε σχῇ χώραν ὁ φαλκίδιος, οἱ καρποὶ τοῦ τρίτου ἀπὸ τελευτῆς τοῦ διαθεμένου κεχρεώστηνται τῷ κληρονόμῳ.“

[οζ´.] Ὅτι γυνὴ ἐν συνεστῶτι τῷ γάμῳ κινήσασα ἀπορίαν κατὰ τοῦ ἀνδρὸς, καὶ ὑποσχομένη ἀποκαρῆναι, καὶ λαβοῦσα οἰκόπεδον ἀκίνητον παρὰ τοῦ ἀνδρὸς, ἐκρίθη παρὰ τοῦ μαγίστρου οὕτως· τὸ οἰκόπεδον παρεδόθη τῇ γυναικὶ, ἐφ᾽ ᾧ εἰ μὲν βούλοιτο συνεῖναι τῷ ἀνδρὶ, τοῦτο δρᾶν ἀκωλύτως, συντηροῦσαν καὶ τὸ ἀκίνητον ἀνεκποίητον, εἴ τέ τι ἀπρόσοδον διὰ τοῦτο ἐκπορίζεσθαι μέλλει, ἐπὶ σχήματος οὕτως μένοντος· εἰ δὲ τὸ μονῆρες ὑπέλθοι, δυνατῶς ἔχειν τοῦτο ἐκποιεῖσθαι καὶ ἑαυτῆς προνοεῖν.

ΤΙΤΛΟΣ κς´.

Περὶ δανείου καὶ ἀναργυρίας καὶ περὶ ἀχρεωστήτων.

[α´.] Ἐὰν[4] δανείσῃς τινὶ, ἢ[5] δανείσω καὶ ἐγὼ αὐτῷ ἐπὶ τῷ ἐξελθεῖν καὶ πραγματεύσασθαι τήνδε τὴν πανήγυριν, καὶ ἐξέλθοι ὁ δανεισάμενος εἰς τὴν πανήγυριν, νικῶ ἐγὼ σὲ τὸν προγενέστερον δανειστὴν εἰς τὰ ἀγορασθέντα ἀπὸ τῆς πανηγύρεως φορτία καὶ λοιπὰ, ὡς δανείσας ἐπὶ τούτοις.

[1] Cf. Basil. XXIX, 1, 119. [2] Cod. videbatur habere κάπό. [3] Harm. V, 9, 10. — Cf. supra c. 65. [4] Harm. III, 5, 37. [5] Lege εἶτα.

[β΄.] Ἐάν[1] τις χρεωστῶν δανεισταῖς ἀπορῇ, καὶ περιελθοῦσαν αὐτῷ κληρονομίαν ἢ λεγάτον μὴ βούλεται λαβεῖν, οὐκ ἐνέχεται τοῖς δανεισταῖς ἐπὶ τῷ λαβεῖν. οὐ γὰρ ἀποκτᾶταί τι τῶν αὐτοῦ. ἐκεῖνος γὰρ ἐνέχεται ὁ ἔχων τὶ καὶ χρεωστῶν καὶ ἀποκτώμενος ὃ ἔχει· ἡ δὲ κληρονομία καὶ τὸ λεγάτον οὐ τῆς τοῦ χρεώστου περιουσίας εἰσὶν, ἀλλ᾽ ἐκ φιλοτιμίας περιῆλθον αὐτῷ. καὶ ἐπεὶ λαμβάνων αὐτὰ ὁ χρεώστης ἀναγκάζεται πάλιν παρέχειν τοῖς δανεισταῖς ταῦτα, μηδὲν ἐξ αὐτῶν παρακρατῶν, εἰκότως ὁ νόμος οὐκ ἀναγκάζει αὐτὸν μὴ βουλόμενον δέχεσθαι τὴν κληρονομίαν. κρεῖττον γὰρ ἡγεῖται τὸν ἀφ᾽ οὗ ἡ χάρις αὐτῷ μέλλει προσγίνεσθαι κερδῆσαι ταύτην, ἤπερ[2] τοὺς δανειστὰς ταῦτα λαβεῖν, μηδεμίαν ὠφέλειαν ἐνταῦθα τοῦ πρὸς ὃν ἡ δωρεὰ ἔχοντος.

[γ΄.] Ὅτι[3] ἐὰν ἐν συνεστῶτι τῷ γάμῳ δανείσηται ὁ ἀνὴρ παρά τινος ἐπὶ τῷ ἀγοράσαι οἰκήματα, καὶ γράψῃ τοῦτο καὶ ἐν τῇ ὠνῇ καὶ ἐν τῷ ὁμολόγῳ, ἐπιζητεῖ δὲ μετὰ διάλυσιν τοῦ γάμου ἡ γυνὴ τὴν προῖκα, νικᾷ τὸν δανειστὴν καὶ ἀναλαμβάνει τὰ οἰκήματα. [εἰ γὰρ καὶ περιέχεται τῷ ὠνεακῷ ὅτι ἐκ τῶν τοῦ δεῖνος νομισμάτων ἠγοράσθη τὰ οἰκήματα,][4] ἀλλ᾽ οὖν ὁ νόμος τοῦτο οὐ προσίεται διὰ τὰς κακουργίας τῶν ἀνδρῶν καὶ τὸ προνόμιον τῆς γυναικός.

[δ΄.] Ὅτι[5] ἐὰν συνεστῶτος τοῦ γάμου βουλόμενος ὁ ἀνὴρ ὠνήσασθαι προσέλθοι τινὶ περὶ δανείου, ὁ δὲ φοβούμενος τὴν προῖκα, τὰ μὲν νομίσματα μὴ παράσχῃ τῷ ἀνδρὶ, τῆς [δὲ] πράσεως γενομένης δώσει τὰ νομίσματα αὐτὸς ἐπὶ μαρτύρων, εἰς πρόσωπον δὲ τοῦ ἀνδρὸς ταύτην γενέσθαι παρασκευάσει, τότε ἡττᾶται ἡ προῖξ[6] ἐπὶ τοῖς οἰκήμασιν. οὐ γὰρ ὁ ἀνὴρ ἔλαβε τὰ νομίσματα καὶ ἐνέμιξε ταῦτα τῇ λοιπῇ αὐτοῦ ὑπάρξει καὶ τῆς γυναικος, ἀλλ᾽ ὡσανεὶ αὐτὸς ὁ δανειστὴς ἠγόρασε τὰ οἰκήματα, δοὺς αὐτὸς τὸ χρυσίον, κἂν εἰς τὸ πρόσωπον ἡ πρᾶσις τοῦ ἀνδρὸς ἐγένετο.

[ε΄.] Ὅτι ἐὰν μήτηρ ὑποδεξαμένη κληρονομίαν ὑπόχρεων αναμίξει ταύτην τοῖς οἰκείοις πράγμασιν, εἶτα ἔχουσα παῖδας τῷ ἑνὶ αὐτῶν παράσχῃ τὸ ἥμισυ τῆς πάσης αὐτῆς περιουσίας χωρὶς βάρους, τὸ δὲ ἕτερον ἥμισυ διανείμῃ τοῖς ἑτέροις παισὶ, καὶ κινηθῇ περὶ τοῦ χρέους δίκη, οὐ κρατεῖται ὁ τὸ πλέον ἔχων

---

[1] Harm. III, 5, 47. [2] Cod. εἴπερ. [3] Cf. Harm. IV, 8, 24. Et supra tit. XXV c. 5. [4] Haec exciderant propter ὁμοιοτέλευτα. [5] Cf. tit. XXV c. 6. — Harm. l. l. [6] Cod. προῖκα, ut lingua vulgari.

εἰς ἔκτισιν τοῦ χρέους, ἀλλὰ τὸ ἔσχατον σύμφωνον πρῶτον ἀποφλήσει τὸ χρέος· τούτου δὲ μὴ ἐξαρκοῦντος, καὶ ἐπὶ τῶν πρὸ αὐτοῦ καὶ ἐφεξῆς ἔρχεται ἡ ἐνοχή· ἀποδιδόντων δὲ τῶν ἐσχάτων συμφώνων τὸ χρέος, περὶ μόνου τοῦ φαλκιδίου κινοῦσι κατὰ τοῦ πρώτου, οὐ μέντοι περὶ παντὸς τοῦ χρέους.

[ς′.] Ὅτι ἐγγράφως δανεισάμενος, ἀγράφως λέγων ἀποδοῦναι τὸ χρέος, οὐκ ἀκούεται, εἰ μήγε πέντε μάρτυρες ἔλθωσι λέγοντες, ἐνώπιον αὐτῶν δοθῆναι τὸ χρέος, ἢ ἀκοῦσαι τοῦ δανειστοῦ λέγοντος, ὅτι ἀπέλαβον τὸ χρυσίον. ὡς βι. κα′ τί. α′ κεφ. θ′ [1].

[ζ′.] Ὅτι γυνὴ ἐδάνεισε χρυσίον τινὶ, καὶ ἔγραψεν ἐν τῷ δανείῳ, κοινὸν εἶναι τὸ χρυσίον αὐτῆς καὶ τοῦ ἀδελφοῦ [2], ἐκείνου μὴ παρόντος, ἀλλὰ μονάζοντος. καὶ οἱ τῆς μονῆς, ἐν ᾗ ἦν ὁ ἀδελφὸς, εἷλκον τὴν γυναῖκα ἀπαιτῆσαι ἐπειγόμενοι [3] τὸ μέρος. καὶ ὁ δικαστὴς ἀπεφήνατο, μὴ καλῶς κινεῖν αὐτοὺς, εἰπὼν, ὅτι „τὰ μεταξὺ ἑτέρων γινόμενα ἑτέρους οὐ βλάπτουσιν οὔτε ὠφελοῦσιν,“ καὶ ὅτι „οὐδὲ δι᾽ ἐλευθέρου προσώπου ἀγωγὴ προσπορίζεται,“ καὶ ὅτι „ὅτε ἐπερωτῶ ἐμαυτῷ ἢ πέτρῳ, οὔτε μεταφέρειν ἐνοχὴν οὔτε ἀπαιτεῖν οὔτε ἀποχὴν ποιεῖν ὁ πέτρος δύναται,“ καὶ ὅτι „ἐὰν ἐπερωτήσω ἐμοὶ ἢ πέτρῳ, οὐ καλῶς τῷ κληρονόμῳ αὐτοῦ καταβάλλει.“

[η′.] Ὅτι ὁ δανειστὴς οὐκ ὀφείλει ζητεῖν, ἵνα ἐν μεσεγγύῃ ἀπόθηται ὁ χρεώστης τὸ χρέος, καὶ τότε δικάσηται. ἀνάγνωθι βι. κδ′ τί. α′ κεφ. ις′ [4].

[θ′.] Ὅτι [5] ὁ ἀγοραστὴς δοὺς τὸ τίμημα τοῦ ἠγορασμένου δανεισταῖς εἰς ὑποθήκην ἔχουσι τὸ πραθὲν, καὶ ἀναλαβὼν τὰ γραμματεῖα, δοκεῖ ἐνυπόθηκος δανειστής. φησὶ γὰρ βι. κε′ τί. δ′ κεφ. γ′· „ὁ δανείζων ἐπὶ τῷ προγενεστέρῳ δανειστῇ, τουτέστιν ἐπὶ τῷ καταβληθῆναι τῷ προτέρῳ ἐν ὑποθήκῃ, οὐχ ὑπεισέρχεται τὸν τόπον αὐτοῦ, εἰ μὴ συμφωνήσει τὸ ἐνέχυρον ὑποκεῖσθαι αὐτῷ.“

[ι′.] Ὅτι ὁ δανείζων ἐγγράφως καὶ λαμβάνων μάρτυρας ἐν τῷ ἐγγράφῳ, εἰ μὲν ἐν ταύτῃ τῇ πόλει γίνεται τὸ ἔγγραφον, ὀφείλουσιν εἶναι καὶ οἱ μάρτυρες τῶν πολιτῶν καὶ τῶν γνωρίμων. εἰ δὲ ἐξωτικοί εἰσιν οἱ ὑπογράψαντες καὶ τῶν ἀγνωρίστων, εἰς κακὸν τοῦτο γίνεται τῷ λαβόντι τὸ ἔγγραφον· οὐ γὰρ εὐχερῶς πιστεύεται. διατί γὰρ μὴ τῶν πολιτῶν προσελάβετό

[1] Forte λθ′. Nam apud Heimb. est c. 42. [2] Cod. ἀνδρός. [3] Cod. ἐπηγ. [4] Heimb. c. 17. [5] Cf. tit. VI c. 3.

τινας; καὶ τοῦτο εἶναι ἔλεγεν ὁ μάγιστρος τὸ ἐν τῷ νόμῳ διειλημμένον καὶ τῇ νεαρᾷ τῇ περὶ μαρτύρων[1], ἔνθα λέγει· „ἐπὶ δὲ ταύτης τῆς εὐδαίμονος πόλεως, ἔνθα καὶ πλήθει μαρτύρων, θεὸς δὲ ἡγείσθω τοῦ λόγου“ καὶ τὰ ἑξῆς. ἐπὶ δὲ τοῖς ἔξω καὶ οἱ παρατυχόντες ὑπογράψωσι. καὶ γάρ τις ἀκολουθῶν κριτῇ καὶ δανείζων τινὶ καὶ λαμβάνων ἔγγραφον μάρτυρας πάντως προσλάβῃ τοὺς ἑπομένους τῷ κριτῇ, οὓς εἰκὸς ἐκ διαφόρων τόπων εἶναι· καὶ τοῦτο τὸ ἔγγραφον προκομίζων ὕστερον καὶ αἰτῶν βεβαιῶσαι τοῦτο, στερχθήσεται καὶ οὐκ ἀποπεμφθήσεται διὰ τὴν τῶν μαρτύρων τέως ἀδηλίαν. ζήτει τὸν τίτλον τὸν περὶ μαρτύρων[2].

[ια΄.] Ὅτι τὸ μιλιάριον[3] τὸ χιλιοστὸν λέγεται τῆς τοῦ χρυσίου λίτρας. μίλε γὰρ οἱ ῥωμαῖοι τὰ χίλια καλοῦσι, καὶ οὕτω κατεκερμάτισαν τὸ ποσὸν τῆς λίτρας, ἵνα σώζηται χίλια μίλλια, ἵνα ὦσι τιμῆς λίτρας μιᾶς.

[ιβ΄.] Βι. ιδ΄ τί. α΄[4] τί. τῶν διγ. α΄[5] βι. ιζ΄. Ὅτι δεκόκτωρ δεκόκτωρι οὐκ ἀντιτίθησι τὴν τοῦ στελλίονος παραγραφήν. ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ. οἱ χρεοκόποι ἐπονείδιστόν τι πρᾶγμά ἐστι, καὶ ἐάν τις χρεωστῶν τισι χρεοκοπήσῃ, εἶτα ἑτέρῳ δανείσας ἑλκύσῃ τοῦτον εἰς δίκην, ἀντιτίθησιν αὐτῷ ὁ χρεώστης παραγραφὴν ὡς χρεοκόπῳ, ἢ ἵνα μηδὲν αὐτῷ δῷ, ἢ τοσοῦτον, ὅσον ἐκεῖνος τοῖς δανεισταῖς αὐτοῦ δέδωκεν. εἰ δὲ καὶ ὁ χρεώστης τυχὸν πρὸς ἑτέρους ἐχρεοκόπησεν, οὐ δύναται ἀντιθεῖναι παραγραφήν· δεκόκτωρ γὰρ δεκόκτωρι οὐκ ἀντιτίθησι παραγραφήν. ἐν τοίνυν τῷ ιδ΄ βι. τῶν βασιλικῶν τί α΄ κεφάλαιον φράζον οὕτως κεφ. ι΄ θέ. ις΄· „Ἐὰν ὁ ἐγγυητὴς ἐξ οἰκείου προσώπου παραλείποι παραγραφὴν, ἥτινι ὁ ἐναγόμενος οὐκ ἠδύνατο χρήσασθαι, ἔχει τὴν περὶ ἐντολῆς ἀγωγὴν, εἴπερ οὐκ ἦν εὐπρεπὴς ἡ παραγραφή· εἰ δὲ παραγραφὴν, ἥτινι ο ἐναγόμενος ἠδύνατο χρήσασθαι, παρέλιπεν ἐν εἰδήσει, καὶ οὔτε τὸν ἐναγόμενον δυνάμενος ὑπέμνησεν, ὥστε αὐτὸν ἰδίῳ ἢ τῷ τοῦ συνηγόρου ὀνόματι δικάσασθαι καὶ ἀντιθεῖναι τὴν παραγραφὴν, οὐκ ἔχει τὴν περὶ ἐντολῆς ἀγωγήν.“ τυχὸν γὰρ πέτρος ἐδάνεισε παύλῳ, καὶ δέδωκεν ἐγγυητὴν ἰωάννην. ἐὰν οὖν ὁ ἰωάννης ἐναχθείς ποτε παρὰ τοῦ πέτρου κατέβαλε, καὶ μέλλει κινῆσαι κατὰ τοῦ παύλου τὴν μανδάτι, ἵνα λάβῃ ἅπερ δέδωκε, μὴ ἀντιθεὶς παραγραφὴν ἁρμόζουσαν ἀντιθεῖναι, ἄλλοτε μὲν ἐκβάλλεται παρὰ τοῦ παύλου παραγραφῇ, ἄλλοτε δὲ οὐκ ἐκβάλ-

---

[1] Nov. 90 c. 1. — Basil. XXI, 1, 46. [2] i. e. infra tit. XXX. [3] Potius μιλλιαρήσιον. [4] Basil. ed. Heimb. II p. 88. [5] Cod. τί. δὲ δ΄.

λεται. εἰσὶ γὰρ ἀνεπίληπτοι παραγραφαί· οἷον ὁ δανειστης προσωπικὸν ἐποίει σύμφωνον πρὸς τὸν χρεώστην, ἵνα μὴ ἀπαιτήσῃ αὐτόν· τοῦτο οὖν ἐὰν παραλίπῃ ὁ ἐγγυητής, εἰ μὲν εἰδὼς παρέλιπε, καταδικάζεται καὶ οὐδὲν λαμβάνει· εἰ δ᾽ ἀγνοῶν, λαμβάνει ὃ κατέβαλεν, αἰτιώμενος τὸν χρεώστην, διατί οὐκ εἶπεν αὐτῷ ἔχειν προσωπικὸν σύμφωνον. εἰ δὲ τῶν [οὐκ] ἐπαινουμένων ἦν ἡ παραγραφὴ, πάλιν ὑποδιαιρετέον. τυχὸν γὰρ καὶ ὁ δανείσας[1] ἐχρεοκόπησεν εἰς τοὺς αὐτοῦ δανειστὰς, ὁ δὲ ἰωάννης ἐγγυησάμενος[2] ἦν μὴ χρεοκοπήσας· καὶ εἰ τάχα ὁ μὲν δανείσας κινῶν κατὰ τοῦ δανεισαμένου ἐλάμβανε τὸ χρέος· οὐκ ἐδύνατο γὰρ ὁ δανεισάμενος παραγράψασθαι αὐτὸν ὡς χρεοκόπον, ἅτε καὶ αὐτὸς χρεοκόπος ὤν[3]· ὅμως ἐγγυητὴς[4] μὴ ὢν χρεοκόπος καὶ δυνάμενος ἐξ οἰκείου προσώπου ἀντιθεῖναι παραγραφὴν τῷ δανειστῇ, οὐκ ἐποίει τοῦτο, ἀλλὰ κατέβαλεν[5]. εἰ γὰρ εἶπεν αὐτῷ ὁ δανεισάμενος, ὅτι ἐγὼ μὲν οὐκ ἐδυνάμην ἀντιθεῖναι παραγραφὴν τῷ δανειστῇ μου, ὡς καὶ αὐτὸς τῷ τοῦ χρεοκόπου ἁμαρτήματι ἐνεχόμενος, σὺ δὲ μετὰ προκάταρξιν κύριος τῆς δίκης γενόμενος καὶ μὴ ὢν χρεοκόπος, ἠδύνασο τοῦ ὀνόματι ἤτοι ἰδίῳ ὀνόματι ἀντιθεῖναι τὴν παραγραφὴν, καὶ οὐκ ἂν νῦν ζημίᾳ περιέβαλές [με]· εἰ ταῦτα ἀντιλέγει ὁ δανεισάμενος πρὸς τὸν ἐγγυητὴν, ἀντιτίθησιν αὐτῷ δικαιολογίαν προσήκουσαν, ὅτι οὐδέν σε ἐξεβίασα[6]· σὺ γὰρ δεκόκτωρ ὢν παραγράψασθαι τὸν δανειστήν σου οὐκ ἠδύνασο ὡς δεκόκτωρα, καὶ ἀπαιτηθῆναι ὤφειλες· ἐγὼ δὲ διὰ τὴν σὴν ὠφέλειαν ὑβρίζειν ἕτερον οὐκ ἠδυνάμην· καὶ συγγινώσκεται ταῦτα λέγων ὁ ἐγγυητής. καὶ ταῦτα λέγειν δύναται ὁ ἐγγυητὴς, ὅτε ἀμφότεροι δεκόκτωρες ἦσαν ὅ τε δανειστὴς καὶ ὁ χρεώστης· εἰ δὲ ὁ μὲν δανείσας δεκόκτωρ ἦν, ὁ δὲ χρεώστης οὐκ ἦν δεκόκτωρ, καὶ ἠδύνατο ἀμέμπτως χρήσασθαι τῇ παραγραφῇ, οὐκ ἀδιαστίκτως βοηθεῖται ἐγγυητὴς μὴ προβαλλόμενος ταύτην. ἐξ οἰκείου μὲν γὰρ προσώπου μὴ προβαλλόμενος ταύτην, συγγινώσκεται, ὡς καὶ ἀνωτέρω εἴρηται. ἐκ δὲ προσώπου χρεώστου ταύτην[7] ἀντιθεῖναι, ἢ αἰδούμενον ταύτην[8] ποιῆσαι ὑπομνῆσαι τὸν παρόντα χρεώστην, καὶ εἰπεῖν αὐτῷ· πάρελθε καὶ τὴν ἄσημον παραγρα-

---

[1] Videtur addendum: *καὶ ὁ δανεισάμενος.* [2] Legerim *ὁ ἐγγυησ.*
[3] Sermo vix procedit. [4] Malim *ὁ ἐγγ.* [5] Deest aliquid, puta: *κινῶν οὖν κατὰ τοῦ δανεισαμένου τὴν μανδάτι λαμβάνει ὃ κατέβαλεν.* [6] Lege *ἐζημίωσα.* [7] Forte deest: *ὀφείλει,* ut deinde legendum sit *αἰδούμενος.*
[8] Malim *τοῦτο.*

φὴν ἀντίθες, ἐγὼ γὰρ αἰσχύνομαι ὑβρίζειν ἄνθρωπον δι' ὠφέλειαν σήν. εἰ δὲ μὴ παρόντος τοῦ χρεώστου οὐκ ἦν εὐχερὲς αὐτῷ τοῦτο ποιεῖν, συγγινώσκεται. ταῦτα μὲν τὸ δίγεστον· σὺ δὲ ζήτει, πότε ὁ ἐγγυητὴς τουο[1] νόμινε ἐνάγεται καὶ πότε οὔ, καὶ μετὰ τὴν νεαρὰν[2] τὴν λέγουσαν, πρῶτον μὲν εὐθύνεσθαι τὸν πρωτότυπον καὶ οὕτως τὸν ἐγγυητὴν, καὶ ἀνέσχαιτο[3] ὁ ἐγγυητὴς μὲν προβαλεῖν τοῦτο ἀλλὰ κατέβαλε, καὶ φιλοπονῶν εὑρήσεις καὶ τὰς λύσεις. οὐ γὰρ ἐν ἑνὶ κεφαλαίῳ δεῖ πολλὰ περιπλέκειν. καὶ λέγει ταῦτα[4]· ἐγὼ δὲ θαυμασίαν ἥγημαι τὴν τοῦ κυρίλλου περὶ λόγους δύναμιν. φράζει γὰρ οὗτος τὸ αὐτὸ κεφάλαιον· „εἰ ἄσημον παραγραφὴν παραλείπει ὁ ἐγγυητὴς, εἰ μὲν ἐξ οἰκείου προσώπου, συγγινώσκεται· εἰ δὲ ἐκ προσώπου τοῦ ῥέου, εἰδὼς καὶ δυνάμενος ὑπομνῆσαι αὐτὸν, ἵνα ἔλθῃ καὶ δικάσηται, οὐ συγγινώσκεται."

[ιγ'.] Ὅτι οἱ χρεῶσται τοῖς δανεισταῖς εἰς τὸ πᾶν καταδικάζονται. ἐὰν δέ τις χρεωστῶν ποιήσηται ἐκστάσιον, τουτέστιν εἴπερ ἐκστῇ τῆς οἰκείας περιουσίας λόγου χάριν χρεωστῶν λίτρας ιβ', εὑρεθῇ δὲ ἡ τούτου περιουσία λίτραι η', τὰς μὲν η' λίτρας λαμβάνουσιν οἱ δανεισταὶ, μένει δὲ ἔνοχος καὶ ἐπὶ ταῖς δ'. καὶ ἐὰν τυχὸν ὕστερον κτήσεται λίτρας γ', ταύτας μὲν ἀπαιτεῖται παρὰ τοῦ δικαστοῦ, ἀφίεται δὲ τῆς ἐνοχῆς τῆς μιᾶς λίτρας, καὶ οὐ μετὰ ταῦτα πάλιν εὐπορῶν ἐνέχεται τοῖς δανεισταῖς. τοῦτο γάρ ἐστι τὸ διαφέρον τοῦ ἐκστασίου[5], ὅτι εἰς τὴν δευτέραν ἀπαίτησιν ἀπαιτούμενος καὶ μικρᾶς παραλιμπανομένης ποσότητος ἀφίεται ταύτης, ὁ δὲ μὴ ὑποστὰς ἐκστάσιον χρεώστης, ἕως ἂν τὸ πᾶν ἀποδῷ, ἐνέχεται καὶ ἀπαιτεῖται· καὶ ὅτι ἀποδεχόμενος ὁ νόμος τὸν ποιοῦντα ἐκστάσιον ὡς γνώμῃ ἀγαθῇ ἀφιστάμενον τῆς οἰκείας περιουσίας τοῖς δανεισταῖς, διὰ τοῦτο ἐφιλοτιμήσατο αὐτῷ τὸ μὴ διαφόρως καθέλκεσθαι ὑπὸ τῶν δανειστῶν, ἀλλά τι τούτων παρακερδαίνειν. ὁ[6] δὲ ἀνὴρ μέχρι μὲν εὐπορίας καταδικάζεται τῇ γυναικί· οὐ γὰρ ἀφίεται πένεσθαι ὅ ποτε χρηματίσας κύριος τῆς γυναικός. οὐκ ἀφίεται δὲ τοῦ χρέους, εὐπορῶν τυχὸν ὕστερον, ἕως ἂν τὴν προῖκα πᾶσαν καταβάλῃ μέχρις εὐπορίας καταδικαζόμενος. ἐπὶ δὲ τοῖς ἐξωπροίκοις εἰς τὰ πᾶν καταδικάζεται. [οὕτως] ἡρμή-

---

[1] Forte σουο. [2] Nov. 4. [3] Num: ἂν ἠσχύνετο? [4] Addendum videtur ὁ στέφανος. Nimirum quae praecedunt ex indice Stephani hausta sunt, quem habes inter scholia Basil. l. l. — Cyrilli summa l. l. hodie non habetur. [5] Videtur aliquid deesse; forte legendum: τὸ διαφ. τοῦ χρησαμένου καὶ τοῦ μὴ χρησαμένου ἐκστασίῳ. [6] Cf. tit. XXV c. 63. — Harm. IV, 9, 25.

νευσεν ὁ σοφώτατος[1] τὴν διαφορὰν τοῦ μέχρις εὐπορίας καταδικαζομένου καὶ εἰς ὁλόκληρον.

[ιδ'.] Ὅτι διδομένου πρὸς τὸν δανειστὴν μέρους οἰκίας παρὰ τοῦ χρεώστου, ἔκρινεν ὁ δικάζων, ὅτι πρὸς ἀναλογίαν τοῦ χρέους τὰ κρείττονα καὶ εὐχρηστότερα τῶν οἰκημάτων ὁ δανειστὴς ἕξει, συνεπομένης καὶ διαιρέσεως ἀστενοχωρήτου, τὰ δὲ περισσεύοντα[2] τῷ χρεώστῃ καταλειφθήσεται· „καὶ[3] γὰρ οὐκ ἂν εἴη δίκαιον δόντα μὲν χρυσίον, χρυσίον δὲ λαβεῖν μὴ δυνάμενον, μὴ τὰ γοῦν καλλίονα τῶν τοῦ χρεώστου πραγμάτων λαβεῖν."

[ιε'.] Ὅτι[4] ἡ περὶ τοῦ δανείου ἀγωγὴ, εἰ μὲν προσωπικῶς χρηματισθῇ τὴν ἀρχὴν, τῇ παραγραφῇ λ' ἐνιαυτῶν σβέννυται, εἰ δ' ὑποθηκαρίως, εἰς μ' ἐκτείνεται. οὕτω δὲ τῶν ἀγωγῶν καὶ τῶν χρεῶν τυπουμένων, ὁ μὴ ἐῶν τῇ σιωπῇ κρατύνεσθαι τὴν παραγραφὴν, πεφαρτισμένως[5] ποιεῖ καὶ διακόπτει τὸν χρόνον. φησὶ γὰρ ὁ νόμος[6]· „ἡ διάταξις κελεύει, ἵνα ὁσάκις μὴ δύνηταί τις ἐνάγειν ἢ διὰ τὴν ἀποστασίαν τῶν νεμομένων ἢ διὰ τὴν ἡλικίαν ἢ διὰ τὴν μανίαν ἢ διὰ τὴν δυναστείαν, προσέλθῃ τῷ ἄρχοντι" καὶ τὰ ἑξῆς.

[ιϛ'.] Ὅτι ὁ υἱὸς οὐχ ὑπόκειται τοῖς δανεισταῖς τοῦ πατρὸς μὴ λαβὼν κληρονομίαν.

[ιζ'.] Φησὶ βι. κε' τί. η' κεφ. θ'[7]· „Ἐὰν τὸ κατὰ συναίνεσιν τοῦ δανειστοῦ πραθὲν ἔλθῃ πάλιν εἰς τὸν χρεώστην, παραγραφόμενον τὸν χρεώστην ἀντιπαραγράφεται, ἕως οὗ πληρωθῇ. εἰ δὲ κατὰ γνώμην ἀγοράσω τοῦ δανειστοῦ ἢ παρ' ἑτέρου ἐξ αὐτοῦ ὠνησαμένου, καὶ γένωμαι τοῦ χρεώστου κληρονόμος, οὐκ ἐκδικεῖται παρ' ἐμοῦ, εἰ μὴ δόλον ἐποίει ὁ χρεώστης εἰς τὸ μὴ καταβαλεῖν τῷ δανειστῇ. εἰ δὲ κἀγὼ τὸ ἀγορασθὲν ἐνεχυράσω ἑτέρῳ, καὶ ἐκδικεῖ αὐτὸ ὁ συναινέσας τῇ πράσει, ἐκβάλλεται τῇ παραγραφῇ, ἐν ᾧ τὸ ἱκανὸν οὐ γέγονε τῷ λαβόντι παρ' ἐμοῦ. ἀσφαλὲς γοῦν ἐστιν, ὁσάκις συναινεῖ τῇ πράσει ὁ δανειστὴς, λαμβάνειν[8] αὐτὸν ἀσφάλειαν παρὰ τοῦ ἀγοραστοῦ, ὡς ἐκ τοῦ τιμήματος δίδωσιν αὐτῷ τὸ χρέος."

[ιη'.] Καὶ βι. κβ' τί. α' κεφ. κγ'[9]· „Ἐὰν χιωθῇ τὸ γραμματεῖον, ὁ χρεώστης ἠλευθέρωται κατὰ πρόληψιν, εἰ μὴ δείξει ὁ δανειστὴς ἔτι κεχρεωστῆσθαι."

---

[1] An μάγιστρος? [2] Cod. περιτελεύοντα habere videbatur. [3] Basil. XXVI, 2, 1 ex Nov. 4 c. 3. [4] Harm. III, 5, 90. [5] Legerim πεφροντ. [6] Basil. L, 15, 2. [7] Heimb. c. 8. [8] Cod. μὴ λαμβ. [9] Heimb. c. 24.

[ιθ'.] „Ἐὰν[1] κεχρεωστημένος παρὰ σοῦ φιδεϊκόμισσον[2], καὶ διαφόρως ἀντιχρεωστήσας σοι καταβάλλω μὴ ἀντιλογισάμενος, κατὰ χάριν δοκῶ αὐτὸ συγχωρεῖν.“

[κ'.] Καὶ βι. ιθ' τί. ι' κεφ. λβ'[3]· „Ἐὰν διὰ τὸ μόνον περιγράψαι τοὺς δανειστάς μου ἀνατρέψω τὴν πρᾶσιν, ἐνέχεται αὐτοῖς ὁ πράτης.“

[κα'.] Καὶ βι. β' τί. δ' κεφ. θ'· „Ἀφήλιξ δανείσας ὑπεξουσίῳ βοηθεῖται.“

[κβ'.] Ὅτι ἐδάνεισέ τίς τινι, καὶ συνεφώνησε καὶ τόκον, λαβὼν εἰς ὑποθήκην πράγματα. εἶτα τελευτῶν ἔγραψεν ἐν τῇ διαθήκῃ, ὅτι εἰ μὲν ὁ χρεώστης εὐσυνθετήσει τῇ ἀποδόσει καὶ ἀφιλονεικῶς δώσει τὸ κεφάλαιον, ἵνα παρακερδήσῃ τοὺς τόκους· εἰ δὲ μή, ἵνα εὐθύνεται εἰς πάντα. οὐκ ἀπέδωκε τὸ δάνειον ὁ χρεώστης. ἐκινήθη ἡ δίκη, καὶ ἔκρινεν ὁ μ ά γ ι σ τ ρ ο ς· δυοῖν θάτερον πρὸς ἀνάγκης εἶχεν ὁ ὀφειλέτης δρᾶν, ἢ πάσης δίκης χωρὶς τὸ δάνειον καταβαλεῖν καὶ τοῦ τόκου τὴν ἐλευθερίαν σχεῖν, ἢ τοῦ ὑποτεθέντος κτήματος ἐκστῆναι τῷ τοῦ δανειστοῦ κληρονόμῳ, λογιζομένῳ μὲν ἀντὶ τοῦ χρέους τοῦτο, ἔχοντι δὲ ἀγωγὴν καὶ τοὺς τόκους ζητεῖν. ἀλλὰ καὶ τοιαύτης ἀποφάσεως διὰ τὸ φιλάγαθον ἐκφωνηθείσης[4]. ὃ γὰρ ὀφείλεται ἤδη ἔφθασε τῇ ἐξ ὑπερθέσεως καταδίκῃ ἑαλωκὸς διὰ τὸ ὑπερημερίαν ἐλέσθαι, ὅμως καὶ τούτου τελευτήσαντος ὁ κληρονόμος αὐτοῦ κατέχων τὴν ὑποθήκην δίκας ἑτέρας ἐκίνει καὶ πρὸς τὴν καταβολὴν ἐξυπτίαζεν· διὸ καὶ δεδικαίωται ὁ δανειστὴς λαβεῖν τὸ τῆς ὑποθήκης μέρος ἀντὶ τοῦ τυπωθέντος μέρους, δεδικαίωται δὲ καὶ τῶν ἐκμετρηθέντων ἐνιαυτῶν τόκους ἐπιζητεῖν τοὺς ἀπὸ τρίτης ἑκατοστῆς· πρωτοσπαθάριος γὰρ ἦν.

[κγ'.] Ὅτι ἐπίτροπός τινος λαβὼν παρά τινος χρέος τοῦ ἐπιτροπευομένου, ἔγραφεν ἀπόδειξιν, ὡς ἀπέλαβεν ὁ διαθέμενος τόδε· ὅπερ οὐκ ἦν ἀληθὲς, ἀλλ' ἐκ λόγων ἑτέρων ἔγραψεν ὁ ἐπίτροπος. εἶτα ὁ δοὺς τὸ χρυσίον πάλιν ἀνελάβετο τοῦτο ἀπὸ τοῦ ἐπιτρόπου, καὶ ἐκίνει ὁ π ρ ω τ ο σ π α θ ά ρ ι ο ς λ έ ω ν ὁ ἐπίτροπος, ὅτι [ὁ] διαθέμενος οὐκ ἀπέλαβεν, ὅπερ ὡμολόγησε λαβεῖν αὐτόν. ἐπεὶ οὖν οὐ περὶ οἰκείου ἔργου ὡμολόγησεν ὁ ἐπίτροπος, ἀλλὰ περὶ πράγματος ὑπὸ τοῦ διαθεμένου γεγονέναι[5], ἡ δὲ ἀπόδειξις τοῦ ἐπιτρόπου τέλος οὐκ ἔσχε τῶν πραγμάτων πάλιν ἀναληφθέντων, ὁ τοῦ ἀχρεωστήτου λόγος οὐ κέκλεισται.

---

[1] Basil. XXII, 1, 26. [2] Cod. φιλικός habere videbatur. [3] Cf. Suppl. ed. Basil. Heimb. p. 279. [4] Nonnulla excidisse videntur. [5] Adde λεγομένου.

[κδ'.] Ὅτι καὶ τοῖς διὰ πραγμάτων ἄγνοιαν σφαλεῖσι συγγινώσκοντες βοηθοῦσιν οἱ νομοθέται, ἀλλ' ἀναγκασθήσονται οἱ τὴν ἀσφάλειαν ἀπαιτήσαντες ἢ δεῖξαι τὴν δόσιν ἢ τὴν ζημίαν θεραπεῦσαι τῷ μέρει τοῦ ἀπελθόντος.

[κε'.] Ὅτι ἐδανείσαντο οἱ μοναχοὶ τοῦ πελεκάνου παρά τινος, καὶ δεδώκασιν ἐνέχυρα· ὑπέγραψε δὲ ἐν τῷ δανείῳ καὶ ὁ τὴν κυριότητα ἔχων τῆς μονῆς. εἶτα τελευτήσαντος ἐκείνου ἐκίνησαν οἱ δανεισταὶ περὶ τοῦ χρέους· οἱ δὲ μοναχοὶ ἀντέλεγον, τὸν κατὰ δωρεὰν[1] ἔχοντα τὴν μονὴν δεῖ εὐθύνεσθαι, καὶ ὁ ἐπίτροπος ἐκείνου ἀντέθεικεν, ὅτι ἠλευθερώθη οὗτος παρὰ τοῦ βασιλέως εὐθύνεσθαι ὑπὲρ τῆς μονῆς διὰ τὸ μηδὲν ἐκεῖθεν συναγαγεῖν. καὶ ἔκρινεν ὁ μάγιστρος, τοὺς δανειστὰς ἀπολαβεῖν τὸ χρέος ἀπὸ τῆς μονῆς, καὶ δέδωκε τετράμηνον ὅρον εἰς καταβολήν, τούτου δὲ παρῳχηκότος καὶ ἑτέρου τετραμήνου ὅρον προσέθηκε, καὶ τότε ἀπεφήνατο τὸ ἱκανὸν τοῦ χρυσίου γενέσθαι τοῖς δανεισταῖς ἐκ τοῦ ἐνεχύρου, τιμωμένου δικαίως· καὶ λείποντος ἀναπληροῦσθαι τούτους τὸ λεῖπον. ἔγραψε γὰρ οὕτως· ἔνθεν καὶ δεδικαίωται τὸ ἱκανὸν εὑρεῖν ἀπὸ τοῦ ἐνεχύρου, εἴπερ ἐξαρκείη, τιμωμένου δηλαδὴ δικαίως, καὶ ἢ παραδιδομένου ἢ καὶ διαπωλουμένου, ὁπότερον ἂν εἴη δίκαιον· ἢ καὶ δι' ἑτέρας ὑποστάσεως τῆς μονῆς, εἰ ἄρα[2] καὶ ἐνδεῶς ἔχον φανείη τὸ ἐνέχυρον. τοῖς δὲ μοναχοῖς οὐκ ἀποκέκλεισται κινεῖν κατὰ τοῦ ἔχοντος τὴν κυριότητα τῆς μονῆς, εἴγε μὴ ἀποδείξῃ τὸ μέρος ἐκείνου, ὡς ἠλευθέρωται παρὰ τῆς βασιλικῆς θειότητος. τὸ γὰρ ὑπὸ τῆς βασιλικῆς κρινόμενον ἐξουσίας τῆς ἔξωθεν οὐκ ἄν ποτε δεηθείη διατυπώσεως.

[κϛ'.] Ὅτι δανείσας τίς τινι καὶ ἐγγυητὴν τὸν αὐτοῦ [θεῖον] προσελάβετο. εἶτα ὁ δανεισάμενος λαμβάνει γυναῖκα, καὶ ἀπαιτεῖ τὸ χρυσίον ὁ δανειστὴς ἀπὸ τοῦ ἐγγυητοῦ, καὶ πάλιν ὁ ἐγγυητὴς ἀπαιτεῖ τοῦτο ἀπὸ τοῦ χρεώστου συνεστιῶτος τοῦ γάμου, καὶ γίνεται ἄγραφος ἀπόδειξις, ὁμολογοῦντος τοῦ ἐγγυητοῦ, ὅτι ἐκρατήθη αὐτὸς παρὰ τοῦ δανειστοῦ καὶ εἰσεπράχθη τὸ χρέος καὶ νῦν ἀπολαμβάνει τοῦτο. τελευτᾷ ὁ χρεώστης. ἀνίσταται ἄπορος γυνὴ ἐπιζητοῦσα τὴν προῖκα· ἕλκει τὸν δανειστὴν ὡς ἀπολαβόντα τὸ χρέος· προκομίζεται ἡ ἀπόδειξις τοῦ θείου, καὶ καταδικάζεται ἐκ ταύτης ἡ γυνή. καὶ ἐσημειώσατο ὁ μάγιστρος οὕτως· εἰ μὲν ὁ χρεώστης ἐξέτισε τὸ χρέος τῷ δανειστῇ, ἦν ἂν ἐνδύναμος παραγραφὴ τῇ γυναικὶ περιγραφείσῃ.

[1] An δεσποτείαν? [2] Cod. γάρ.

ὁ γὰρ δανειστὴς, ὑπόπτως ἔχων πρὸς τὴν τοῦ χρεώστου περιουσίαν, ἐγγυητὴν προσέλαβε, ὥστε εἰ μὲν τὸν ἐγγυητὴν[1] εἰσεπράξατο, ὃς, κἂν ἀπόρως εἶχεν ὁ χρεώστης, εὐθύνεσθαι ὤφειλεν. εἰ δὲ ὁ χρεωστῶν πρὸς περιγραφὴν ὕστερον τῆς αὐτοῦ γυναικὸς, θεραπεύειν ἐθέλων τὸν ἐγγυητὴν, χρυσίον αὐτῷ παρέσχεν, κατ᾽ οὐδὲν προκριματίζει τοῦτο τὸν δανειστήν.

[κζ΄.] Ὅτι ἐπιλογὴ δίδοται τῷ δανειστῇ ἐπὶ τῷ λαβεῖν ὃ βούλεται τῶν τοῦ χρεώστου μὴ χρυσίον ἀπολαμβάνοντι. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος· ἐδικαιώθη ὁ δανειστὴς ἀπολαβεῖν τὸ χρυσίον διὰ κινητῆς ἀγωγῆς[2], ὁποῖαν αὐτὸς ἐπιλέξεται ἐκ τῶν ἐν τῷ θέματι τῶν θρακησίων· ἐπεὶ γὰρ ἠξίου ἐκ τῶν ἐν τῷ ῥαιδεστῷ διακειμένων ἱκανωθῆναι, ὁ δὲ χρεώστης τοῦτο[3] ἔχειν μᾶλλον εἵλετο, οὐκέτι δευτέρα ἐπιλογὴ κατὰ τῶν θρακησίων τῶν ἅπαξ ἐπιλεγομένων δοθήσεται, ἀλλ᾽ ὁ δανειστὴς τὴν ἐπιλογὴν ἕξει. καί φησι βι. [κς΄ τί. β΄ κεφ. α΄]· „ἐπὶ μὲν τῆς εὐδαίμονος ταύτης πόλεως οἱ ἐνδοξότατοι τῆς ἡμετέρας πόλεως ἄρχοντες κατὰ τὴν ἑκάστῳ τεταγμένην παρὰ τοῦ νόμου ἡμῶν δικαιοδοσίαν, ἐν δὲ ταῖς ἐπαρχίαις οἱ τῶν ἐθνῶν ἡγεμόνες παρασκευαζέτωσαν ἀκριβοῦς διατιμήσεως γενομένης τοῦ πράγματος τοῦ χρεωστήσαντος δίδοσθαι πρὸς ἀναλογίαν τοῦ χρέους κτῆσιν ἀκίνητον τοῖς δανεισταῖς“ καὶ τὰ ἑξῆς.

[κη΄.] Καὶ βι. [κδ΄ τί. ζ΄ κεφ. ζ΄]· „Ταῖς κληρονομαίαις περὶ χρεῶν ἀγωγαῖς οἱ κληρονόμοι κατέχονται, οὐχὶ οἱ λεγατάριοι.“

[κθ΄.] Ὅτι ἀδιάθετός τις τελευτήσας ἐπὶ πολλοῖς δανεισταῖς ἔλιπεν οἰκίαν· ὁ δὲ κληρονόμος ἐκείνου ἐλπίζων ἔχειν τὸν οἶκον, κατέβαλε χρέα. εἶτα ἀπεφάνθη δίκη καὶ ἐξεκινήθη ὁ οἶκος, καὶ ἐσημειώσατο ὁ μάγιστρος, ἵνα ἅπερ δέδωκε χρέα ὁ κληρονόμος ἀναλάβηται· γράψας οὕτως· πολλοῖς ζημιώμασι περιγραφεὶς ἐπεὶ τοῦ οἴκου δικαστικαῖς ἀποφάσεσιν ἀπεστερήθη, εἰκότως καὶ ἃ τούτου ἕνεκεν ἐζημιώθη, δίκαιον ἔσχεν ἀναλαβεῖν, ὡς ἐπὶ ἀχρεωστήτου παρασχεθέντος νενόμισται· οὐ γὰρ ᾔδει καταβαλὼν ἀχρεώστητόν πως, ὅσγε οὐδὲ τὰς μελλούσας κινηθῆναι ἀγωγὰς ἠπίστατο· ὡς οὖν ἐν ἀγνοίᾳ τὸ μὴ χρεωστούμενον καταβαλὼν τόν τε ἰνδέβιτον κονδικτίκιον ἁρμοζόντως ἐκίνησε, καὶ δεδικαίωται ἀπολαβεῖν ἃ κατέβαλεν.

---

[1] Legerim: ὥστε ἂν ἐκ τοῦ ἐγγυητοῦ. Sed forte exciderunt nonnulla.
[2] Haec corrupta sunt. Fortasse legendum: διά τινος τοῦ χρεώστου γῆς.
[3] Malim ταῦτα.

Τ Ι Τ Λ Ο Σ κζ'.

Περὶ μεταθέσεως[1] χρέους.

[α'.] Τότε[2] γίνεται μετάθεσις χρέους, ὅτε ῥητῶς συμφωνήσει τὶς, ὅτι ἀφίημι τὸν πρότερον τῆς ἐνοχῆς καὶ λαμβάνω νῦν σέ. ὡς ἐπὶ τούτου τοῦ θέματος· ἐδάνεισέ τίς τινι καὶ ἔσχεν αὐτὸν ἔνοχον· εἶτα μὴ ἐνδημοῦντος αὐτοῦ ἠνάγκασε τοὺς αὐτοῦ ἐκτίσαι τὸ χρέος· τῶν φίλων τὶς τοῦ χρεώστου προσῆλθε τῷ δανειστῇ λέγων οὕτως· ἐγὼ ὑπεμβάλλω ἐμαυτόν σοι, καὶ ἀποτίννυμι τὸ χρέος τοῦ φίλου. ἐὰν οὖν γένηται συμβόλαιον, περιέχον ῥητῶς οὕτως· ὅτι ἀφίημι τὸν πρῶτον χρεώστην τῆς ἐνοχῆς, ἀθωοῦται ὁ πρῶτος. ἐὰν δὲ μὴ ἐμφέρηται ῥητῶς τό· ἀφίημι ἐκεῖνον, ἀλλ' ὅτι τυχὸν, ἐπεὶ ἐκεῖνος ἀπῆν καὶ ηὐθύνετο ἡ ἐκείνου περιουσία, ὑπεισῆλθον ἐγὼ, ἵνα ἀποδώσω τὸ χρέος, τότε ἐνόχους ἔχει τοὺς δύο [ὁ] δανειστὴς, καὶ πρώτως μὲν, εἰ ευπορεῖ, ὁ ὑπεμβαλὼν ἑαυτὸν ἐνέχεται· εἰ δὲ ἀπορεῖ, κρατεῖται ὁ πρωτότυπος καὶ οὐκ ἔχει παραγραφήν. εἰ δὲ ἀποροῦντος τοῦ δευτέρου εἰσί τινες προγενέστεραι ἐνοχαὶ νικῶσαι τὸν χρόνον τῆς νοβατίωνος, τότε ἐξ ὀρθοῦ κατὰ τοῦ προτέρου ἐνόχου ἔχει τὴν ἀγωγὴν ὁ δανειστής.

[β'.] Ὅτι ἐν τῇ μεταθέσει τοῦ χρέους λύονται τὰ ἐνέχυρα, εἰ μὴ ἰδικῶς συμφωνηθῇ, ὥστε μένειν ἐπὶ σχήματος τὰ ἐνέχυρα.

[γ'.] Ὅτι ἐδανείσατό τις ἀγράφως ἐπὶ τῷ δεσμῶν ἀπολύσαι τινὰ, εἶτα [ὁ] ἐξελθὼν τῆς φυλακῆς ἐποίει χάρτην. καὶ κινηθέντος τοῦ χρέους ὁ μὲν δανεισάμενος ἔλεγε τὸν ἀπολυθέντα τῆς φυλακῆς ὕστερον ἀναδέξασθαι τὸ χρέος, ὁ δὲ δανείσας τὸ ἔγγραφον οὐκ ἐδείκνυ. καὶ ἔκρινεν ὁ μάγιστρος, εἰ μὲν ἐμφανισθῇ τὸ ἔγγραφον, καὶ εὑρεθῇ μὴ ἕτερον ἔχον χρυσίον ἀριθμηθῆναι τῷ ἀπολυθέντι καὶ μετάθεσιν ἔχον τῆς ἐνοχῆς, ἀπαλλάξει τὸν πρώτως δανεισάμενον· εἰ δὲ μηδὲν τοιοῦτον εἶναι ἔχον, μείνῃ καὶ οὕτως ἔνοχος ὁ δανεισάμενος. ἐπεὶ καὶ νόμος[3] φησί· „πᾶν πρᾶγμα μεταφέρεται, ἐὰν ἐπὶ τῷ μεταγαγεῖν ἐπερωτήσωμεν· ἐπείτοιγε δύο εἰσὶν ἐνοχαί.“ ὅπως δὲ γίνεται μετάθεσις, λέγει ὁ νόμος[4]· „ἐάν τις ἢ ἄλλο πρόσωπον προσλάβῃ, ἢ ἐναλλάξῃ, ἢ ἐνέχυρα λάβῃ, ἢ τὸ χρέος αὐξήσῃ ἢ μειώσῃ[5], ἢ αἵρεσιν ἢ χρόνον προσθήσῃ, μὴ εἶναι τοῦτο χρέους

---

[1] Cod. διαθέσεως. Recte autem Index: μεταθ. [2] Harm. III, 5, 84.
[3] Basil. XXVI, 4, 2. [4] Basil. XXVI, 4, 42. [5] Cod. ζημιώσῃ.

ἀνακαινισμὸν, εἰ μὴ ἰδικῶς τοῦτο ῥηθῇ, ὅτι ἀπὸ τοῦ παλαιοῦ ἀναχωροῦμεν χρέους. ἡμεῖς γὰρ τοῖς ῥήμασιν προσέχομεν τοῖς οὖσιν, οὐ μὴν ἑρμηνείᾳ.“ ἀνάγνωθι βι. [κς′] τί. [δ′] κεφ. [μβ′][1].

[δ′.] Ὅτε μὴ ὁρισθῇ κατὰ μέρος ἡ κληρονομία, ἀλλ᾽ ὀνομαστὶ τὰ πράγματα διανεμηθῶσι, τότε κἂν οἱ μὲν μείζονα ἔχωσιν οἱ δὲ ἐλάττονα, ἐξίσου διδόασι τὰ χρέα[2].

[Τ Ι Τ Λ Ο Σ κη′.

Περὶ ἐλευθέρων καὶ δούλων.][3]

[α′.][4] Ὅτι δοῦλος συνήθειαν ἔχων πρὸς ἐλευθέραν[5] καὶ παῖδα ἐξ αὐτῆς ἀπογεννήσας, μὴ γνόντος τοῦ δεσπότου τὸ γεγονὸς, οὐκ ἠκούσθη πρὸς ἐλευθερίαν ἀναβοῶν, οὐδὲ ἡ ἀπελευθέρα προβαλλομένη τὸν χρόνον τῆς πρὸς τὸν δοῦλον συναφείας καὶ τὸν τόκον τῶν παίδων. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος ἐπὶ τοῦ δούλου τοῦ ἀσηκρῆτις, σημειωσάμενος· ἐφ᾽ οἷς ἐρυθριᾶν ἔδει τὴν γυναῖκα καὶ συγγνώμην αἰτεῖν, τούτοις ἰταμῶς τε καὶ ἀναισχύντως ἐπεθάῤῥει καὶ ἐνηβρύνετο. ἀλλ᾽ ὁ δικάζων νόμοις ἑπόμενος τῆς τοιαύτης ψυχρολογίας καὶ αὐθαδείας λόγον οὐκ ἔθετο. ὧν μὲν γὰρ ἀνάγκη τοὺς δεσπότας παραχωρεῖν τοῖς οἰκέταις ἕτερα τυγχάνει, διὰ πορνείαν δὲ καὶ μιαρείαν δουλείας ἀπόστασιν οὐδαμῶς, ὡς ἂν μὴ αἰσχρότητος ἆθλον ἐλευθερία γένοιτο.

[β′.] Ἀνάγνωθι βι. κβ′ τί. α′ κεφ. ς′[6]· „Ἐὰν μὴ δείκνυται εἰ παρὰ τῷ πράτῃ φυγὰς ἦν ὁ δοῦλος, τῇ ἐμβασάνῳ αὐτοῦ ζητήσει πιστεύομεν· καθ᾽ ἑαυτοῦ γὰρ ἐρωτᾶσθαι δοκεῖ, οὐ μὴν κατὰ δεσπότου.“ καὶ βι. κά τί. α′ κεφ. κη′[7].

---

[1] Sic numeros restituo, nisi forte haec verba: ἀνάγνωθι κ. τ. λ. pertinent ad c. 4, quem tamen locum in Basilicis nostris non invenio. [2] In Cod. hic statim sequitur caput Ὅτι δοῦλος συνήθειαν. Id tamen cum titulo de novatione nihil commune habet, sed vindicandum est titulo de liberis ac servis, quem Index numero XXVIII exhibet. Itaque lacuna hoc loco in Codice est, in cujus prototypo fortasse integrum folium exciderat, quod contineret finem tit. XXVII et initium tit. XXVIII. Nonnulla, quae ad tit. XXVII pertinere olim potuerint, praestant Harmenopulus et scholia Basilicorum. [3] Ex Indice supplevi: in Codice numerus et rubrica tituli deest propter lacunam, de qua nota ultima ad tit. XXVII dixi.
[4] Cap. 1 vocavi, quamquam priora hujus tituli capita omnino deesse videantur. Fortasse olim inter ea legebantur, quae ἐκ τῆς πείρας τοῦ ῥωμανοῦ praestant scholia Basil. ed. Heimb. V p. 757. [5] Malim ἀπελ. [6] Apud Heimb. c. 7.
[7] Heimb. c. 32.

[γ´.] „Ὁ[1] παρὰ δεσπότου πεμφθεὶς καὶ διάγων ἐπὶ ξένης καὶ ἀκούσας ἐνδιαθήκως ἐλευθερῶσθαι, ἐὰν ὡς ἐλεύθερος μείνῃ χαριζόντ...[2], οὐκ ἐστὶ φυγάς· ὁ γὰρ ἐν τῷ ψεύδεσθαι ἐλευθερῶν ἑαυτὸν ἄρχεται φυγὰς εἶναι."

[δ´.] Καὶ τί. α´[3] κεφ. λβ´[4]· „Οὔτε τοῖς μεγάλοις ἐγκλήμασιν ὑποκειμένους δούλους οἱ δεσπόται δι' ἑαυτῶν ἢ διὰ τῶν διοικούντων τὰ πράγματα αὐτῶν δύνανται πωλεῖν ἐπὶ τῷ θηριομαχῆσαι."

[ε´.] Καὶ κεφ. νϛ´[5]· „Ἐὰν πωλήσω δούλην ἐπὶ ὅρῳ τοῦ μὴ προστῆναι, καὶ ὥστε ἐξεῖναί μοι αὐτὴν ἀφαιρεῖσθαι εἰ προστῇ, φυλάττεταί μοι τὸ σύμφωνον, κἂν εἰς πολλοὺς ἀγοραστὰς περιέλθῃ."

[ϛ´.] Ὅτι ὁ μάγιστρος ἔκρινε τοὺς εἰσεληλυθότας δούλους εἰς τὴν νῆσον γαζουρὰν[6] καὶ διαρπαγὴν ποιήσαντας τῶν πραγμάτων, ἐκδοθῆναι εἰς ἱκάνωσιν τῆς ζημίας. ἔφη γάρ· εἰ καὶ μὴ γινώσκοντος τοῦ κυρίου αὐτῶν ἥμαρτον, κἂν παρὰ γνώμην αὐτοῦ ἐπείσθησαν ἑτέροις καὶ ἐποίησαν τὸ ἁμάρτημα, ὀφείλουσι τὴν ζημίαν ἐκτιννύειν. εἰ γὰρ καὶ μόνοι ἐπελθόντες ζημίαν κατά τινος εἰργάσαντο, ἀνάγκην ὁ δεσπότης τούτων εἶχεν ἢ τὸ ἱκανὸν ποιεῖν ἢ τῶν οἰκετῶν εἰς νόξαν καταδικαζομένων ἀνέχεσθαι.

[ζ´.] Καὶ βι. ιθ´ τί. ϛ´ κεφ. τελευταῖον[7]· „Ὁ θάνατος τῆς πραθείσης θεραπαίνης συμβὰς μετὰ τὴν πρᾶσιν, τῷ ἀγοραστῇ κινδυνεύεται μόνῳ· εἰ μὴ ἀπὸ πάθους ἀρχαιοτέρου τῆς πράσεως ἐτελεύτησεν."

[η´.] Καὶ τί. ζ´ κεφ. γ´[8]· „Ἐὰν πωλήσω δούλην ἐπὶ τῷ εἴσω ῥητοῦ χρόνου ἐλευθερωθῆναι, γίνεται ἐλευθέρα, ἐὰν ἐπὶ τῆς αὐτῆς ἔμεινα γνώμης. ἡ δὲ τοῦ κληρονόμου γνώμη οὐ ζητεῖται."

[θ´.] Καὶ κεφ. ζ´[9]· „Ἐὰν πωλήσας σοι δοῦλον εἴπω εἴσω χρόνου ἐλευθερῶσαι, καὶ μεταμεληθῶ, καὶ οὐδὲν ἧττον ἐλευθερώσῃς, οὐκ ἔχω τὴν ἀπαίτησιν τῆς τιμῆς. ἔσβεσται γὰρ ἐλευθερωθέντος τοῦ δούλου καὶ μετὰ τὸ μεταμεληθῆναί με."

[ι´.] Καὶ κεφ. θ´[10]· „Ἐὰν πωλήσω σοι δοῦλον ὥστε μὴ διάγειν ἐν ῥώμῃ, καὶ φυλάξω ἐν αὐτῷ χειρὸς ἐπιβολήν· εἶτα πωλήσῃς αὐτὸν ὑπὸ τὸν αὐτὸν ὅρον, καὶ εὑρεθῇ ἐν ῥώμῃ, εἰ μὲν

[1] L. 17 §. 16 D. de Aedil. Ed. Locus in Basil. XIX, 10 restituendus. [2] Forte χρηματίζων. [3] Sc. lib. XIX. [4] Cf. Suppl. ed. Basil. Heimb. p. 259. [5] Cf. Suppl. cit. p. 60. [6] Cf. de hac causa tit. XLII c. 17. [7] Cf. Suppl. cit. p. 267. [8] Cf. Suppl. cit. [9] Cf. Suppl. cit. p. 268. [10] Cf. Suppl. cit.

ὡς φυγὰς, οὐκ ἔχει χώραν ἡ τῆς χειρὸς ἐπιβολή· οὐδὲ γὰρ ὁ φυγὰς ἔνθα διάγει νοεῖται εἶναι. εἰ δὲ κατὰ γνώμην τοῦ δευτέρου ἀγοραστοῦ, ἐμοὶ μόνῳ ἡ τῆς χειρὸς ἐπιβολὴ ἁρμόζει. εἰ δὲ ποινὴν [ἐπηρώτησά σε] καὶ σὺ τὸν ἀγοράσαντα παρά σου, δύο εἰσὶν ἀγωγαί."

[ια'.] Καὶ θέ. τοῦ αὐτοῦ θ' κεφ.[1]· „Ἐὰν πωλήσας σοι συνεφώνησα, ἵνα εἰ προστῇ [ἡ] δούλη, ἐλευθερωθῇ· σὺ δὲ πωλῶν χειρὸς ἐπιβολὴν ἐφύλαξας σαυτῷ [εἰ προστῇ], ἢ τοὐναντίον ἐγὼ μὲν χειρὸς ἐπιβολὴν, σὺ δὲ ἐλευθερίαν συνεφώνησας, καὶ ἐλευθερία ἁρμόζει προϊσταμένης αὐτῆς."

[ιβ'.] Καὶ κεφ. ι'[2]· „Ἐὰν πωλήσω σοι δοῦλον ἐπὶ τῷ μη πειρασθῆναι δουλείας ἑτέρου καὶ ὥστε τελευτῶντός σου ἐλεύθερον αὐτὸν εἶναι, κἂν αὐτὸς μὴ ἐλευθερώσῃς αὐτὸν, γίνεται μετὰ θάνατόν σου ἐλεύθερος."

[ιγ'.] Καὶ κεφ. ια'[3]· „Τοὺς καταφεύγοντας οἰκέτας εἰς σεβασμίους οἴκους καὶ δίκαια αἰτοῦντας οὐ χρὴ περιορᾶν· ἀλλ' εἴπερ διαγνώσεως γενομένης εὑρέθησαν οἱ δεσπόται ἢ ἀμέτρως αὐτοὺς βασανίζοντες ἢ λιμοκτονοῦντες ἢ εἰς πρᾶξιν αἰσχρὰν ἕλκοντες, ἐκ τούτων διαπιπράσκειν αὐτοὺς ἀναγκάζεσθαι, πρὸς τὸ μηκέτι ὑποστρέψαι εἰς τὴν ἐκείνων δεσποτείαν. ἀλλὰ καὶ τὴν πρᾶσιν καλῇ αἱρέσει ποιεῖν, ὥστε μὴ διά τινων σεσοφισμένων αἱρέσεων καὶ μετὰ τὴν ἐκποίησιν αὐτοὺς κακοποιεῖν, ἢ ἐν δεσμοῖς εἶναι συμφωνοῦντας ἢ ἐπὶ τῷ μηδέποτε ἐλευθερωθῆναι ἢ ἐπὶ τῷ οἰκεῖν ἐν χώρᾳ βαρυτάτους ἐχούσῃ τοὺς ἀέρας."

[ιδ'.] Καὶ κεφ. ιβ'[4]· „Ἐάν τις πωλήσῃ οἰκέτην ἐπὶ τῷ μηδέποτε αὐτὸν ἐπιβῆναι τῆσδε τῆς πόλεως, καὶ φυλάξῃ αὐτῷ χειρὸς ἐπιβολὴν, δύναται μὲν ὁ ἀγοραστὴς μὴ παραβαίνων τὸ σύμφωνον ἐλευθεροῦν αὐτὸν, καὶ ἐὰν ὁ οἰκέτης ἐπιβῇ τῆς ἀπηγορευμένης πόλεως, ἐκδικεῖται παρὰ τοῦ δημοσίου εἰς δουλείαν διηνεκῆ. εἰ δὲ μὴ ἐλευθερωθεὶς ἐπιβῇ τῶν ἀπηγορευμένων τόπων, ὁ πράτης κεχρημένος τῷ συμφώνῳ ἕλκει αὐτὸν εἰς τὴν δουλείαν."

[ιε'.] Περὶ τοῦ πιπρασκομένου ἐν ἐξορίᾳ, ὅτι ἐκδικεῖται παρὰ τοῦ δημοσίου, εἰ ἐλευθερωθῇ, κεφ. φησι ιγ'[5]· „Ἐὰν μὲν ὁ πράτης φυλάξῃ χειρὸς ἐπιβολὴν, δύναται αὐτῇ κεχρῆσθαι. εἰ δὲ μόνον συνεφώνησε καὶ ἐπηρώτησε πρόστιμον, ἀπαιτεῖ καὶ ὁ δημόσιος ἐκδικεῖ τὸ ἀνδράποδον. δεῖ δὲ σκοπεῖν εἰ γνώμῃ τοῦ ἀγοραστοῦ ἐπέβη τῶν κεκωλυμένων τόπων ὁ οἰκέτης."

---

[1]—[5] Cf. Suppl. cit. p. 268.

[ις΄.] Καὶ κεφ. ις΄[1]· „Ὁ ἐξόριστος παρὰ τοῦ δεσπότου ἀπὸ τῆς ἰδίας πατρίδος πραθεὶς οὐδὲ ἐν ῥώμῃ διάγειν ὀφείλει. ὁ μέντοιγε ἀπὸ φανερᾶς ἐπαρχίας κωλυθεὶς οὐδὲ ἐν ἰταλίᾳ διάγειν δύναται. εἰ τοίνυν παρὰ τὸ γενόμενον σύμφωνον γεγονός τι δύνασαι ἀποδεῖξαι, χρῆσαι τῷ ἁρμόζοντί σοι νομίμῳ."

[ιζ΄.] Καὶ κεφ. κ΄[2]· „Ἐὰν δεσπότης λάβῃ χρήματα παρά τινος ἐπὶ τῶν τὴν ἰδίαν θεράπαιναν[3], μετὰ τὴν προθεσμίαν καὶ ἐλευθέρα τίκτει."

[ιη΄.] Καὶ κεφ. κα΄[4]· „Ὁ πραθεὶς ἐπὶ τῷ μὴ ἐλευθερωθῆναι, κἂν ἐλευθερωθῇ, οὐ γίνεται ἐλεύθερος, οὐδὲ ἐὰν εἰς ἕτερον δεσπότην ἔλθῃ[5]· ὅθεν καὶ εἰ πρόστιμόν τις ἐπερωτηθῇ, οὐχ ὑποπίπτει τῷ προστίμῳ ὡς μὴ δυναμένου ἐλευθερωθῆναι τοῦ ἀνδραπόδου, καὶ οὐδὲ ὁ δημόσιος ἐπικοινωνεῖ τῇ τοιαύτῃ πράσει."

[ιθ΄.] Καὶ κεφ. κβ΄[6]· „Ἐάν τις πωλήσῃ ἐπὶ τῷ ἐλευθερωθῆναι κόρην ἐμπροθέσμως, εἰ δὲ μὴ ἐλευθερωθῇ, πρόστιμον ἐπηρώτησε· τῆς προθεσμίας ἐνισταμένης ἡ μὲν κόρη ἐλευθέρα γίνεται· τὸ δὲ πρόστιμον ἀπαίτησιν οὐκ ἔχει, ἐπειδὴ ἡ τοῦ συμφώνου δύναμις τὴν ὀφείλουσαν παρὰ τοῦ πράτου δοθῆναι ἐλευθερίαν ἐπιτίθησιν."

[κ΄.] Καὶ τί. η΄ κεφ. δ΄[7]· „Ἐὰν εἰδὼς ἀγνοοῦντί μοι πωλήσῃς δοῦλον φυγάδα ἢ κλέπτην ἢ ἐνοχῇ ὑποκείμενον, κινῶ τὴν ἀγωγὴν εἰς τὸ διαφέρον, κἂν τὸν διπλασιασμὸν ἐπερωτηθῇς μοι. τὴν γὰρ ἀγωγὴν τὴν περὶ μελλούσης ζημίας πρὶν ἢ ζημιωθῶ κινεῖν οὐ δύναμαι."

[κα΄.] Καὶ βι. μη΄ τί. ιδ΄ κεφ. δ΄· „Ἔστω ἡ τιμὴ τοῦ δούλου, εἴτε ἄῤῥην εἴτε θηλυῖα, εἰ μὲν ἄτεχνός ἐστιν, κ΄ νομίσματα, ἐὰν ὑπὲρ τοὺς ι΄ ἐνιαυτούς· εἰ δὲ ἐλάττων ἐστὶ, ι΄ νομίσματα. εἰ δὲ τέχνην ἐπίσταται, χωρὶς νοταρίου καὶ ἰατροῦ, ἕως λ΄ νομίσματα. ἐὰν δὲ νοτάριός ἐστιν ἢ ἰατρὸς, ὁ μὲν νοτάριος ἕως ν΄ νομισμάτων, ὁ δὲ ἰατρὸς ἕως ξ΄. ἐὰν δὲ εὐνοῦχοι ὦσιν οἱ δοῦλοι μείζονες τῶν ι΄ ἐνιαυτῶν χωρὶς τέχνης, νομίσματα ν΄· ἐὰν δὲ τέχνην ἴσασι, νομίσματα ο΄. ἐὰν δὲ τῶν ι΄ ἐνιαυτῶν ἥττονές εἰσι, λ΄."

---

[1] Cf. Suppl. cit. p. 269. [2] Cf. Suppl. cit. [3] Exciderunt nonnulla. [4] Cf. Suppl. cit. [5] Cod. addit τὸ πρᾶγμα. [6] Cf. Suppl. cit. [7] Cf. Suppl. cit.

ΤΙΤΛΟΣ κθ'.

Περὶ καταθέσεων.

[α'.] Ἐὰν προκομισθῇ ἔγγραφος κατάθεσις δηλοῦσα, ὅτι πρὸ χρόνων τόσων ἐδανείσατό τις, ὁ μὲν χρόνος τῆς ποιήσεως τῆς καταθέσεως νικᾷ τοὺς μεταγενεστέρους δανειστὰς ἢ συναλλάκτας, ὁ δὲ [τῆς] καταθέσεως χρόνος, τουτέστι τὸ λέγειν ὅτι πρὸ χρόνων τόσων ἐδανείσατο, ὀφείλει ἀληθῶς δείκνυσθαι, καὶ οὐκ ἔχει ἰσχὺν κατὰ τῶν προγενεστέρων δανειστῶν.

[β'.] Ὅτι ἐὰν ἐναγόμενος παρά τινος ἀρνήσωμαι χρεωστεῖν ἐπὶ δικαστηρίου, εἶτα ἀπόντος τοῦ ἀντιδίκου μου κληθεὶς παρὰ τοῦ δικαστοῦ καὶ ἐρωτηθεὶς εἰ χρεωστῶ κατάθωμαι χρεωστεῖν, οὐδὲν ὠφελεῖται ἐκ τούτου ὁ ἀντίδικος, οὐδὲ προκριματίζομαι ἐγὼ ὡς καταθέμενος· δύναμαι γὰρ ἀρνεῖσθαι. εἰ δὲ καὶ ἐλέγχομαι παρὰ τῶν δανειστῶν ὡς καταθέμενος εἰς ἐπήκοον πολλῶν χρεωστεῖν, παραγράφομαι καὶ τὸν δικαστὴν λέγων· τίνος χάριν ἀπόντος τοῦ ἀντιδίκου μου ἠρώτησάς με ἢ τίνος ἕνεκεν ὑπὲρ αὐτοῦ ἠγωνίζου; ὥστε φαίνῃ προσπαθείαν τινὰ πρὸς αὐτὸν ἔχων καὶ διὰ τοῦτο ἀπόντος αὐτοῦ ἠρώτησάς με, ἐγὼ δὲ μηδὲν βλαπτόμενος κατετιθέμην. πανταχοῦ οὖν μὴ ὄντος τοῦ ἀντιδίκου οὐδὲν ὠφελεῖ ἡ κατάθεσις.

[γ'.] Ὅτι λέγων τὶς ἐλέγξαι τὸν χρεώστην καὶ διὰ μαρτύρων τῶν παρατυχόντων ἐν τῇ ἐπιδόσει τοῦ χρυσίου, καὶ δι' ἑτέρων μαρτύρων ἀκροασαμένων τοῦ χρεώστου κατατιθεμένου ἀληθῶς χρεωστεῖν, ὁ δικαστὴς πρῶτον τοὺς τετυχηκότας ἐν τῇ καταθέσει δεῖν ἔγνω παραχθῆναι· οὕτω δόξαν αὐτῷ ὡς ταύτης τῆς μαρτυρίας ἀρκούσης ἄπρα .... λῦσαι[1] τὴν δίκην· εἶθ' οὕτως καὶ τοὺς τὴν ἐπίδοσιν βεβαιώσοντας παραστῆναι μάρτυρας.

ΤΙΤΛΟΣ λ'.

Περὶ μαρτύρων [καὶ μαρτυριῶν][2].

[α'.] Δίκης κινηθείσης, ὡς ἄρα τὶς ἀπώλεσε χρυσίον, καὶ μαρτύρων παραχθέντων καὶ μαρτυρούντων, ὅτι ἀνελάβετο τὸ

---

[1] Forte: πρὸς τὸ λῦσαι. [2] Haec addo ex Indice. Codex ex verbis περὶ μαρτυριῶν novam rubricam effecit, eamque adscripto numero tituli XXXI praeposuit capiti 30 infra.

χρυσίον ὁ ἀντίδικος· τοῦ δὲ ἐναγομένου παράγοντος ἑτέρους μάρτυρας, μαρτυροῦντας, μὴ ἰδεῖν, ὅτι ἀνελάβετο τὸ χρυσίον[1]. εἰκὸς γὰρ αὐτοὺς μὴ ἰδεῖν· ἀλλὰ τοῦτο ὀμόσαι, ὅτι ἀληθῶς γινώσκουσιν, ὅτι οὐκ ἀπώλετο τὸ χρυσίον, ἀλλ' οὐδὲ ἐκέρδησε τοῦτο ὁ ἀντίδικος. ἀλλ' εἰ καὶ τοῦτο ὀμόσαιεν, ἔλεγεν αὐτοὺς ψεύδεσθαι· πῶς γὰρ ἂν εἰδεῖεν, ὅπερ οὐκ οἴδασιν[2]; ἐν γὰρ ταῖς μαρτυρίαις τὸ λέγειν· οὐκ οἶδα, ἔλεγεν ὁ μ ά γ ι σ τ ρ ο ς μὴ εἶναι ἰσχυρὸν εἰς ἐκβολὴν δικαιολογίας.

[β'.] Ὅτι τὸ ἐπιτήδευμα, ἐξ οὗ τις προσπορίζεται αὐτῷ τὰ χρειώδη, ἀρκεῖ πρὸς εὐπορίαν. ὁ γὰρ μάρτυς εἴτε ἀξιωματικὸς ὀφείλει εἶναι, εἴτε στρατείαν ἰδίαν ἔχειν, εἴτε ἐπιτήδευμα, εἴτε νομισμάτων ν' περιουσίαν.

[γ'.] Ὅτι ὅτε μαρτυρεῖ τις περὶ πράγματος πρὸ ν' χρόνων γενομένου, αὐτὸς ξθ' χρόνων εἶναι. εἰ[3] μαρτυρῶν περί τινος ὀφείλει προέχειν αὐτοῦ, τουτέστι τοῦ πράγματος, εἰ μὲν ἐγκληματικὸν εἴη, κ' χρόνων· εἰ δὲ χρηματικὸν εἴη, χρόνων ιη'. οὐ γὰρ πιστευτέον τῷ μαρτυροῦντι ἐλάττονι ὄντι τῶν ὡρισμένων καιρῶν ἀτελεῖ γε ὄντι τὴν φρόνησιν, καὶ μηδὲ τῶν αὐτοῦ ῥαδίως συνιέναι τυχὸν δυναμένῳ, μήτιγε δὴ τῶν τοῦ πέλας.

[δ'.] Ὅτι[4] ἐπὶ λ' λίτραις χρυσίου καὶ δύο ἀρκοῦσι πρὸς μαρτυρίαν, καὶ μέχρι δὲ ν' λιτρῶν τρεῖς ἀρκοῦσι. καὶ φησὶ βι. κγ' τί. α' κεφ. νη' θέ. β'[5]· „Ὁ ποιήσας χειρόγραφον ὑπὲρ ν' χρυσίου λίτρας ὀφείλει τριῶν μαρτύρων ὑπογραφὰς ἐντάττειν. ἄλλως γὰρ οὐ χρὴ τὸ τοιοῦτον ἐῤῥῶσθαι χειρόγραφον. καὶ περὶ καταθέσεως ὑπὲρ ν' λιτρῶν τὸ αὐτὸ νομοθετεῖ."

[ε'.] Ὅτι[6] ἐπὶ τῆς καθοσιώσεως καὶ ἀνὴρ κατὰ γυναικὸς καὶ γυνὴ κατὰ ἀνδρὸς καὶ δοῦλος κατὰ δεσπότου καὶ υἱὸς κατὰ πατρὸς μαρτυρεῖ. ἵνα γὰρ μὴ ἐξῇ τῇ γυναικὶ καὶ τοῖς λοιποῖς τοῦ ἀνδρὸς ὑπεξουσίοις [λέγειν], ὅτι δεδιότες τὴν ἐξουσίαν τοῦ τῆς φαμιλίας πατρὸς ἐσιώπων, ἐδίδαξεν αὐτοὺς ὁ νόμος, ὅτι πρὸς τὸ τοῦ βασιλέως κράτος οὐδέν ἐστιν ὁ τῆς φαμιλίας πατὴρ, ἀλλὰ καὶ ὑπεξούσιοι τούτου συνυπεξούσιοί εἰσιν αὐτῷ. δοῦλος δὲ τὴν τοῦ συνδούλου κατὰ τῆς δεσποτείας ἐπιβουλὴν, καὶ ὑπεξούσιος τὴν τοῦ ὑπεξουσίου ἐπαινετῶς καταμηνύει· ἐν γὰρ τῷ σιγῆσαι τὴν πρᾶξιν συγκατακρίνεται.

[ς'.] Ὅτι[7] γυνὴ κατὰ τοῦ ἀνδρὸς οὐ μαρτυρεῖ οὔτε ἄκουσα,

---

[1] Nempe exciderunt quaedam. [2] Rectius ἴσασιν. [3] Lege: ὀφείλει. ὁ γάρ. — Harm. I, 6, 30. [4] Harm. I, 6, 22. — Cf. Basil. Heimb. II p. 525 ibique schol. 14. [5] Heimb. c. 61. [6] Harm. I, 6, 44. — Vide infra tit. LXVI c. 2. [7] Cf. tit. LXVI c. 2.

οὔτε ἑκοῦσα εὐσχημόνως τοῦτο τελεῖ. εἰ γάρ τις τρυφῶν καὶ ἐκδεδιῃτημένος καὶ τὴν ὄψιν οὐκ ἀγενὴς παρέλθῃ κινῶν δίκην κατά τινος, εἶτα τὴν ἐκείνου καλέσει γυναῖκα πρὸς μαρτυρίαν, ἡ δὲ ἀναίδην εἰς τὸ μέσον φοιτήσασα ὑπὲρ τοῦ ξένου κατηγοροίη τοῦ ἀνδρὸς, τίς αὐτὴν ἐξελεῖται μεγάλης μέμψεως, καὶ λογίσαιτο ἂν τὰ πρὸς τὸν ξένον αὐτῆς ἀναμάρτητα[1]; ἢ πῶς[2] τοῦ λοιποῦ συμβιώσεται τῇδε ὁ ἀνὴρ, καὶ οὐ καινὴ τοῦτο πρόφασις διαζυγίου γενήσεται παρὰ τὰς διηγορευμένας τῷ νόμῳ;

[ζ΄.] Βι. με΄ τί. γ΄ κεφ. δ΄[3]· Ὅτι „συμβάλλεταί τινι γινώσκειν τὴν τάξιν τῆς συγγενείας καὶ ἀγχιστείας, ἐπειδὴ τῷ πλησιάζοντι συγγενεῖ καὶ ἡ κληρονομία καὶ ἡ ἐπιτροπὴ καταφέρεται, καὶ ὅτι οὐ μαρτυρεῖν ἀναγκάζεταί τις κατὰ τῶν συγγενῶν ἢ ἀγχιστῶν.“ καὶ βλέπε τὸ διάφορον τῆς συγγενείας, ὅσον πρὸς μαρτυρίαν, ὥστε οὐδὲ γυνὴ ἀκουσίως καταμαρτυρεῖ τοῦ ἀνδρός.

[η΄.] Ὅτι[4] „ἄκων οὐδεὶς μαρτυρεῖ ἐπὶ ἐγκληματικῷ δικαστηρίῳ κατὰ ἰδίου πενθεροῦ ἢ πατρώου ἢ γαμβροῦ ἢ προγονοῦ ἢ ἀνεψιοῦ ἢ ἀνεψιᾶς ἢ τῶν ἐξ αὐτῶν τεχθέντων ἢ τῶν ἐνδοτέρου βαθμοῦ ὄντων· οὔτε κατὰ πάτρωνος ἢ πατρωνίσσης ἢ παίδων αὐτῶν ἢ γονέων αὐτῶν ἢ γυναικὸς πάτρωνος ἢ ἀνδρὸς πατρωνίσσης· οὔτε πάτρων ἢ πατρώνισσα κατὰ ἀπελευθέρου.“ βλέπε τὸν νόμον πανταχοῦ οὐ μόνον τὴν φυσικὴν συγγένειαν τιμῶντα, ἀλλὰ καὶ τὴν δόξασαν νόμῳ συγγένειαν. νόμῳ δὲ συγγένειά ἐστιν οἵ τε πάτρωνες συγγενεῖς πρὸς τοὺς ἀπελευθέρους· οὗτοι οὖν μὴ ἀναγκαζόμενοι δοῦναι μαρτυρίαν κατὰ τῶν εἰρημένων προσώπων, οὐδὲ ἔγγραφα ἀπαιτοῦνται κατ᾿ αὐτῶν προκομίζειν.

[θ΄.] Καὶ βι. κα΄ τί. α΄ κεφ. δ΄[5]· Ὅτι „περὶ βίας οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος.“

[ι΄.] Ὅτι[6] ἡ ἀπελευθέρα κατὰ πάτρωνος οὐ μαρτυρεῖ, καὶ διὰ τοῦτο ἐκδικεῖ καὶ τὸν φόνον αὐτοῦ.

[ια΄.] Ὅτι[7] οἱ μῖμοι καὶ οἱ θηριομάχοι καὶ οἱ ὀρχησταὶ, οἱ ἐπὶ τῆς θυμέλης ἀναστρεφόμενοι, καὶ οἱ κατακριθέντες ὡς συκοφάνται ἢ μοιχοὶ ἢ κλέπται ἢ ἕτερον ἀτόπημα ἐργασάμενοι, καὶ οἱ πάνυ πένητες, καὶ αἱ γυναῖκες καὶ οἱ ἄνηβοι ἀπείργονται μαρτυρεῖν. αἱ δὲ γυναῖκες μαρτυροῦσιν, ἔνθα ἡ τῶν ἀνδρῶν θέα ἀπείργεται. ἀνάγνωθι βι. κα΄ τί. α΄.

---

[1] Cod. οὐκ ἀναμ. [2] Cod. ὅπως. [3] Heimb. c. 7. [4] Basil. XXI, 1, 4. [5] Heimb. c. 3. [6] Cf. tit. LXVI c. 2. [7] Cf. Basil. ed. Heimb. II p. 385 schol. 2. — Harm. I, 6, 9.

[ιβ΄.] Ὅτι[1] εἰσὶν ἕτερα πρόσωπα ἃ ἑκουσίως μὲν δύνανται μαρτυρεῖν, ἀκουσίως δὲ οὐχ ἕλκονται οὔτε ἄκοντες μαρτυροῦσιν, ἀλλ᾽ εἴπερ ὅλως δεηθεῖεν τῆς αὐτῶν μαρτυρίας, προκειμένων τῶν θείων λογίων οἴκοι ἐρωτῶνται· καὶ οἱ ἀσθενεῖς καὶ οἱ γέροντες.

[ιγ΄.] Ὅτι οἱ μὴ ἀναγκαζόμενοι κατά τινων μαρτυρεῖν, οὐδὲ δικαίωμα ἀναγκάζονται κατ᾽ αὐτῶν προκομίσαι.

[ιδ΄.] Ὅτι[2] οὐ πάντοτε ἀναγκάζονται καὶ ἐπὶ χρηματικῶν καὶ ἐγκληματικῶν μαρτυρεῖν, οἷς ἐκ τοῦ νόμου μαρτυρεῖν ἐφεῖται· ἀλλ᾽ ἐπὶ τῶν περιστατικῶν, οἷον ὅταν δικαζόμενός[3] τις μετὰ ἄρχοντος πολὺ ὑπερβαίνοντος αὐτὸν καὶ οἱ μάρτυρες δέει τοῦ ἄρχοντος μὴ ἔρχονται εἰς δικαστήριον, τότε ἀναγκάζονται ὑπὸ τοῦ δικαστοῦ καὶ ἄκοντες μαρτυρεῖν ἢ ὀμνύειν[4].

[ιε΄.] Ὅτι κ΄ χρόνων ὀφείλουσιν εἶναι καὶ ν΄ νομισμάτων περιουσίαν ἔχειν οἱ ἐπὶ τῶν ἐγκλημάτων μαρτυροῦντες.

[ιϛ΄.] Ὅτι[5] αἱρετικὸς ἢ ἑβραῖος κατὰ ὀρθοδόξου οὐ μαρτυρεῖ· κατὰ ἀλλήλων δὲ μαρτυροῦσιν. ἀνάγνωθι βι. κα΄ τί. α΄ κεφ. με΄.

[ιζ΄.] Ὅτι[6] ἐὰν τὸ ἓν μέρος μάρτυρας προκομίσῃ, τὸ δὲ ἕτερον ἐκμάρτυρον, τοὺς μάρτυρας μᾶλλον προσιέμεθα. εἰ γὰρ ὁ νόμος λέγει, ὅτι „κατὰ ἐγγράφου μαρτυρίας ἄγραφος οὐ προσφέρεται,“ ἀλλὰ τοῦτο ἐπὶ συμφώνων γαμικῶν καὶ πράσεων καὶ δωρεῶν καὶ τῶν τοιούτων εἴρηται. ἐπὶ δὲ τῶν ἐκμαρτύρων ἡ ἄγραφος μαρτυρία τῶν παραγομένων μαρτύρων εὐπιστοτέρα ἐστὶ, καθὸ τὰ μὲν ἐκμάρτυρά εἰσι ψιλὰ γράμματα καὶ ἀβέβαια, ἡ δὲ τῶν παρισταμένων καὶ ἐρωτωμένων μαρτυρία ἰσχυρὰ καὶ ζῶσα. καὶ κεφ. κγ΄[7]· „Κατὰ ἐγγράφου μαρτυρίας ἄγραφος οὐ προσφέρεται. τοῦτο δὲ νόει μὴ ὅτε ἔγγραφοι μαρτυρίαι προσφέρονται· τότε γὰρ ἡ ἄγραφος φωνὴ τῶν νῦν παραγομένων μαρτύρων εὐπιστοτέρα· ἀλλ᾽ ὅτε κατὰ ἑτέρων τινῶν ἐγγράφων δικαιωμάτων ἄγραφοι προσφέρονται μαρτυρίαι.“

[ιη΄.] Καὶ δ΄[8] τοῦ αὐτοῦ βι. καὶ τί. Ὅτι ἐπὶ τῶν δικῶν οἱ μάρτυρες μέχρι τρίτης παραγωγῆς καὶ ἀντιπαραγωγῆς δίδονται, εἰ μήγε θάτερον μέρος φράσει τὰς φωνὰς ἐκβάλλεσθαι καὶ διαμελετῆσαι ἢ τὰς παραγραφὰς τοῦ ἀντιδίκου. ἔκτοτε γὰρ οὐ δύναται ἑτέραν παράγειν μαρτυρίαν. εἰ δὲ μὴ αὐτὸς ἀντέχῃ

[1] Cf. Basil. l. l. et Harm. l. l. [2] Vide scholium Garidae in Basil. ed. Heimb. II p. 411. [3] Lege δικάζεται. [4] Cod. videbatur habere ῥηνύειν. In promtu est conjicere: μηνύειν. Sed ex schol. Garidae ὀμνύειν praetuli. [5] Harm. I, 6, 10. [6] Schol. Ἐὰν ἓν μέρος in Basil. ed. Heimb. II p. 402. [7] Basil. XXI, 1, 25. [8] Heimb. c. 46. Nov. 90 c. 4.

ταῖς φωναῖς, ἀλλ' ὁ συνήγορος αὐτοῦ, δίδωσιν αὐτῷ ὁ νόμος καὶ τετράκις παράγειν μάρτυρας. „εἰ δὲ ὁ παραγαγὼν μὴ ἐκλάβῃ“ καὶ ἑξῆς, ὅτι καὶ τετράκις δίδονται· μετὰ δὲ τὸ ἐκλαβέσθαι τινὰ τὰς μαρτυρίας ἢ τὰς παραγραφὰς οὐ κέχρηται ἑτέρᾳ μαρτυρίας παραγωγῇ.

[ιθ'.] Ὅτι[1] ἐὰν διὰ ἀπείθειαν οὐ παραγίνεταί τις εἰς τὸ δικαστήριον ἐπὶ τῷ ἀκοῦσαι τῶν μαρτύρων, καὶ μονομερῶς δέχονται οἱ μάρτυρες. ὕστερον δὲ ἔχει πάσας τὰς παραγραφὰς, ἃς ἔμελλεν ἔχειν κατ' αὐτῶν, εἰ παρὼν ἐτύγχανε· πρὸς τοῦτο μόνον ἡττᾶται τὸ μὴ ἀπαιτεῖν πάλιν ἐλθεῖν τοὺς μάρτυρας καὶ ἐνώπιον αὐτοῦ μαρτυρῆσαι.

[κ'.] Ὅτι εἰ προκομίσει τὶς μάρτυρας, εἶτα οὗτοι ἐν ἑτέρᾳ δίκῃ κατ' αὐτοῦ παραχθῶσι, οὐκ ὀφείλει οὗτος αὐτοὺς διαβάλλειν ὡς εὐτελεῖς καὶ πένητας.

[κα'.] Καὶ κεφ. λη'[2]· Ὅτι ἐὰν προκομισθῇ ἐκμαρτύριον καὶ ἀποβληθῇ, οἱ ἐν αὐτῷ μάρτυρες οὐκ ἀτιμοῦνται διὰ τὸ μὴ αὐτοπροσώπως ἐρωτηθῆναι.

[κβ'.] Ὅτι[3] περὶ ὅρων ζητήσεως καὶ καινοτομίας κτήματος[4] ἐξ ἀκοῆς μαρτυροῦντας δεχόμεθα μάρτυρας.

[κγ'.] Φησὶ βι. κβ' τί. α' κεφ. κη'[5]· Ὅτι περὶ συγγενείας μάρτυρες ἐξ ἀκοῆς οὐ δίδονται.

[κδ'.] Φησὶ βι. κβ' τί. α' κεφ. μς'[6]· Συγγένειαν οὐ συνίστησι ψιλὴ βεβαίωσις καὶ φήμη καὶ ἑξῆς.

[κε'.] Ὅτι παραλαύριον μαρτυροῦν ὑπὲρ τῆς λαύρας ἀπρόσδεκτον. καὶ ὁ δικαστὴς ἔφησεν, ὅτι μέρος αὐτοῦ ἐστίν· εἰ γὰρ ἰδιάζον ἐστὶ τὸ παραλαύριον, ἀλλά γε τῆς λαύρας ταύτης ἐστὶ παραλαύριον, ταύτης δὲ ὂν, μέρος αὐτῆς ἐστιν ἐξ ἀνάγκης, καὶ ὑπὸ τοῦ νόμου κεκώλυται. λέγει γάρ· οὐδεὶς εἰς ἴδιον πρᾶγμα δύναται μαρτυρῆσαι, εἰκότως οὐδὲ δικάσαι.

[κς'.] Ὅτι[7] ὁ μισθωτὸς εἰς μαρτυρίαν τοῦ μισθωσαμένου ἐρχόμενος ἀπεβλήθη. καὶ ὁ δικαστὴς ἔφησε· καθαρεύειν ὑποψίας τοὺς μάρτυρας δεῖ· ὁ φίλος δὲ οὐ καθαρὸς ὑποψίας, μεστὸς δέ· ἄρα ὁ μισθωτὸς καὶ διὰ τοῦτο ἀπόβλητος.

[κζ'.] Ὅτι ἀποταξάμενός τις τῇ ἱερωσύνῃ μοναχὸς ἐλθὼν εἰς μαρτυρίαν οὐ παρεδέχθη. καὶ ὁ δικαστής· οὐκ εὐπαράδεκτος οὗτος, ὅτι μήτις ἄλλος ἱερωσύνης ἐστερημένος καὶ ταῦτα μονάζων.

---

[1] Harm. I, 6, 29. [2] Basil. XXI, 2, 21. [3] Harm. I, 6, 13. [4] An *κτίσματος*? Cf. Basil. XXII, 1, 28. [5] Videtur indicari c. 49 Heimb. [6] Heimb. c. 48. [7] Harm. I, 6, 11.

[κη΄.] Ὅτι οἱ τὸ ἀμφισβήτητον ὡς ἀμφισβητήσιμον μαρτυροῦντες καὶ τοῖς ἐγγράφοις ἐναντιούμενοι ἀποδοκιμάζονται.

[κθ΄.] Ὅτι οὐκ ἐξ ἀποτυχίας ἡ τῆς δεσποτείας μαρτυρία συμβάλλεταί τι[1] τῆς περὶ τῆς χρονίας νομῆς ζητήσεως.

[λ΄.][2] Ὅτι ἐπὶ καταθέσεως οὐκ ἔχει τὸ ἐνδύναμον ἡ μαρτυρία, ὅτε μὴ κατὰ πρόσκλησιν οἱ μάρτυρες συνέλθωσι, μήτε κατὰ ταὐτὸν ὑπὸ τοῦ λεγομένου λαβεῖν τὸ χρυσίον ἀκούσωσι. βι. κα΄ τί. α΄ κεφ. [μβ΄.]

[λα΄.] Ὅτι οἱ παλαιοὶ καὶ σοφοὶ καὶ ἀρχαῖοι τῶν δικαστῶν ἐπὶ διαβολῇ μαρτύρων τρεῖς ἐδίδωσαν προθεσμίας, ἑκάστης μὴ πλέον ἐχούσης τῶν ιε΄ ἡμερῶν, ὁ δὲ μάγιστρος καὶ τρεῖς ὅλους μῆνας εἰς παράστασιν διαβολῆς παρέσχεν.

[λβ΄.] Ὅτι[3] κοινωνὸς ὑπὲρ κοινωνοῦ μαρτυρῶν οὐκ ἐδέχθη, ἕως οὗ ἡ κοινοπραξία ἐλύθη.

[λγ΄.] Ὅτι οἱ μάρτυρες οἱ ὑπογράφοντες ἐν συμβολαίῳ τῶν γράμματα μὴ ἐπισταμένων, ὀφείλουσιν εἶναι γνώριμοι τοῖς συναλλάσσουσιν. ὡς φησὶν κβ΄ τί. δ΄ κεφ. [α΄.]

[λδ΄.] Ὅτι ὁ τόδε λέγων ὑπάρχειν ἐμὸν, οὐκ ἤδη καὶ τὴν τούτου νομὴν παρ᾽ ἐμοὶ ὑπάρχειν προσμαρτυρεῖ, ἐπειδὴ ἐγχωρεῖ, δεσπότην ὄντα μὴ νέμεσθαι, ὥσπερ καὶ τὸν νεμόμενον μὴ εἶναι δεσπότην.

[λε΄.] Ὅτι τῷ δεσπότῃ μαρτυροῦντι ἀπόχρη τόδε τοῦδε ὑπάρχειν μαρτυρῆσαι καὶ σημάσαι τὸ[4] πᾶν. τῷ δὲ τὸ ἀπὸ τῆς τριακονταετηρίδος τινὶ προσγεγενημένον διὰ παραγραφῶν μαρτυροῦντι, ἐπισφαλὲς τοῦτο εἰπεῖν· ὃ μὲν γὰρ ἐχρῆν εἰπεῖν, παρῆκεν ἵνα εἴπῃ δηλονότι· ὃ δὲ μὴ ἀσφαλὲς εἰπεῖν, ἐτερέτισεν.

[λϛ΄.] Ὅτι ὁ περὶ τῆς παραγραφῆς τῆς τριακονταετίας μαρτυρῶν τρία ταῦτα ὀφείλει εἰδέναι· φυσικὴν κατοχὴν, τουτέστι τοῦ πράγματος σωματικὴν κατοχήν· νομὴν συνεχῆ καὶ ἀδιάκοπον· καὶ ὁλόκληρον ἀπὸ ἡμέρας εἰς ἡμέραν τὸν ὡρισμένον καιρόν. καὶ σωματικὴν κατοχὴν, τουτέστι φυσικὴν, ὅτι ὁ νόμος[5] φησίν· „εἰ μὴ ἄρξηται φυσικὴ κατοχὴ, ψυχῇ μόνῃ οὐδεὶς νέμεται.“ οὐδεὶς γὰρ δύναται λογισμῷ μόνῳ νομὴν κατασχεῖν τὴν ἀρχήν. συνεχῆ δὲ νομὴν, ὅτι ἡ διακοπτομένη νομὴ οὐκ ἐστὶν εὔχρηστος· οὐ συμβάλλεται γάρ. ὁλοκλήρως τὸν νενομι-

---

[1] An: *τινι ἐπί?* [2] Cod. huic capiti inscribit: *Τί. λα΄ περὶ μαρτυρίων* (sic!). Sed errorem arguit tam Index, qui ejusmodi rubricam non agnoscit, quam perturbatio, quam in numeris sequentium titulorum usque ad XXXVIII in Codice observare est. Etiam Harmenopulus capita, quae ex reliqua parte hujus tituli hausit, titulo XXX tribuit. [3] Harm. I, 6, 50. [4] An: *πόθεν?* [5] Basil. L, 2, 2.

σμένον καιρὸν, ὅτι κἂν ἐν τῇ τελευταίᾳ ἡμέρᾳ τρόπον τινὰ τὸ συνεχὲς διακοπῇ τῆς νομῆς, ἀπώλετο τῷ νεμομένῳ τοῦ χρόνου παραγραφή.

[λζʹ.] Ὅτι τὸ μαρτυρήσασθαί τινα δεσπότην χρώμενον τοῖς οἰκείοις, ὅτε τοῖς οὐκ οἰκείοις χρᾶται, οὐ συμβάλλεται τῷ μαρτυρουμένῳ.

[ληʹ.] Ὅτι μάρτυς ὑπέγραψεν ἐν ὁμολογίᾳ χρέους μὴ περιεχούσῃ δόσιν ἐνεχύρων· εἶτα κινήσαντος τοῦ δανειστοῦ τὴν περὶ χρέους ἀγωγὴν, ἔλεγεν ὁ χρεωστῶν δοῦναι ἐνέχυρα αὐτῷ, ἅτινα οὐκ ἐγράφησαν ἐν τῷ ὁμολόγῳ· καὶ ἀναγκαζόμενος τοῦτο συνιστᾶν παρήγαγε τὸν ὑπογράψαντα μάρτυρα ἐν τῇ ὁμολογίᾳ, λέγοντα· [ὅτι] εἶδεν αὐτὸς τὰ ἐνέχυρα, καὶ ὅτι εἶπεν ὁ δανειστής· ἐὰν γραφῶσιν ἐν τῷ ὁμολόγῳ, οὐ δανείζω, καὶ διὰ τοῦτο οὐκ ἐγράφησαν μὲν τὰ ἐνέχυρα, ἐδόθησαν δὲ ἀγράφως τῷ δανειστῇ. ταῦτα λέγοντα τὸν μάρτυρα οὐ παρεδέξατο ὁ μάγιστρος, εἰπὼν, ὅτι ἐπεὶ ἐπὶ τῇ οἰκείᾳ γραφῇ ἐναντία λέγεις, οὐκ εἶ δεκτὸς τῷ νόμῳ. ψευδῶς γὰρ ὑπέγραψας ὡς φῇς, καὶ πῶς ἀγράφως ἄρτι πιστευθείσῃ; ταῦτα λέγων ἐδιώχθη.

[λθʹ.] Ὅτι παράγει τίς τινα ἕνα ἀπελεύθερον μαρτυροῦντα κατά τινος ὡς παρακαταθήκην ὑποκρατήσαντος, ὅστις μάρτυς ἔλεγεν, ὅτι καὶ αὐτὸς μεθ᾽ ἑτέρων τινῶν εἶδε τὴν παρακαταθήκην, καὶ ἐκείνοις τοῖς γινώσκουσι ταύτην κλέψασι χρυσίον ἑτέρου καὶ αὐτὸς συνέκλεψε. καὶ οὐκ ἐδέξαντο τοῦτον οἱ κριταὶ, εἰπόντες, ὅτι οὐδὲν ἰσχυρὸν ἐκ τούτου συνέστη, ἑνὸς τοῦτο λέγοντος, ὄντος οὐ μόνον ἐπιδιφρίου καὶ ἀσήμου καὶ χαμερποῦς, ᾗ φησιν ὁ νόμος, ἀλλὰ καὶ διαβεβλημμένου οὑτωσὶ φανερῶς, ὡς μηδὲ χρείαν ἔχειν καμεῖν[1] περὶ τὰς ἀποδείξεις τὸν διωκόμενον. ὃς γὰρ κλέψαι ἀνωμολόγησε τάδε, ἕως[2] ἐστὶ τῶν ἀποτροπαίων καὶ καταπτύστων· δεήσει δὲ δήπουθεν οὐδὲν φαῦλον ἐπείγεσθαι δεικνύειν τὸν ἑαυτὸν κατειπεῖν ὡς κλέπτην μὴ ἐγκαλυψάμενον.

[μʹ.] Ὅτι ἐμαρτύρησέ τις ὡς εἶδε συνδούλους δύο ἐκ τοῦ οἴκου τοῦ δεῖνος ἐπιφορτισθέντας καὶ ταῦτα παραλαβόντας δύο τινὰς καὶ ἀπαγαγόντας εἰς τὸν οἶκον τοῦ δεῖνος, καὶ οὐκ ἐδέχθη, μὴ λέγων συμπορευθῆναι μετὰ τῶν διακομιζόντων αὐτὰ, ἀλλὰ μεῖναι ἐν τῷ οἴκῳ, ὅθεν ἀφῃρέθησαν [τὰ] συνδούκια[3]. καὶ εἶπον οἱ κριταί· καὶ γὰρ τὸν δεῖνα καὶ δεῖνά φησι διακομίσαι τὴν παρακαταθήκην ἐκ τῆς τοῦ κυρίου αὐτῶν οἰκίας πρὸς τὸν

[1] Sic lingua vulgari. [2] Malim *τέως*. [3] Cf. Ducange s. v. *σεντούκιν*.

οἶκον τοῦ δεῖνος, καὶ τοιοῦτο μὲν ἔφη[1] θεάσασθαι. τοῦτο ἐξῆν αὐτῷ εἰπεῖν, ὅτι περιγραφὴν[2] ἐνεχειρίσθη τὰ συνδούκια· τὸ δ' ἑξῆς ἐδεῖτο προφήτου. ἀφ' οὗ γὰρ τὸ προαύλιον τοῦ κυρίου αὐτῶν ἐξῆλθον οἱ σταλέντες, πῶς οὗτος ποῦ κατήντησαν οἶδεν, εἰ μὴ λυγκέως ἔβλεπεν ὄμμασι διὰ ξύλων καὶ λίθων καὶ τοίχων πολλῶν καὶ στενωπῶν σκολιότητος καὶ ἐκ τοσούτου διαστήματος;

[μα'.] Ὅτι λέγοντός τινος, ὡς αὐτὸς καὶ ἕτεροι δύο γινώσκουσι περὶ καταθήκης τινὸς δοθείσης ἑτέρῳ, καὶ παρ' αὐτῶν τῶν δύο κομισθεῖσα πρὸς τὸν δεῖνα, ἐκείνων δὲ μὴ συμφωνούντων τῷ λέγοντι, οἱ κριταὶ οὐ προσέσχον τῷ ἑνὶ, εἰπόντες, ὁπότε κἂν αὐτοὺς [τοὺς] δύο εὕρισκε συμφωνοῦντας αὐτῷ, οὐδ' οὕτως βλάβη τὶς τῷ ἐναγομένῳ προσείπετο· οἷς τε φησὶν ὁ νόμος, τοὺς μεσιτεύοντας ἐπὶ πράγματι μὴ μαρτυρεῖν περὶ τούτων, εἰ μὴ κατὰ συναίνεσιν τῶν μερῶν, καὶ εἰς τὸ λαβεῖν μὲν καθομολογοῦντα, ἑτέρῳ δὲ δοῦναι προσεπιφέροντα βαρύνει ἢ τὸ ἀντιτεθὲν δεικνύειν ἢ τὸ ληφθὲν ἐκτιννύειν. τοῦτο γὰρ οὕτω προχωρεῖν οὐκ ἐπὶ χρηματικῶν ἀλλὰ καὶ ἐπὶ θανατικῶν ἀποφάσεων τοῖς νόμοις πεπραγμάτευται.

[μβ'.] Ὅτι παρῆγέ τίς τινα μαρτυρήσοντα καθ' ἑτέρου, καὶ τοῦτον ἐν τῇ ἰδίᾳ οἰκίᾳ ἀπεκρύψατο ἐπὶ πολλαῖς ἡμέραις, καὶ ἠνάγκασε καθομολογῆσαί τινα σκαιὰ καθ' οὗ ἔμελλε μαρτυρεῖν, καὶ ἐκμαρτύριον ἐποίησεν· εἶτα οὗτος προσφυγὼν τοῖς ἱεροῖς περιβόλοις τοῦ ναοῦ ἤχθη εἰς τὸ δικαστήριον, καὶ ἔλεγεν ἀναγκασθῆναι καὶ κατὰ βίαν εἰπεῖν. καὶ οἱ κριταὶ εἶπον· ἡ ἐκμαρτυρία, ἣν ἐπ' οἴκου[3] ἰδίου ἐκθέσθαι παρεσκεύασε, τὸν μὲν ἐναγόμενον οὐδὲν ἀδικεῖ· „τοῖς μάρτυσι“ γάρ φησιν ὁ νόμος[4], „καὶ οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον,“ καί[5]· „ἐπὶ τῶν μαρτύρων ζητεῖται ἡ ἀξία καὶ ἡ πίστις καὶ τὰ ἤθη καὶ ἡ στεῤῥότης· διόπερ οὐκ ἀκούονται οἱ ἐναντιούμενοι τοῖς [ἐν] ἐκμαρτυρίοις ὑπ' αὐτῶν εἰρημένοις.“ ἐστὶ δὲ καὶ τῆς τοῦ δικάζοντος ἀγχινοίας τὰ τοιαῦτα πολυπραγμονεῖν. αἱ μὲν οὖν ἐκμαρτυρίαι τοῦτον ἀποδοκιμάζονται τὸν τρόπον· τῷ δὲ ἐνάγοντι μεγάλως προσίσταται. προσῆκε γὰρ αὐτῷ ἐν ἀντιδίκου μοίρᾳ τὸν μάρτυρα ἔχοντι μὴ ὁμωρόφιον αὐτὸν ποιεῖσθαι, μηδὲ διαπαιδαγωγεῖν ἐπὶ μακρότερον, εἰ καὶ μὴ καλῶς προσμαρτυρῇ, ἢ τῆς μαρτυρίας γλιχόμενον μὴ ἐσχηματισμένως κατ' αὐτοῦ παριστάνειν ἑτέρους. ὁ γὰρ νόμος οὐ πάνυ τὶ δι' ἐπαίνου τίθεται, ἵνα μὴ

---

[1] Cod. videbatur habere *καίτοι ὁ μὲν ἔφθη*. [2] An *κατὰ περιγραφήν*?
[3] Cod. *ἐποικοντὸς*. [4] Basil. XXI, 1, 3. [5] Ibid. c. 2.

λέγωμεν, ὅτι μισεῖ τὸν οὕτω ποικιλλόμενον, ὥσπερ οὗτος ἀτεχνῶς πεφόραται ποιῶν κατὰ τὸν μυθικὸν πρωτέα ποικίλως ἐξαλλαττόμενος, ὥς ποτε μὲν ἀντιδίκου στάσιν ὁρίζειν τῷ δεῖνι, ποτὲ δὲ ἀναγκαλίζεσθαι καὶ περιέπειν καὶ ὅσον τοῦτον ὁρᾷ τῆς κατηγορίας ἀφίστασθαι. ἀλλ' ἔστιν ὅπου μὲν οὑτωσί, φησιν, ὁ τὴν ἰδίαν ὑπόθεσιν προδιδοὺς καὶ τῷ ἀντιδίκῳ αὐτοῦ βοηθῶν ἀτιμοῦται, ὅπου δὲ οὑτωσί. βι. ξ' τί. α' κεφ. ις'[1].

[μγ'.] „Τοῖς[2] μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον. αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῷ ἐγκλήματι, καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν ἐξορίζεται. καὶ ὁ θέλων ἐπισχεῖν τοὺς μάρτυρας δαπάνας αὐτοῖς ἐπιδιδότω." Παραγραφή· „Κρίσει τοῦ δικάζοντος καὶ θέσει."

[μδ'.] „Περὶ[3] βίας οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ, οὔτε ἄνηβος, οὔτε ὁ δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς, τουτέστιν ἐγκληματικῶς, καὶ μὴ ἀποκαταστὰς, ἢ ὁ ἐν δημοσίᾳ φρουρᾷ βληθείς· οὔτε ὁ πρὸς τὸ θηριομαχῆσαι μισθώσας ἑαυτὸν, οὔτε οἱ προφανῶς πόρον ποιούμενοι ἢ ποιησάμενοι ἐκ τοῦ σώματος, οὔτε ὁ ἐλεγχθεὶς λαβεῖν χρήματα ἐπὶ τῷ μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι."

[με'.] Καὶ κεφ. ς' καὶ κεφ. ζ'[4]· „Ἄκοντες οὐ μαρτυροῦσι γέροντες καὶ ἀσθενεῖς καὶ στρατιῶται καὶ οἱ μετὰ ἀρχόντων ἀπόντες διὰ πρᾶγμα δημόσιον καὶ οἱ μὴ δυνάμενοι ἐλθεῖν." Παραγραφή[5]· „Τοὺς περὶ τὴν ἁγίαν λειτουργίαν ἀπησχολημένους μοναχοὺς λέγει ἢ καὶ κληρικούς." ζήτει καὶ βι. γ'[6].

[μς'.] Κεφ. η'[7] καὶ κεφ. θ' τοῦ κα' βι. τί. α'· „Υἱὸς[8] πατρὶ ἢ πατὴρ υἱῷ οὐ μαρτυρεῖ, οὔτε οἱοσδήποτε ἐν ἰδίῳ[9] πράγματι."

[μζ'.] Καὶ κεφ. ι'· „Εἰς ἀπόδειξιν τοῦ γεγονότος καὶ ὁ μὴ προσκεκλημένος ὢν μαρτυρεῖ." Παραγραφή[10]· „οὐκ ἐπὶ συμφώνῳ τοῦτό φησιν, ἀλλ' ἐπὶ τῶν συμβεβηκότων καὶ περιστατικῶν."

[μη'.] Καὶ κεφ. ιβ'[11]· „Ἔνθα μὴ προστίθεται μαρτύρων ἀριθμὸς, ἀρκοῦσι δύο. ἡ γὰρ πληθυντικὴ σημασία τὸν δυϊκὸν περιέχει." Παραγραφή· „καὶ σημείωσαι, ὅτι καὶ ὁ τῶν πολλῶν ἀριθμὸς μέχρι δύο καὶ μόνων δύναται περικλείεσθαι."

---

[1] Haec paululum corrupta sunt: fortasse addendum ἀνάγνωθι βι. κ. τ. λ. Intelligitur Basil. LX, 1, 15. [2] Basil. XXI, 1, 3. — Harm. I, 6, 14. [3] Basil. XXI, 1, 3. [4] Ibid. c. 7. [5] Cf. Schol. 4 Basil. ed. Heimb. II p. 394. [6] Scil. Basil. III, 1, 14. [7] Cod. λγ'. [8] Harm. I, 6, 40. [9] Cod. οἰφσδήποτε. [10] Cf. Schol. 2 ad h. l. in edit. Heimb. p. 394. [11] Heimb. c. 11.

[μθʹ.] Καὶ κεφ. ιδʹ[1]· „Ὁ καταδικασθεὶς τῷ περὶ μοιχείας ἐγκλήματι οὐ μαρτυρεῖ. καὶ ἐὰν ἐν διαθήκῃ μαρτυρήσῃ, ἄκυρός ἐστι καὶ πολιτικῶς καὶ πραιτωρίως.“

[νʹ.] Καὶ κεφ. ιεʹ[2]· „Ὁ τῷ ἐγκλήματι τῷ περὶ ἀδικίας ἀρχόντων καταδικασθεὶς οὔτε ἐν διαθήκῃ οὔτε ἄλλως μαρτυρεῖ.“ ζήτει[3] καὶ βι. ϛʹ τί. αʹ κεφ. βʹ ἐν ᾧ φησι τὸν δι᾽ αἰσχρότητα λήψεως ἀρχόντων ἀποκινηθέντα καὶ μὴ ἀποκαταστάντα κωλύεσθαι μαρτυρεῖν ἢ δικάζειν.

[ναʹ.] Καὶ θέ. βʹ τοῦ ιεʹ[4] κεφ. τοῦ αʹ τί. τοῦ καʹ βι. „Ὁ ἑρμαφρόδιτος, εἰ τὰ ἀῤῥένων ἐπικρατεῖ ἐν αὐτῷ, μαρτυρεῖ ἐν διαθήκῃ.“

[νβʹ.] Καὶ κεφ. ιζʹ[5]· „Πατὴρ καὶ υἱὸς ὑπεξούσιος, καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι δύνανται μαρτυρεῖν ἐν διαθήκῃ. οὐδὲν γὰρ βλάπτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι[6] μαρτυρεῖν.“

[νγʹ.] Καὶ κεφ. ιθʹ[7]· Ὅτι „ἄκων οὐ μαρτυρεῖ τελώνης, οὔτε ὁ μὴ ἐπίτηδες ἐπὶ τὸ μὴ μαρτυρῆσαι ἀπών, οὔτε ὁ τὴν στρατιωτικὴν ἀποτροφὴν ἐκλαβὼν[8], οὔτε ἄνηβος.“ Παραγραφή[9]· „ἐπὶ τῶν χρηματικῶν δηλονότι, οὐ μὴν ἐπὶ τῶν ἐγκληματικῶν.“

[νδʹ.] Καὶ κεφ. καʹ[10]· „Τοῦ πράγματος ἀπαιτοῦντος καὶ οἱ ἄρχοντες μαρτυροῦσι, καὶ πραίτωρ ἐπὶ τοῦ περὶ μοιχείας ἐγκλήματος μαρτυρεῖ.“

[νεʹ.] Καὶ θέ. δʹ· „Ἐὰν πάντες οἱ μάρτυρες τῆς αὐτῆς τιμῆς καὶ ὑπολήψεως ὦσι, καὶ ἐναντιωθῶσιν ἀλλήλοις, οὐ πάντως τὸ μεῖζον μέρος πιστεύεται, ἀλλὰ τὸ συμβαῖνον τῇ φύσει τοῦ πράγματος καὶ ὑπονοίας ἔχθρας ἢ φιλίας ἐστερημένον καὶ βεβαιούμενον ἀπὸ τῆς ψυχῆς τοῦ δικαστοῦ καὶ τεκμηρίων. οὐδὲ γὰρ τῷ πλήθει δεῖ πιστεύειν, ἀλλὰ τῇ πίστει καὶ τῇ ἀκεραιότητι τῶν μαρτύρων.“

[νϛʹ.] Καὶ κεφ. καʹ· „Οἱ ἄρχοντες ἑκάστου τόπου μαρτυροῦσιν ἐν διαθήκῃ, καὶ παρασκευάζουσιν ἄλλους μαρτυρεῖν.“

[νζʹ.] Καὶ κεφ. κζʹ[11]· „Ὁ κατά τινος ἤδη μαρτυρήσας οὐ μαρτυρεῖ πάλιν κατὰ τοῦ αὐτοῦ.“

[νηʹ.] Καὶ κεφ. κγʹ[12]· „Ὁ συνηγορήσας ἢ ἐκβιβάσας ἐν ὑποθέσει οὐ μαρτυρεῖ ἐν αὐτῇ.“

[νθʹ.] Καὶ κεφ. κδʹ[13]· „Αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκι-

---

[1] Heimb. c. 13. [2] Heimb. c. 14. [3] Hoc ex scholio 2 in edit. Heimb. p. 397. [4] Heimb. c. 14. [5] Heimb. c. 16. [6] Cod. addit δύνασθαι. [7] Heimb. c. 18. [8] Cod. ἐκβαλών. [9] Cf. schol. 1 in ed. Heimb. II p. 399. [10] Heimb. c. 20. [11] Ibid. c. 22. [12] Ibid. c. 24. [13] Ibid. c. 27.

μάζονται.“ Παραγραφή[1]· „ὅτε μέλλει τὶ κτᾶσθαι ὁ τὴν μαρτυρίαν περιφέρων.“

[ξ'.] Καὶ κεφ. κθ'· „Οἱ κατὰ χάριν ἢ δυναστείαν τινὰ μαρτυροῦντες οὐ πιστεύονται.“

[ξα'.] Καὶ κεφ. κη'[2]· „Τοὺς δούλους μήτε ὑπὲρ τοῦ δεσπότου μήτε κατὰ τοῦ δεσπότου ἐρωτᾶσθαι, οὐκ ἀμφιβάλλεται.“

[ξβ'.] Καὶ κεφ. λ'· „Οἱ ἀνιόντες καὶ κατιόντες κατ' ἀλλήλων οὐδὲ βουλόμενοι δύνανται μαρτυρῆσαι.“

[ξγ'.] Κεφ. λε'[3]· „Ὁ κληθεὶς εἰς μαρτυρίαν καὶ τὰ ψευδῆ μαρτυρήσας καὶ μέλλων διὰ τοῦτο κολάζεσθαι, οὐδένα φόρον ἔχει ἀξίας ἢ στρατείας ἢ ἐπαρχίας ἰδίας ἐπικαλεῖσθαι.“ Παραγραφή[4]· „ἡ τοῦ φόρου παραγραφὴ ἐν τοῖς προοιμίοις τῆς δίκης ὀφείλει τίθεσθαι· νῦν δὲ ἑκουσίως εἵλοντο μαρτυρῆσαι.“

[ξδ'.] Κεφ. μ'[5]· „Ἐάν τις ἐν ὑπομνήματι ἢ συμβολαίῳ προμαρτυρήσῃ, ἀνάγκην ἐχέτω πᾶσι τρόποις καὶ δίκης ἐπὶ τῷ πράγματι κινουμένης μαρτυρῆσαι, κἂν ἕτερον φόρον ἐπιγράφεται· εἰ γὰρ μὴ τοῦτο εἴπομεν, βλάπτεται ὁ δεηθεὶς τῆς αὐτοῦ μαρτυρίας.“

[ξε'.] Καὶ κεφ. μα'[6]· „Ἡ διάταξις αὕτη κελεύει, μὴ μόνον ἐν ταῖς ἐγκληματικαῖς δίκαις, ἀλλὰ καὶ ἐν ταῖς χρηματικαῖς ἕκαστον ἀναγκάζεσθαι μαρτυρεῖν, ἅπερ ἐπίσταται, μεθ' ὅρκων δόσεως, ἢ ὀμνύειν ὡς οὐκ ἐπίσταται· ὑπεξῃρημένων τῶν προσώπων τῶν ἀπὸ νόμου κεκωλυμένων μαρτυρεῖν, καὶ τῶν ὑπερβεβηκότων αὐτούς, εἰ μήγε θεῖος γένηται τύπος. καὶ εἰ μὲν ἐνδημοῦσι, δι' οἰκείας φωνῆς μαρτυρεῖν· εἰ δὲ ἀπολιμπάνονται, στέλλεσθαι τοὺς τῶν μερῶν ἐντολέας, ἐφ' ᾧ καταθέσθαι, ὅπερ ἐπίστανται, ἢ ἐπομόσασθαι, ἅπερ ἀγνοοῦσι· δηλονότι καὶ ἐπὶ τῆς ἐν ὑπομνήμασι μαρτυρίας τῶν αὐτῶν προσώπων ὑπεξῃρημένων. εἰς πάσας δὲ τὰς ἐπὶ τούτοις διαλαλιὰς καὶ τὰς παραγωγὰς ἀζημίους εἶναι τοὺς μάρτυρας.“ Παραγραφή[7]· „Κεκωλυμένους ἀπὸ νόμου τοὺς ἐπισκόπους λέγω, ἢ καὶ τοὺς οἰκειακοὺς μάρτυρας, ἢ καὶ τοὺς μεσάζοντας ἐν ὑποθέσει· οὐδὲ γὰρ δεῖ τούτους παρενεχθῆναι, ἐπειδὴ πολλάκις ἐπίστανταί τινα πρὸς βλάβην ἑκατέρου μέρους, καὶ ἀναγκάζονται διὰ τὸν ὅρκον κατὰ τοῦ καλέσαντος αὐτοὺς εἰς μαρτυρίαν εἰπεῖν.“

[ξς'.] Καὶ κεφ. μγ'[8]· Ὅτι „οἱ ἐγγράφως ὁμολογήσαντες

---

[1] Ex scholio Thalelaei ad l. l. [2] Heimb. c. 32. [3] Heimb. c. 38. [4] Cf. Schol. 1 ad Basil. l. l. [5] Heimb. c. 39. [6] Heimb. c. 40. [7] Schol. 3 ad Basil. l. l. [8] Heimb. c. 42.

χρεωστεῖν οὐκ εὐχερῶς ἀκούονται λέγοντες, ἢ ὅλον τὸ χρέος ἢ μέρος αὐτοῦ καταβεβληκέναι ἀγράφως ἐπὶ μαρτύρων. ἐὰν οὖν μὴ ε΄ μάρτυρες ἀξιόπιστοι ὦσιν ἐν τῇ ἀγράφῳ καταβολῇ, καὶ ἐνωμότως κατάθωνται, ὡς παρόντων αὐτῶν κατεβλήθη τὸ χρέος," καὶ ὡς ἐπ' αὐτῷ τούτῳ προσεκλήθησαν ἕως[1] ἤκουσαν τοῦ δανειστοῦ λέγοντος, ὅτι ἀπέλαβον τὸ χρέος. τὰς δὲ ματαίας καὶ ἐκ τοῦ παρήκοντος μαρτυρίας ἀποβάλλει, καὶ μᾶλλον, ὅτε καὶ ὁ κατατιθέμενος τυχὸν γράμματα εἰδώς ἐστιν.

[ξζ΄.] „Ἐὰν[2] ἀκουσίως τὶς ἕλκηται ἐπὶ χρηματικῇ ὑποθέσει εἰς μαρτυρίαν, εἰ μὲν ἔχει ἐγγυητὴν, δότω· μὴ βουλόμενος δὲ παρασχεῖν ἐγγυητὴν, μὴ ἐμβαλλέσθω εἰς δεσμωτήριον, ἀλλ ἐπομνύσθω μόνον, ὅτι παραγίνεται. ἐπὶ μόναις δὲ ιε΄ ἡμέραις ἀναγκαζέσθωσαν παραφυλάττειν τὸ δικαστήριον μετὰ τὴν προσενεχθεῖσαν αὐτοῖς ὑπόμνησιν ψηφιζομέναις." Π α ρ α γ ρ α φ ή[3]· „εἴπερ ἐν τοῖς αὐτοῖς διάγουσι τόποις· εἰ γὰρ ἐν ἑτέροις τόποις διάγουσιν, οὐδὲ ἕλκονται, ὥς φησι κεφ. [μ΄]."

[ξη΄.] „Καὶ[4] ἐν ἀπουσίᾳ ἑτέρου μέρους ἐξουσίαν ἔχει ὁ δικαστὴς δέχεσθαι τοὺς μάρτυρας, μόνον εἰ τὸ ἕτερον μέρος ὑπομνησθὲν οὐκ ἠθέλησε παραγενέσθαι." μὴ καλεῖσθαι δὲ τοὺς μάρτυρας ἐκ δευτέρου μετὰ τὸ ἀναχωρῆσαι.

[ξθ΄.] Ὅτι μηδὲ ἐκμαρτυρίαν τοῦ λοιποῦ μὴ καὶ μαρτύρων ἔχουσαν καὶ παρουσίαν[5] καὶ κατάθεσιν καὶ ὑπογραφὴν κρατεῖν, ὡς βι. κα΄ τί. α΄ κεφ. [μς΄].

[ο΄.] Ὅτι ἐνταῦθα λεγομένης δίκης, ἔξεστιν αἰτεῖν, ὥστε ἐν ἑτέρᾳ ἐπαρχίᾳ ἐρωτηθῆναι μάρτυρας καὶ ἐνταῦθα πάλιν ἀναπεμφθῆναι τὴν δίκην, ὡς κεφ. νβ΄[6]. καὶ ὅτι τῶν πεπραγμένων ἐκδιδομένων τοῖς παράγουσιν ἐν ἐπαρχίᾳ τοὺς μάρτυρας ἐπὶ πράξεως ὑπομνημάτων σήμερον ὀφείλουσι δέχεσθαι, ἵνα μήποτε ἀποκλεισθῇ τοῖς ἐκλαβομένοις καὶ ἡ ἑτέρων μαρτύρων προσθήκη, εἴγε ὡς εἰκὸς καὶ ἑτέρων δεηθεῖεν. ταῦτα δὲ ἐπὶ χρηματικῶν· ἐπὶ γὰρ τῶν ἐγκληματικῶν αὐτοπροσώπως ἐρωτῶνται οἱ μάρτυρες.

[οα΄.] Ὅτι[7] μάρτυς λεγόμενος δουλικῆς εἶναι τύχης, εἰ μὲν αὐτὸς λέγει εἶναι ἐλεύθερος ἐκ γενετῆς, πληρούσθω μὲν ἡ μαρτυρία, ἡ δὲ παραγραφὴ φυλαττέσθω· καὶ δεικνυμένου τοῦ μάρτυρος δουλικῆς τύχης, ὡς μηδὲ γεγοννῖα ἔστω ἡ μαρτυρία. εἰ δὲ λέγει ἀπελεύθερος εἶναι, δεικνύτω συμβόλαιον τῆς ἐλευθε-

---

[1] Lege προσκληθέντες. [2] Basil. XXI, 1, 43. [3] Cf. Schol. Δηλονότι in edit. Heimb. II p. 415. [4] Basil. l. l. [5] Cod. μαρτυρίαν. — Est ex Nov. 90 c. 3. [6] Heimb. c. 46. Ex Nov. 90 c. 5. [7] Basil. XXI, 1, 46 ex Nov. 90 c. 6.

ρίας· εἰ δὲ μὴ ἔχει, ὀμνύτω καὶ γραφέσθω ἡ μαρτυρία. εἴπερ δὲ οὐ δείξει τὸ συμβόλαιον μετὰ ταῦτα, οὐ χρήσεται τῇ αὐτοῦ μαρτυρίᾳ ὁ παραγαγὼν αὐτόν.

[οβ'.] Ὅτι[1] ὁ λέγων ἀπεχθῆ εἶναι τὸν μάρτυρα, εἰ μὲν ἀποδείξει, ὡς ἐγκληματικῶς αὐτοῦ κατηγόρησε, μὴ παρίτω εἰς μαρτυρίαν· εἰ δὲ εἰς χρήματα λέγει τοῦτον ἐχθρὸν, τέως μὲν δεχέσθω ἡ μαρτυρία, ὁ δὲ τῶν παραγραφῶν φυλαττέσθω καιρός.

[ογ'.] Ὅτι βουλομένων ἀμφοτέρων τῶν μερῶν καὶ ὁ μεσάζων ἐπὶ τῇ ὑποθέσει μαρτυρεῖ, ὡς κεφ. νγ'[2].

[οδ'.] Ὅτι φησὶ βι. κβ' τί. α' κεφ. κη' · „Ὅτε περὶ καινοτομίας κτίσματος καὶ ὅρων γίνεται ζήτησις, οὐκ ἀπαιτοῦμεν τοὺς περιόντας εἰδέναι πάντως, ἐπὶ ποίων ὑπάτων ἢ πότε γέγονεν, ἀλλ' εἰ ἀκηκόασι παρὰ τῶν ἐπισταμένων ἢ ἀκουσάντων, πότε τὸ ἔργον γέγονεν.“

[οε'.] Ὅτι ἐπίσκοπος ἐτελεύτησε, καὶ ἦλθέ τις γειτνιάζων σπαθαροκανδιδάτος, καὶ μετὰ δύο δούλων τοῦ ἐπισκόπου ἠρεύνησε περὶ χρυσίου, καὶ εὗρε σακκούλιον, καὶ ὕστερον ἀπαιτούμενος τοῦτο προεκόμισεν αὐτὸ ἐλλιπὲς, οἱ δὲ δοῦλοι ἔλεγον ὅτι γέμον ἦν τὸ σακκούλιον χρυσίου. καὶ ἐκινήθη ἡ δίκη παρὰ τῷ μαγίστρῳ κριτῇ τυγχάνοντι, καὶ ἔκρινεν, οὕτως εἰπὼν πρὸς τὸν σπαθαροκανδιδάτον· τίνος ἕνεκεν εἰσῆλθες σὺ μόνος μετὰ τῶν δούλων καὶ ἠρεύνησας περὶ τοῦ χρυσίου; ὁ δὲ ἔλεγεν· ὃ εὗρον, προκομίζω. τῶν δὲ δούλων ἐνισταμένων ἀποκλαπῆναι τοῦ σακκουλίου χρυσίον, ὁ μάγιστρος ἔκρινεν, ἵνα ὀμόσωσιν οἱ δοῦλοι, ὁ δὲ σπαθαροκανδιδάτος ἀντέθηκεν, ὅτι οὐκ εἰσιν οἱ δοῦλοι δεκτοὶ τῷ νόμῳ εἰς τὸ ὀμνύειν καὶ οὐ καταδικάζομαι. καὶ ὁ μάγιστρος εἶπε· σὺ τούτους προσελάβου μάρτυρας καὶ μετὰ τούτων τὴν ἔρευναν τοῦ χρυσίου ἐποιήσω καὶ τούτοις θαῤῥήσας ἀνελάβου τὸ χρῆμα[3]· οὓς τοίνυν προσείληφας συμπράκτορας καὶ μάρτυρας καὶ συμμετόχους, τούτους δέχου ὀμνύοντας, πλέον σε λαβεῖν χρυσίον καὶ μὴ τοσοῦτον· εἰ γὰρ μὴ ἐβούλου κακουργῆσαι περὶ τὴν κλοπὴν, οὐκ ἂν μετὰ δούλων εἰσήρχου εἰς ἑτέρου οἰκίαν καὶ ψηλάφησιν ἐποίεις τῶν πραγμάτων. καὶ ἐτύπωσε, καὶ ὤμοσαν οἱ δοῦλοι, καὶ κατεδικάσθη ὁ σπαθαροκανδιδάτος, καὶ δέδωκε τὸ λεῖπον.

[ος'.] Ὅτι[4] ἐπὶ μὲν πράσεως καὶ ἀγορασίας καὶ λοιπῶν

---

[1] Basil. l. l. ex Nov. 90 c. 7. [2] Basil. l. l. ex Nov. 90 s. 8. [3] Legerim: χρυσίον. [4] Harm. I, 6, 8.

συμφώνων ἀγαθῇ πίστει καὶ μελέτῃ συνισταμένων ζητεῖται ἡ τῶν μαρτύρων πίστις καὶ ὑπόληψις καὶ ὁ τρόπος καὶ τὰ λοιπὰ, καὶ ἐλεγχομένων τῶν μαρτύρων μὴ δεκτῶν ἀσθενεῖ καὶ τὸ ἔγγραφον. ἐπὶ δὲ μαρτύρων ἐπὶ βίας μαρτυρούντων καὶ ὕβρεως καὶ τῶν ἄλλων περιστατικῶν, ὡς ἐπίπαν οὐ ζητεῖται ὁ τρόπος τῶν μαρτύρων καὶ ὁ βίος. καὶ τοῦτο ἔλεγεν ὁ μάγιστρος παλαιὸν δικαστὴν σοφὸν πρόπαππον αὐτοῦ ἐπὶ βασιλικοῦ δικαστηρίου κρῖναι. τοῦ γὰρ λεγομένου βιάσασθαι τοὺς παραγομένους ὑπὸ τοῦ ἀντιδίκου μάρτυρας πειρωμένου διαβάλλειν ὡς μὴ καλοῦ βίου, ὁ δικαστὴς ἀντέθηκε· καὶ τίνος ἕνεκεν, ὦ βιαστὰ, ὅτε ἔμελλες βιάζεσθαι, μὴ προεμήνυσας τοῦτο τὸ δεῖνι, ἵν᾽ οὕτω χρηστοὺς καὶ εὐϋπολήπτους ἑτοιμάσαιτο μάρτυρας; ἐπεὶ δὲ σὺ οὐ προεῖπας τὴν βίαν, ὁ δὲ βιασθεὶς οὐκ ἐγίνωσκε τὴν ἐπέλευσιν, πάντως οἱ παρατυχόντες δεκτοί εἰσι μαρτυρῆσαι ὃ εἶδον διὰ τὴν περίστασιν. καὶ οὕτως εἰπὼν ὁ δικαστὴς ἔδοξε τῷ βασιλικῷ βήματι καλῶς λέγειν, καὶ ἐδέχθησαν οἱ μάρτυρες.

[οζ΄.] Ὅτι ἐνῆγέ τις, ὡς κατ᾽ ἐντολήν τινος ἠγόρασεν ἱμάτια, καὶ ἔφερε ταῦτα εἰς τὸ κελλίον αὐτοῦ, καὶ πέμψας ἐκεῖνος τοὺς δεῖνα ἀνελάβετο ταῦτα, καὶ κεκομίκασι πρὸς αὐτὸν, καὶ τὸ τίμημα οὐκ ἔλαβον. ὁ δὲ πρὸς πάντα ἠρνεῖτο. οἱ δὲ λεγόμενοι παραλαβεῖν τὰ ἱμάτια ὡμολόγησαν, ὡς οἱ αὐτοὶ ταῦτα ἀπήγαγον πρὸς αὐτόν. καὶ ἔκρινεν ὁ μάγιστρος, τὸν μὲν ἐνάγοντα ὀμόσαι, ὅτι προστάξει τοῦ ἐναγομένου τοσοῦτον χρυσίον δέδωκεν εἰς ἐξώνησιν τῶν ἱματίων, ὑποσχομένου ἀποδοῦναι αὐτῷ τὸ τίμημα, καὶ οὐδὲν ἐξ αὐτοῦ τὸ παράπαν ἀπέλαβεν, ἀλλὰ κεχρεώστηται καθαρῶς τὸ τίμημα. ἐξεῖναι δὲ τῷ ἐναγομένῳ καὶ τῶν μαρτύρων ἑτέρους τρεῖς ὁρκίζειν, ὅτι ἀληθῶς μαρτυροῦσι καὶ ἅπερ ἔλαβον πρὸς αὐτὸν ἀποκεκομίκασιν.

[οη΄.] Ὅτι μάρτυράς τινας ἐλεγχθέντας ἐν δίκῃ καὶ προσφυγόντας τῇ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ ἐξομολογησαμένους ἀφῆκεν ἀζημίους ὁ μάγιστρος, αὐτοῦ τοῦ παραγαγόντος τούτους ἀσμένως ἀποδεδωκότος τὰ ἐπιζητούμενα.

[οθ΄.] Ὅτι φησὶ βι. κα΄ τί. α΄ κεφ. [ιζ΄]· „Γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ. ἐν ἄλλοις δὲ μαρτυρίαν νέμει.“ Παραγραφή· „τίσιν ἄλλοις; ἐν οἷς ὄψις ἀῤῥένων οὐ παραλαμβάνεται.“

[π΄.] Ὅτι μαρτυρήσαντές τινες πέντε ἔν τινι δίκῃ νομισμάτων ιη΄, εἶτα μέλλοντες τελεῖν τὸν ὅρκον οἱ δύο τούτων

ἀνεβάλλοντο, καὶ κατεδικάσθη[1] παρὰ τοῦ μαγίστρου δοῦναι τὰ ἱκανὰ, γράψαντος οὕτως· οἱ ἱερεῖς, ὅσοι[2] ψευδομαρτυρήσαντες καὶ ἐπὶ τοῖς ἀληθῶς μαρτυρηθεῖσι μεταμεληθέντες, κατεδικάσθησαν πρὸς ἀναλογίαν τῆς δίκης· καὶ ἕκαστος τούτων τρία ἥμισυ νομίσματα ἐξέτισεν. εἰ μὲν γὰρ μόνοι μεθ' ἑτέρου ἑνὸς τὴν γραφὴν ἀπηρνήσαντο, τὴν τῆς δίκης διατίμησιν παρέσχον ἂν τῷ παραλαβόντι τούτους· ἐπεὶ δὲ μεθ' ἑτέρων τριῶν μεμαρτυρηκότες καὶ διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα πρὸς διαβολὴν τῆς μαρτυρίας παρασκευάσαντες τὸν ἐναγόμενον ἀπειρηκέναι, λογισάμενον μηδὲ ὀνήσειν, εἰ καὶ τοὺς τρεῖς τῶν λαϊκῶν διαβάλλει, ὡς τῇ δυάδι τῶν ἱερέων τῆς μαρτυρίας συνισταμένης, διὰ τὴν τῆς δίκης ἐντέλειαν εἰκότως αὐτὸς[3] τὴν ζημίαν ὑπέσχετο. τί γὰρ πρὸς αὐτοὺς, εἴπερ οἱ ἕτεροι τρεῖς τὸ μαρτύριον ἐβεβαίωσαν; ἐπεὶ, τόγε εἰς αὐτοὺς ἧκον, τὸν ἄνθρωπον ἔβλαψαν. εἰ γὰρ ἐκεῖνοι χρηστοὶ τὴν ὑπόληψιν, οὐ πάντως οὗτοι μὴ κακοὶ καὶ κατάπτυστοι.

ΤΙΤΛΟΣ λα'[4].

Περὶ αἱρέσεων.

[α'.] Ἐὰν γράψῃ τίς· καταλιμπάνω τὸν οἶκόν μου τοῖς συγγενέσι μου τοῖς εὐνουχιζομένοις, οὐκ ἀκούεται· παράνομος γὰρ ἡ αἵρεσις. καὶ τοῦτο ἔκρινεν ὁ βασιλεὺς κῦρις βασίλειος.

[β'.] Ὅτι τὸ ῥῆμα τό· ἄχρις οὗ, οὐ περιλαμβάνει καὶ αὐτὴν τὴν ἡμέραν, οἷον ἵνα σοὶ παράσχω τὸ χρέος ἄχρι τῆς ιε' μαρτίου μηνός· τότε γὰρ ἐν τῇ ιδ' ἀπαιτεῖται τὸ χρέος. καὶ τὸ ἄχρι τῆς δεῖνος τοῦ μηνὸς οὐκ ἐν τῇ αὐτῇ ἡμέρᾳ δοκεῖ, ἀλλὰ μέχρι τῆς αὐτῆς. εἰ δὲ πρόσκειται τῷ ἄχρι καὶ αὐτῆς, τότε βέβαια[5] καὶ ἡ ὁρισθεῖσα ἡμέρα περιείληπται.

[γ'.] Ὅτι φησὶ βι. δ' τί. α' κεφ. β'[6]· „εἴ τις ἐπὶ αἱρέσει γάμου ἢ παιδοποιΐας ἢ χάριν προικὸς ἢ γαμικῆς δωρεᾶς ἢ καταλείψῃ τὶ ἢ δωρήσηται τοῖς οἰκείοις παισὶν ἢ ἄλλῳ οἱῳδήποτε

---

[1] Sensum hujus capitis non omnino me cepisse ingenue profiteor. Itaque conjecturas ad sanandas corruptelas dubitanter vel maxime adscribo. Pro *κατεδικάσθη* forte legendum *κατεδικάσθησαν*. [2] An *οἷον*. [3] Sc. *ὁ ἐναγόμενος*. Oratio *ἀνακόλουθος* est. [4] Cod. *λβ'*. Cf. not. 2 p. 135. [5] Sic vulgares pro *βεβαίως*. [6] Heimb. c. 7.

προσώπῳ, ἢ κληρονομίαν ἢ λεγάτον ἐξαρχῆς καταλιμπάνων αὐτοῖς βαρήσει ἀποκαταστάσει ὑπὸ μίαν τῶν μνημονευθεισῶν αἱρέσεων, κελεύομεν, εἴπερ οἱ ταῖς τοιαύταις αἱρέσεσιν ὑποκείμενοι ἄῤῥενες ἢ θήλειαι εἰς μοναστήριον εἰσέλθωσιν, ἢ κληρικοὶ ἢ διακόνισσαι ἢ ἀσκήτριαι γένωνται, τὰς τοιαύτας αἱρέσεις ἀνισχύρους καὶ ἀντὶ μηδὲ γεγραμμένων εἶναι.“

[δ΄.] Ὅτι ἔγραψέ τις ἐν διαθήκῃ, τὸν υἱὸν αὐτοῦ μηδὲν κληρονομῆσαι ἐκ τῆς ὑποστάσεως τούτου, εἰ μὴ διαζευχθῇ τῆς γυναικὸς αὐτοῦ συγγενοῦς οὔσης. τὸν δὲ τοιοῦτον γάμον ἔκρινεν ὁ μάγιστρος καλῶς προβῆναι, ὡς μὴ οὔσης συγγενοῦς τῆς γυναικός· οὐκ ἠκούσθη ἡ διαθήκη, ἀλλ' ἐκληρονόμησεν ὁ υἱός· καὶ ἐσημειώσατο, καὶ ἔθηκε νόμιμα[1]· „Ἡ γραφεῖσα παρὰ τῆς μητρὸς κληρονόμος ὑπὸ αἵρεσιν τήν· ἐὰν διαζευχθῇ τοῦ ἀνδρός, ἄδειαν ἐχέτω μὴ[2] πληρῶσαι τὴν αἵρεσιν ὡς αἰσχρὰν καὶ τὴν κληρονομίαν λαβεῖν. εἰ δὲ χρήσεται τῇ διαζεύξει, ἐπαναζευγνύτω πάλιν μετὰ τῆς κληρονομίας πρὸς τὸν ἄνδρα.“ — „Ἐὰν[3] ὁρκώσω ἢ ἐπερωτήσω τὴν ἀπελευθέραν, ἵνα μὴ γαμηθῇ, εἰ μὴ συγχωρήσω αὐτῇ, προσκρούω τῷ νόμῳ.“ — Καὶ βι. [λε΄ τί. ιβ΄ κεφ. ιε΄]· „Παράνομος αἵρεσις ἐπικλασθεῖσα ὑπεξουσίῳ ἀκυροῖ τὴν διαθήκην, ὡς μὴ οὖσα ἐξουσιαστική. τὰ γὰρ βλάπτοντα τὴν εὐσέβειαν ἢ τὴν ὑπόληψιν ἡμῶν ἢ τὴν αἰδῶ, καὶ ἁπλῶς τὰ παρὰ τοὺς ἀγαθοὺς τρόπους οὐ πιστευόμεθα δύνασθαι ποιεῖν.“ — „Ὁ[4] ὁρκῶν ἢ ἐνεχόμενος ὀμόσαι τὴν ἀπελευθέραν, ὡς οὐ γαμεῖ ἢ παιδοποιεῖ, ἐκπίπτει τῶν πατρωνικῶν δικαίων.“

[ε΄.] Ὅτι τελευτῶν τις ἔγραψεν ἐν τῇ διαθήκῃ λαβεῖν τὸν υἱὸν αὐτοῦ, εἰ ζώῃ, χρυσίου λίτρας τόσας εἰς κλῆρον· εἰ δὲ μὴ ζῇ, εἰς ψυχικὸν ταύτας χωρῆσαι. ἔθανεν ὁ διαθέμενος· υἱὸς ἐν τῇ τελευτῇ τοῦ πατρὸς οὐχ εὑρέθη, ἄδηλος ὢν εἴτε ἔζη εἴτε ἐκρύπτετο. μετὰ χρόνους ὀλίγους ἡ τούτου αὐταδέλφη προσῆλθε τῷ πατριάρχῃ αἰτουμένη λαβεῖν τὸν κλῆρον τοῦ ἀδελφοῦ, καὶ συνεδικάσατο τοῖς ἐπιτρόποις τοῦ ἀνδρός. ὁ δὲ πατριάρχης ἐποίησεν ὑπόμνημα, περικόπτον μόνον τὸν χρόνον. νῦν δὲ πάλιν ἡ αὐτὴ ἐκίνησε τὴν δίκην εἰς τὸν μάγιστρον, ἐπιζητοῦσα τὸν κλῆρον τοῦ ἀδελφοῦ, καὶ ἕλκουσα τοὺς μοναχοὺς τοῦ ἁγίου λαζάρου ὡς ἀγοραστὰς πατρῴου κτήματος. ὁ δὲ μάγιστρος εὗρε τὴν πρᾶσιν πρὸ ν΄[5] χρόνων ἤδη γεγενημένην, καὶ κατεδίκασε τὴν ἐνάγουσαν, σημειωσάμενος οὕτως·

---

[1] Basil. XXXV, 12, 33; qui locus apud Heimb. to. III p. 604 restituendus est. [2] Cod. μὴ ἐχέτω. [3] et [4] Basil. XLIX, 1, 6. [5] Malim λ΄.

ὁ μὲν πολὺς ἄνθρωπος ἀκροθιγῶς τε καὶ ἐξ ἐπιπολῆς ἐπιβάλλων τῇ θεωρίᾳ τοῦ πράγματος ὑπολάβῃ ἂν διακεκόφθαι ἐκ τοῦ πατριαρχικοῦ ὑπομνήματος τὸν τῆς τριακονταετίας χρόνον, ὃς ἐπί τε κληρονομίᾳ καὶ τοῖς λεγάτοις ἁρμόζει· οἱ δὲ εἰδότες ἀκριβῶς ἕτερόν τι ὁρῶσι χαριέστατόν τε ὁμοῦ καὶ νομιμώτατον, καὶ διὰ τοῦτο τὸν ἅπαντα χρόνον συναπτῶς μετρήσαντες καὶ τὸ γηραιὸν τούτου καταιδεσθέντες ἀπειρήκασι τὴν ἀγωγὴν τῇ ἐναγούσῃ, οὐχ ἣν εἶχεν ἀποφράζοντες αὐτῇ· ἣ γὰρ ἂν ἐσώζετο μεσολαβήσαντος τὸν χρόνον τοῦ πατριαρχικοῦ ὑπομνήματος· ἀλλ' ἣν οὔθ' ὁ υἱὸς ἔσχεν οὔθ' αὕτη παρ' ἐκείνου προσείληφεν ἀντ' οὐδενὸς ἡγησάμενοι. καὶ τέθεικε νόμιμα[1]· „Αἱ ὑπὸ αἵρεσιν κληρονομίαι καὶ τὰ λεγάτα οὐχ ἅμα τῇ τελευτῇ τοῦ γράψαντος, ἀλλὰ μετὰ τὴν ἔκβασιν τῆς αἱρέσεως κεχρεώστηται· ὅθεν οὐδὲ μεταφέρεσθαι ἐν τῷ μεταξὺ δύνανται.“ καὶ ἐκ τούτων κατεσκεύασεν, ὅτι μὴ φανεὶς ὁ υἱὸς ἐν τῇ τελευτῇ τοῦ πατρὸς, οὐδ' ἄχρι τοῦ νῦν, οὐ δίκαιόν ἐστι λαβεῖν τὸ λεγάτον, οὐ μὴν ἀλλ' οὐδὲ οἱ τοιούτου συγγενεῖς ἔχουσι δίκαιον ὡς ἐκ δικαίου ἐκείνου ἐπιζητεῖν τὸ λεγάτον. προστέθεικε δὲ, ὅτι νόμος ἐστὶ, τὸν πατέρα προσγράφειν τῷ παιδὶ κληρονομίαν οὐχ ὑπὸ πᾶσαν αἵρεσιν ἀλλ' ὑπὸ μόνην ἐξουσιαστικὴν, ἵνα μὴ τῶν τυχηρῶς ἀτονουσῶν κινδυνεύῃ ὁ παῖς εἰς ἀποκληρίαν ἐλαυνόμενος, ἀλλ' ἔχῃ μὲν ἄδειαν τοῦτο ποιεῖν, μὴ δρῶν [δὲ] τὸ ἐπιτεταγμένον δοκῇ ἑαυτὸν αὐτὸς τοῦ κέρδους ἐξωθεῖν. καὶ βι. [λε' τί. ιβ' κεφ. κη']· „Οὐχ ὑπὸ πᾶσαν αἵρεσιν, ἀλλὰ μόνον ἐξουσιαστικὴν ἰσχυρῶς ὁ υἱὸς γράφεται κληρονόμος. ἐὰν οὖν[2] γράψω τὸν υἱὸν ὑπὸ αἵρεσιν, ἥτις οὐ δύναται ἐν τῷ τελευτᾶν πληρωθῆναι, οἷον ἵνα εἰς ἀλεξάνδρειαν ἀπέλθῃ, αὐτὸς δὲ ἐν ῥώμῃ ἀποθνήσκει, καὶ ἔτι περιόντος αὐτοῦ χώρα τῷ ὑποκαταστάτῳ.“ καὶ ἡρμήνευσε· ῥᾴδιον γὰρ τῷ υἱῷ παρ' ὅλην αὐτοῦ τὴν ζωὴν ἐκτελέσαι τὸ ἐπίταγμα, καὶ μὴ εἰς τοῦτο καιροῦ συγκλεῖσαι τὸ πρᾶγμα, ἐν ᾧ ἀδύνατος ἐλέγχεται ἡ ἐνέργεια. καὶ βι. [μγ' τί. α' κεφ. ςζ']· „Αἱ εἰς ἐνεστῶτα ἢ παρῳχημένον συγκείμεναι αἱρέσεις ἅμα τῇ τελευτῇ τοῦ γράψαντος ἢ ἀπόλλυνται ἢ ὑπέρθεσιν οὐχ ὁρίζονται.“ εἰς ἐνεστῶτα μὲν, οἷον ὁ δεῖνα, ἐὰν ζῇ ἢ ἐὰν βούλεται, λαβέτω τόδε· καὶ αὐτὸς γὰρ ὁμοίως ἢ γέγονε καὶ λαμβάνει, ἢ οὐ γέγονε καὶ οὐ λαμβάνει. περὶ δὲ τοῦ ἐπὶ θελήσει τινὸς καταλειφθέντος λεγάτου φησί[3]· „Τό[4]· ἐὰν θέλῃ, κληρονόμος ἔστω[5],

[1] Basil. XLIV, 19, 40; qui locus apud Heimb. to. IV p. 444 reponendus est. [2] Cod. οὐ. [3] Basil. XXXV, 12, 12; qui locus apud Heimb. to. III p. 602 restituendus est. [4] Cod. τὸ δέ. [5] Cod. ἔστω δέ.

εἰς μὲν ἐξωτικὸν περιττόν ἐστιν, εἰς δὲ ἀναγκαῖον αἵρεσιν ποιεῖ, καὶ εἰ μὴ θελήσει, οὐ γίνεται κληρονόμος." καὶ βι. [μδ' τί. α' κεφ. ξα']· „Ἐὰν εἴπω· λεγατεύω πέτρῳ δοῦλον, ἐὰν θέλῃ, αἱρετικὸν γίνεται, καὶ οὐ παραπέμπεται κληρονόμοις, εἰ μὴ περιὼν ἠθέλησε λαβεῖν." τοιούτους νόμους τέθεικε, καὶ κατεσκεύασεν, ὅτι προχώρησιν οὐκ ἐδέξατο τὸ λεγάτον. ἐπεὶ δὲ οὐκ ἦν φανερὸν, ὅτι ἐτελεύτησεν ὁ λεγατάριος, προτέθεικε τῷ ὑπομνήματι καὶ γλαφυρόν τι καὶ σοφόν τι νόημα, ὅτι ἡμεῖς οὐ μόνον οὐκ ἀποσβεννύομεν τὴν ἀγωγὴν τῷ φανέντι, ἀλλ' εἴπερ ποτὲ φανῇ καὶ εὐλόγους δείξῃ τὰς αἰτίας, δι' ἃς οὐκ ἐφαίνετο, τυχὸν αἰχμαλωσίαν ἢ ἕτερόν τι περιστατικὸν, ἃ τοῖς νόμοις ἐγνωσμένα εἰσὶ, δεκτός ἐστιν ἐπιζητεῖν τὸ καταλελειμμένον λεγάτον.

[ς'.] Βι. ιθ' τί. α' κεφ. ε'[1]· „Ἐὰν δοῦλος πραθῇ ὑπὸ αἵρεσιν τήν· ἐὰν τοὺς λογισμοὺς ἀποδῷ δοκιμασίᾳ[2] τοῦ πράτου, αἱρετική ἐστιν ἡ πρᾶσις. ἡ δὲ αἱρετικὴ τότε πληροῦται, ὅτε ἐξέλθῃ ἡ αἵρεσις. τὴν δὲ δοκιμασίαν οὐκ αὐτοῦ τοῦ πράτου, ἀλλ' ἀνδρὸς ἀγαθοῦ δεχόμεθα· καὶ εἴτε δυνάμενος τοὺς λογισμοὺς λαβεῖν οὐκ ἔλαβεν, εἴτε λαβὼν πλάττεται μὴ λαβεῖν, ἐνάγεται τῇ ἐκδικούσῃ ἀγωγῇ τὰ ἀφαιρεθέντα πράγματα. εἰ γὰρ τῇ δοκιμασίᾳ αὐτοῦ ἀποδώσομεν[3], ἄκυρος ἡ πρᾶσις εὑρεθήσεται, ὡς ἔνθα πωλῶν[4] ἢ ἐπερωτώμενος εἴπῃ· ἐὰν θέλω."

[ζ'.] Καὶ κεφ. ιθ' θέ. β'[5]· „Οὐκ ἔῤῥωται τὸ εἰπεῖν· ὅσου θέλεις πέπραταί σοι, ὅσου κρίνεις, ὅσου δοκιμάσεις." πλατέως[6] τοῦτο νόησον, ἕως οὗ ὁρίσεις τὸ τίμημα· μεθ' ὃ γὰρ ὁρίσεις, δύναται σύστασιν ἡ πρᾶσις ἐπιδέξασθαι.

[η'.] Καὶ κεφ. λε'[7]· „Ἀγρὸν ὑποθέμενος πέπρακά σοι αὐτὸν ὑπὸ αἵρεσιν τήν· ἐὰν ἀναῤῥύσωμαι αὐτὸν πρὸ τῶν καλανδῶν. οὐ δύναμαί σοι[8] ἐνάγειν, ἐφ' ᾧ ἀναῤῥύσασθαι αὐτὸν καὶ πληρῶσαι τὴν αἵρεσιν. εἰ δὲ πέπρακά σοι, ὥστε πρὸ τῶν καλανδῶν αὐτὸν ἀναῤῥύσασθαι, καλῶς μοι κινεῖς."

[θ'.] Καὶ κεφ. μβ'[9]· „Ἐὰν πωλήσω σοι βιβλιοθήκην ἐπὶ ὅρῳ· εἰ παράσχωσί σοι τόπον οἱ καμπανοὶ ἐν ᾧ ὀφείλεις αὐτὴν ἀποθέσθαι, καὶ αὐτὸς ἐμποδίσεις δοθῆναί σοι τόπον, ἐνέχῃ μοι τῇ ἀγωγῇ τῇ συνισταμένῃ ἐξ ἐπερωτήσεως καὶ συμφώνῳ[10] ἀποκρίσεως, καὶ τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ τὸ τοῦ διαπραθέντος τίμημα, ὡς τῆς αἱρέσεως πληρωθείσης δι' ὧν ἐνεπόδισας."

---

[1] Cf. Suppl. edit. Basil. Heimb. p. 257. [2] Cod. ἀποδοκιμάσῃ. [3] Malim τὴν δοκιμασίαν αὐτοῦ ἀποδεξόμεθα. [4] Cod. ὄντα πολλῶν habere videbatur. [5] Cf. Suppl. cit. p. 259. [6] Sequentia παραγραφὴν sapiunt. [7] Cf. Suppl. l. l. [8] Legerim: δύνασαί μοι. [9] Cf. Suppl. l. l. [10] Malim συμφώνου.

[ι'.] Καὶ κεφ. ν'[1]· „Τὸ ἐμὸν ὑπὸ αἵρεσιν ἰσχυρῶς ἀγοράζω· εἰκὸς γὰρ ἐλπίζεται παύεσθαι εἶναι ἐμόν.“ τοῦ πλάτους· „Ἔγραψέ μέ τις κληρονόμον καὶ ἐλεγάτευσεν ἀγρὸν ἑτέρῳ ὑπὸ αἵρεσιν. ἐπειδὴ τῆς αἱρέσεως ἐξερχομένης λαμβάνει ὁ λεγατάριος τὸν ἀγρὸν καὶ παύομαι εἶναι δεσπότης, δύναμαι τοῦτον τὸν ἀγρὸν ἀγοράζειν ὑπὸ αἵρεσιν.“

[ια'.] Καὶ τί. ε'[2]· „Ἀνισχύρως ὑπὸ αἵρεσιν ἀγοράζω, ὅπερ χωρὶς αἱρέσεως προηγόρασα.“

[ιβ'.] Καὶ τί. ς' κεφ. [β'][3]· „Ἐπὶ τῇ αἱρετικῇ πράσει ἀτονούσης μὲν τῆς αἱρέσεως, ἄκυρος ἡ πρᾶσις· ἐξιούσης δὲ, ὁ ἀγοραστὴς κινδυνεύει. εἰ δέ τις τῶν συναλλαξάντων ἐν τῷ μεταξὺ τελευτήσει, ἐνέχεται ὁ κληρονόμος ὡς ἐξ ἀρχῆς γινομένης τῆς πράσεως“ καὶ τὰ λοιπά. καὶ ὅτι „ὥσπερ αἱ ἐπερωτήσεις καὶ τὰ αἱρετικὰ λεγάτα ἀκυροῦνται, φθειρομένου τοῦ πράγματος ἠρτημένης τῆς αἱρέσεως. εἰ δὲ τὸ πρᾶγμα ὕπεστι, κἂν χεῖρον γένηται, ὁ ἀγοραστὴς ζημιοῦται.“

ΤΙΤΛΟΣ λβ'[4].

Περὶ ἀνυποστάτων ἀγωγῶν.

[α'.] Ἐὰν[5] δοῦλος ἔχων συγγενῆ ἐλεύθερον ἀδιάθετον τελευτήσαντα, καὶ κεκτημένον πολλὴν ὕπαρξιν, ἐπιχειρῇ κληρονομεῖν τοῦτον, οὐκ ἀκούεται, κἂν ἀδελφὸς ᾖ ἢ πατὴρ ἢ μήτηρ, ἀλλὰ οὐδὲ ὁ δεσπότης τοῦ δούλου ἔχει τινὰ ἀγωγὴν περὶ τῶν πραγμάτων τοῦ ἐλευθέρου.

ΤΙΤΛΟΣ λγ'[6].

Περὶ τῶν μετὰ τὸ δικάσασθαι ὑποχωρούντων προπετῶς τοῦ δικαστηρίου[7].

[α'.] Ὅτι[8] ὁ μάγιστρος κρίνας τινὰ καὶ εἰς τέλος ἀγαγὼν τὴν δίκην, εἶτα τοῦ δικασθέντος ἀσυντάκτως ὑποχωρήσαντος, ἐσημειώσατο οὕτως· δεδικαίωται ὁ πρωτοσπαθάριος νικηφόρος κατὰ νομῆς λόγον ἀπολαβεῖν τὸ κτῆμα τόδε, ἵνα

---

[1] Cf. Suppl. cit. p. 260. [2] Ibid. p. 265. [3] Ibid. p. 266. [4] Cod. λγ'. Cf. not. 2 p. 135. [5] Harm. I, 14, 21. [6] Cod. λδ'. Cf. not. 2 p. 135. [7] Index: π. τ. προπετῶς ἀναχωρ. τοῦ δικ. [8] Harm. I, 4, 19. 20. Ibi citatur λγ', α'. — Cf. infra tit. LI c. 5.

τούτῳ δὴ τῷ τρόπῳ μαθὼν ὁ ἀντίδικος, ὡς οὐδὲν αὐτὸν ὤνησεν ἡ ὑποχώρησις ὑποχωρήσαντα τοῦ δικαστηρίου ἀσυντάκτως, ἢ ταχέως ἀπαντήσῃ[1] μεθ' ὧν ἔχει δικαιωμάτων μηνῶν ἄχρι δ' μετὰ τὴν ἐπὶ νομῇ παράδοσιν, καὶ τῶν νόμων καὶ τοῦ δικαίου τύχῃ δικασάμενος, ἢ ἐπὶ τῆς αὐτῆς ἀπειθείας μένων καὶ ὅρους τεταγμένους ὑπερεκπίπτων τελείαν δέξηται καταδίκην, κατὰ μίαν μοῖραν τῆς ὑποθέσεως δικαζομένης, ὡς τοῖς περὶ τῶν τοιούτων διηγόρευται νόμοις.

ΤΙΤΛΟΣ λδ'[2].

Περὶ φάκτου ἀγνοίας καὶ νόμου.

[α'.] Βι. β' τί. δ' [κεφ. θ']· „Κανονικῶς ἡ μὲν τοῦ φάκτου ἄγνοια οὐδένα βλάπτει, ἡ δὲ τοῦ νόμου πάντας βλάπτει, πλὴν τῶν ἀφηλίκων, καὶ ἔν τισι τῶν γυναικῶν, ἔνθα μὴ ἐστὶν ἁμάρτημα, ἀλλὰ νόμου ἄγνοια· καὶ γὰρ ἀφῆλιξ δανείσας ὑπεξουσίῳ βοηθεῖται.“ τοῦ πλάτους· „οἷον γυνὴ κατὰ ἰντερκεσίωνα ἔνοχον κατέστησεν ἑαυτήν· συγγινώσκεται διὰ τὴν φύσιν, κἂν νόμον ἠγνόησε. τότε δὲ ἥττων τῶν κέ ἐνιαυτῶν καὶ ἡ γυνὴ νόμον ἀγνοήσασα οὐ συγγινώσκεται, ὅταν μὴ ἐκ τῆς τοιαύτης ἀγνοίας πλημμελήσαντες ἐλέγχονται. τότε γὰρ ἀσύγγνωστα τούτοις τὰ τῆς ἀγνοίας. τί γάρ, ὅτι μοιχείαν ἢ κλοπὴν ἐπλημμέλησεν;“

[β'.] Καὶ θέ. γ'· „Ἡ τοῦ φάκτου ἄγνοια οὐ συγγινώσκεται ἐπὶ τοῦ πάνυ ἀμελοῦς. τί γάρ, ὅτι πάντες οἱ τῆς πόλεως γινώσκουσιν, ὅπερ αὐτὸς μόνος ἀγνοεῖ; εἴδησιν γὰρ οὐκ ἀπαιτοῦμεν ἐπιμελεστάτου ἀνθρώπου, ἀλλ' εἴ τις ἐπιμελὴς ὢν ἐδύνατο ἐπιγνῶναι.“

[γ'.] Καὶ κεφ. ιδ'[3]· „Ἡ τοῦ φάκτου ἄγνοια τοῖς τμηθεῖσιν οὐ συμβάλλεται φάκτοις.“

[δ'.] Καὶ κεφ. ζ'· „Ἡ τοῦ νόμου ἄγνοια τοὺς μὲν ἀπαιτοῦντας τὰ ἴδια οὐ βλάπτει, ἐπὶ κέρδει δὲ οὐ συμβάλλεται.“

[ε'.] „Ἡ[4] τοῦ φάκτου ἄγνοια καὶ ἀνδράσι καὶ γυναιξὶ βοηθεῖ. ἐπὶ δὲ ζημίας οὐδένα βλάπτει θέλοντα τὸ ἴδιον ἀπαιτῆσαι.“

---

[1] Cod. οὐκ ἀπαντ. [2] Cod. λε'. Cf. not. 2 p. 135. [3] Heimb. c. 16. [4] Basil. l. l. c. 8.

Τ Ι Τ Λ Ο Σ λε'[1].

Περὶ ἀρνήσεως [καὶ] ἐλέγχων[2].

[α'.] Τῷ ἀρνουμένῳ χρεωστεῖν καὶ ἐλεγχομένῳ αἱ διπλάσιαι εἰς ποινὴν ἐπιτέθεινται.

[β'.] Ὅτι ἐὰν ἀρνήσηταί τις μὴ δανείσασθαι, εἶτα ἐλεγχθῇ δανεισάμενος, καὶ προκομίσει ἀποδείξεις μερικῶν καταβολῶν, οὐδὲν αὐτὸν ὀνήσουσιν, ἀλλ' ἅπαν τὸ χρέος ἀπαιτηθήσεται.

[γ'.] Ὅτι εἰ ἐνάγω κατά τινος, ὡς λαβόντος παρ' ἐμοῦ νομίσματα, ὁ δὲ ἀρνεῖται, αἰτήσομαι δὲ ἐγὼ ὀμνύειν αὐτὸν περὶ τούτων, ἀπαιτοῦμαι πρῶτον ὀμνύειν αὐτὸς τὸν περὶ συκοφαντίας, εἶτα ἐκεῖνος τὸν ἐντελῆ. εἰ δὲ παραγάγω μάρτυρας ἐπὶ τούτῳ, εἰ μὲν ὀμώσουσιν οἱ μάρτυρες, ἀπαιτεῖται ἐκεῖνος τὸ χρέος· εἰ δὲ μή, ἐπιλογὴν ἔχει ὁ ἐναγόμενος ἢ τοὺς μάρτυρας αἰτεῖν ὀμνύειν ἢ τὸν ἐνάγοντα. τότε δὲ ὁ ἐνάγων ἀντεπάγει, ὅτε μὴ δύναται ὁ κατηγορούμενος αἰτεῖν τὸν περὶ συκοφαντίας.

[δ'.] Βι. κβ' τί. α' κεφ. κδ'[3]· „Εἰ λέγει τὶς μὴ χρεωστῶν ποιῆσαι γραμματεῖον, καὶ ἐστὶν ἀφανές, ὁ λαβὼν αὐτὸ δείκνυσιν· εἰ δὲ ῥητῶς ὁ τὸ γραμματεῖον ἐκθέμενος εἴπῃ τὰς αἰτίας, δι' ἃς συνεγράψατο, στοιχεῖν ἀναγκάζεται, εἰ μὴ προφανῶς δι' ἐγγράφων δείξει μὴ χρεωστῶν ὁμολογῆσαι.“

[ε'.] Ὅτι ἐναγόμενός τις, ὡς οἰκετικὰ πρόσωπα παρακατέχει, ἠρνεῖτο. καὶ ὁ μάγιστρος ἔκρινε, δεικνυμένου τοῦ ἀληθοῦς ἀποδιδόναι τοῦτον τά τε οἰκετικὰ πρόσωπα καὶ καθ' ἕκαστον τούτων νομίσματα κ'.

Τ Ι Τ Λ Ο Σ λς'[4].

Περὶ δημοσίου καὶ προνομίων αὐτοῦ.

[α'.] Ἀπὸ τότε δοκεῖ τις ἔνοχος εἶναι τῷ δημοσίῳ, ἀφ' ὅτου καιροῦ μεταχειρίζεται τὴν τοῦ δημοσίου δουλείαν, οὐκ ἀφ' οὗ τυχὸν φωράσει.

[β'.] Ὅτι ὁ μάγιστρος τὸν λέγοντα νόμον[5]· „ὁ ἀγορά-

---

[1] Cod. λς'. Cf. not. 2 p. 135. [2] Index: καὶ ἐλέγχου. [3] Heimb. c. 25. [4] Cod. λζ'. Cf. not. 2 p. 135. [5] Sequentia epitomen Basil. L, 13, 2 continere videntur. Cf. c. 5.

ζων ἀπὸ τοῦ δημοσίου εὐθὺς τὸ ἀμέριμνον ἔχει, καὶ μόνη τετραετία δίδοται ἐνάγειν κατὰ τοῦ φίσκου. μετὰ μέντοι τὴν τετραετίαν οὐδὲ κατὰ τοῦ φίσκου ἔχει τὶς ἀγωγὴν," οὕτως ἡρμήνευσε λέγων· ὅτι τοῦτο εἴρηται περὶ τῶν ἰδικῶν πραγμάτων τοῦ βασιλέως καὶ τῆς αὐγούστης, οἷα εἰσὶ τὰ τῶν κουρατωρικείων καὶ τὰ τῶν ἐπισκέψεων. ταῦτα γὰρ εἰσὶ τοῦ βασιλέως ἰδικὰ, καὶ μετ᾽ ἐπιτάγματος αὐτοῦ πωλοῦνται, καὶ οὐκ ἔχει τὶς ἀγωγὴν κατὰ τοῦ ἀγοράσαντος ἢ τοῦ λαβόντος τὴν δωρεὰν, ἀλλὰ κατὰ τοῦ δημοσίου. καὶ τὰ δημόσια δὲ ἐκεῖνα ἔλεγεν εἶναι δημόσια[1], ἅπερ τὸ πάλαι πρὸ τοῦ γενέσθαι βασιλέα εἶχεν ὁ δημόσιος καὶ ἐκαρποῦτο, τῆς δὲ βασιλείας κατασταθείσης προσεγένοντο αὐτῇ· ὁμοίως καὶ τὰ κλάσματα καὶ τὰ ἐξ ἀδοριῶν. καὶ παρῆγε τῆς ἑρμηνείας μάρτυρα τὸν Θαλέλαιον λέγοντα δημόσια τὰ τοῦ δήμου ὄντα, τὴν διάταξιν Ζήνωνος ἑρμηνεύοντα, ἤτοι ἐν τῷ ι′ βι. τί. λε′[2]. τὰ μέντοι πιπρασκόμενα παρὰ τῶν σεκρετικῶν, ἔνθα κατὰ δόλον γίνονται ἢ ἀδίκως, ἔλεγεν ἰσχυρῶς ἀνατρέπεσθαι· καὶ παρῆγε τοὺς νόμους μάρτυρας, οἳ περὶ ἀποκαταστάσεως διαλαμβάνουσι· καὶ ἐνταῦθα μὴ ἔχειν χώραν τὸ νόμιμον τὸ λέγον, μὴ εἶναι μηδεμίαν ἀγωγὴν κατὰ τοῦ ἀγοραστοῦ, ἀλλὰ τὸν μὲν ἀγοραστὴν ἔφασκε λαμβάνειν τὸ τίμημα, ὅπερ κατεβάλετο, παρὰ τοῦ πωλήσαντος ἢ τοῦ ἐνάγοντος, ἔνθα τυχὸν περιγραφή τις περὶ τὴν πρᾶσιν ἐγένετο· εἰ δέ γε βελτιώσεις τινὰς ἐποίησεν ἂν τῷ ἀγορασθέντι, πάντας ἀπολαμβάνειν ἐκ παντὸς ἤτοι τὴν τούτων τιμὴν παρὰ τοῦ ἐνάγοντος εἴπερ καλῇ πίστει ἠγόρασεν· εἰ δὲ κακῇ πίστει, μὴ τὸ τίμημα ἀπαιτεῖν, ἀλλὰ μόνας τὰς ὕλας λαμβάνειν μὴ ποιοῦντα τὸ ὑποκείμενον χεῖρον. ἐκ παντὸς μέντοι τὸν ἐνάγοντα τὸ οἰκεῖον λαμβάνειν, μὴ ἔχοντος ἐξουσίαν τοῦ ἀγοραστοῦ παρέχειν τὴν τιμὴν καὶ παρακατέχειν τὸ κτῆμα ἢ τὸ πρᾶγμα, εἰ καὶ ὑπὲρ τὴν τιμὴν τούτου βελτιώσεις ἐν αὐτῷ ἐποίησεν.

[γ′.] Βι. ι′[3] τί. ιθ′ κεφ. ιγ′[4] φησίν· Ὅτι „ὅτε πωλήσει ὁ δημόσιος χρέους ἕνεκε πράγματα τοῦ ἐλάσσονος, οὐ δέχεται ζήτησιν, διότι οὐδὲ τῇ τοῦ μάρκου διατάξει ὑπεξῄρηνται τὰ τοῦ ἐλάττονος πράγματα. ὅτε δὲ ὁ πωλῶν καθολικὸς τὰ πράγματα συμπαιγνίαν καὶ ἀπάτην ποιήσει ἢ ἐλαχίστου τιμήματος πωλήσει, τότε ὁ ἥττων τὸ ἱκανὸν τῷ δημοσίῳ ποιῶν ἀνακαλεῖται τὴν πρᾶσιν." καὶ τὸ ἐπὶ ταύτῃ τῇ διατάξει σχόλιόν φησιν,

---

[1] Abundat. [2] An Codicis? Sed numeri non quadrant. [3] Cod. ιθ′.
[4] Heimb. c. 3. Sed locus, qui sequitur, non textus est, sed epitome textus.

ὅτι τότε[1] τὰ ὑπὸ τοῦ δημοσίου πωλούμενα εἴσω πενταετίας δύναται ὁ δεσπότης αὐτῶν διεκδικῆσαι, ὅτε μὴ ὡς δανειστὴς ὁ δημόσιος πωλεῖ· εἰ γὰρ δανειστὴς ὢν ταῦτα πωλήσει, κατ' οὐδένα καιρὸν δύναται ὁ χρεώστης ταῦτα ἐκδικῆσαι. καὶ εἰκότως· εἰ γὰρ ὅτε ἰδιώτης δανειστὴς πιπράσκει τὰ ὑποκείμενα αὐτῷ, οὐ[2] δύναται ὁ χρεώστης οὐδὲ προσφορὰν ποιεῖν τῷ ἀγοραστῇ καὶ ἀναλαμβάνειν τὸ πεπραμμένον. ἐὰν δὲ κατὰ συμπαιγνίαν καὶ ἀπάτην τοῦ καθολικοῦ πολὺ ἐλαχίστου τιμήματος γέγονεν ἡ πρᾶσις, δύναται ὁ χρεώστης προσφέρειν τὸ χρέος καὶ ἀναλαμβάνειν τὸ ἴδιον. καὶ ὁ τίτλος[3] τῶν ἰνστιτούτων, πρὸς ὃν παραπέμπει ἡ προγεγραμμένη διάταξις, λέγει, ὅτι ἡ διάταξις τοῦ μάρκου τὸν ἀλλότριον πρᾶγμα ἀγοράζοντα παρὰ τοῦ δημοσίου διὰ πενταετίας ἔλεγε γίνεσθαι δεσπότην, καὶ ὅτι ἡ τοῦ ζήνωνος διάταξις λέγει· ὁ ἀγοράσας παρὰ τοῦ δημοσίου ἢ κατὰ δωρεὰν δεξάμενος ἢ κληρονομίαν, παραχρῆμα μὲν ἔχει τὸ ἀμέριμνον, ὁ δὲ τοῦ πράγματος κύριος μέχρι τετραετίας ἔχει τὴν ἀγωγὴν κατὰ τοῦ δημοσίου· τοῦτο δὲ καὶ ἐπὶ ὑποθήκης, ὥστε μήτε τὸν δεσπότην τοῦ πράγματος ἔχειν ἀγωγὴν κατὰ τοῦ ἀγοραστοῦ, ἀλλὰ μηδὲ κατὰ τοῦ δημοσίου μετὰ τὴν τετραετίαν τὴν ἀπαιτητικὴν ἀγωγὴν, μήτε δὲ τὸν δανειστὴν ὁμοίως κινεῖν τὴν περὶ ὑποθήκης ἀγωγήν. τὴν ὁμοίαν δὲ διάταξιν ἔφη κρατεῖν καὶ ὁ ἰουστινιανὸς[4] καὶ περὶ τῶν ἐκποιουμένων ἢ παρὰ τῆς αὐτοῦ γαληνότητος ἢ παρὰ τῆς αὐγούστης.

[δ'.] Καὶ τοῦ ι' βι. τί. λγ' κεφ. ε'· „Ἡνίκα ὁ δημόσιος πιπράσκει τὸ τοῦ ἀνήβου πρᾶγμα ἢ τὸ τοῦ διὰ πρᾶγμα δημόσιον ἀπολιμπανομένου ἢ ἑτέρου τινὸς καθ' οἱονδήποτε τρόπον ἀποκαταστῆναι δυναμένου, μὴ ἀντικεῖσθαι τῆς τοῦ πράγματος δεσποτείας τὸν τετραετῆ χρόνον τὸν βεβαιοῦντα τὰς γινομένας ὑπὸ τοῦ δημοσίου πράσεις τῶν ἀλλοτρίων πραγμάτων.“

[ε'.] Καὶ βι. ν' τί. ιγ' κεφ. β', ὃ λέγει, ὅτι πάντες, ὅσοι ἠγόρασαν ἢ κατὰ δωρεὰν ἔλαβον ἐκ τῶν θειοτάτων θησαυρῶν, ἀπολαυέτωσαν[5] τῶν δεδωρημένων προνομίων, ὡς μὴ δύνασθαι τοὺς δεσπότας τῶν πραγμάτων κατὰ τῶν ἀγοραστῶν ἐνάγειν, ἀλλ' ἐντὸς τετραετίας κατὰ τοῦ δημοσίου δύνασθαι κινεῖν. καὶ κεφ. γ', ὃ λέγει, ὅτι ἡ διάταξις τοῦ ζήνωνος τοὺς παρὰ τοῦ δημοσίου ἀγοράσαντας ἢ λαβόντας κατὰ δωρεὰν ἢ κατά τινα τρόπον ἕτερον κτησαμένους μὴ ὑπομένειν τινὰ ζημίαν, ἀλλὰ

---

[1] Cf. Harm. III, 3, 88. [2] Legerim ἢ. [3] Inst. II, 6 §. ult. [4] l. 3 C. VII, 37. Cf. c. 5. [5] Cod. ἀπολαμβαν. habere videbatur.

τοὺς δεσπότας τῶν πραγμάτων κατὰ τοῦ δημοσίου μόνον κινεῖν ἐντὸς τετραετίας· καὶ νομοθετεῖ καὶ αὐτὸς[1], ὅτι τὸ τοιοῦτον φυλάττεται ἐπὶ τῶν δημοσίων ἐκποιήσεων, καὶ φυλάττεται δὲ καὶ ἐπὶ τῶν ἐκποιουμένων ἀπὸ τῆς ἰδικῆς περιουσίας τοῦ βασιλέως καὶ ἐπ᾿ αὐτοῦ τοῦ βασιλέως παρέχοντός τινα πρός τινας κατά τινα τρόπον, καὶ διὰ τοῦτο θεσπίζει ὁμοίως καὶ ἐπὶ τῶν τοιούτων τὴν αὐτὴν κρατεῖν διάταξιν, ὅτε δηλονότι κατ᾿ ἐπιταγὴν βασιλέως διαπραθῶσιν ἢ δωρηθῶσι ἢ ἄλλως τῆς δεσποτείας μετενεχθῶσι πράγματα τῆς ἰδικῆς περιουσίας τοῦ βασιλέως, τὸν λαμβάνοντα ταῦτα μένειν ἀνενόχλητον, τὸν [δὲ] λέγοντα ἔχειν δίκαιον ἐπὶ τῷ ἐκποιηθέντι ἐντὸς τετραετίας προσέρχεσθαι τῷ βασιλεῖ καὶ ἐγκαλεῖν.

[ϛ′.] Καὶ βι. ιθ′ τί. δ′ κεφ. κγ′[2]· „Ὁ ἀγοράσας κληρονομίαν παρὰ τοῦ δημοσίου, αὐτὸς ἀναγκάζεται τοῖς κληρονομιαίοις δανεισταῖς ἀποκρίνεσθαι, καὶ ἔχει ὁ πεπρακὼς τὸ ἀφρόντιστον."

[ζ′.] Καὶ βι. νϛ′ τί. β′ κεφ. γ′· „Ἐν ταῖς δημοσίαις πράσεσιν ἡ πίστις καὶ ἡ ἐπιμέλεια ζητεῖται τοῦ φροντιστοῦ τοῦ βασιλέως."

[η′.] Καὶ κεφ. κε′[3]· „Εἰ τὸ τριπλοῦν ὁμολογήσει ὁ δημόσιος, μόνον τὸ ἁπλοῦν δίδωσιν."

[θ′.] Καὶ θέ. β′[4]· „Ἐὰν ἀπὸ τοῦ ἔχοντος ἐξουσίαν πραθῇ δημόσιον πρᾶγμα, παραχρῆμα γίνεται τοῦ ἀγοραστοῦ, καταβαλλομένου τοῦ τιμήματος."

[ι′.] Καὶ κεφ. β′[5]· „Τὸ φιλονεικούμενον πρᾶγμα πιπράσκειν ὁ δημόσιος οὐκ ὀφείλει." Σχόλιον· ἀλλ᾿ ὑπερτίθεται ἡ πρᾶσις αὐτοῦ.

[ια′.] Καὶ κεφ. μζ′· „Ἐὰν τὰ ὑποκείμενα τῷ δημοσίῳ πράγματα ἐκ προφανοῦς ἀπάτης ἢ κατὰ χάριν τοῦ ἀγοραστοῦ ἥττονος τιμήματος ἐπράθη, ἔξεστι τῷ δεσπότῃ αὐτῶν προσαγαγεῖν τῷ δημοσίῳ τὰ παρ᾿ αὐτοῦ χρεωστούμενα, καὶ ἀναλαβεῖν τὰ πεπραμένα πράγματα."

[ιβ′.] Ὅτι ὅτε βασιλεὺς δωρήσεται ἰδιόκτητον πρᾶγμα, ἤτοι τὸ περιελθὸν αὐτῷ ἀπὸ εἰσκομιδῆς, οὐκ ἀνατρέπεται ἡ πρᾶσις. τοῦτο δὲ ἔλεγεν[6] ἐξεργαστικωτέρως· οἷον ἔχων τὶς ἀγρὸν ἢ προάστειον ἐπελάβετο καὶ συνήνωσε περιδραξάμενος καὶ τὸν τοῦ γείτονος· εἶτα ἐδημεύθη ὁ τοιοῦτος καὶ ὁ ἀγρὸς τούτου σύν γε τῷ ἁρπαγέντι τῷ δημοσίῳ προσαφωρίσθη. δύναται ὁ τὴν βίαν

---

[1] Sc. ὁ ἰουστινιανός. [2] Cf. Suppl. edit. Basil. Heimb. p. 264. [3] Lege ε′. [4] Cod. ε′. [5] Heimb. c. 20. [6] Nempe ὁ μάγιστρος. Cf. supra c. 2.

ὑποστὰς κινεῖν κατὰ τοῦ δημοσίου ἄχρι τριακονταετίας περὶ τῆς ἁρπαγῆς, καὶ οὐκ ἀποκλείεται. ἐὰν δὲ μὴ κινήσαντος ἐκείνου ὁ βασιλεὺς τυχὸν πωλήσῃ τὸν ἀγρὸν μετὰ τοῦ ἁρπαγέντος ἢ δωρήσηται, αὐτίκα ὁ λαβὼν παρὰ τοῦ βασιλέως τὸ πρᾶγμα ἔχει τὸ ἀφρόντιστον, καὶ οὐκ ἀνατρέπεται ἡ πρᾶσις· μέχρι δὲ τετραετίας δύναται ἐκεῖνος κινεῖν κατὰ τοῦ δημοσίου καὶ οὐ κατὰ τοῦ ἀγοραστοῦ, μετὰ δὲ τὴν τετραετίαν κατ᾽ οὐδενὸς κινεῖν δύναται, ὡς ἤδη πανταχόθεν ἀποκλεισθείς. ὅπερ οὖν ἐστὶν ἐπὶ τῶν καλῇ πίστει ἀγοραζόντων ἡ δεκαετία, ὅτι ἐὰν νεμηθῇ ἐπὶ ι' χρόνοις ὁ ἀγοραστὴς ἀνεπιφωνήτως δεσπόζει, τοῦτο ἐστὶν ἐπὶ τῶν ἰδιοκτήτων τοῦ βασιλέως καὶ κυρίως δημοσίων καὶ κρατουμένων ὑπὸ τοῦ δημοσίου ἡ γινομένη παρὰ τοῦ βασιλέως πρᾶσις ἢ δωρεά· μετὰ γὰρ τὴν πρᾶσιν εὐθὺς ἔχει ὁ ἀγοραστὴς τὸ ἀφρόντιστον. ὅπερ δὲ ἡ τριακονταετία ἐπὶ τῶν ἄλλων, τοῦτο ἐπὶ τῶν τοιούτων πράσεων ἡ τετραετία, δι᾽ ἧς δύναται κινεῖν, οὐ κατὰ τοῦ ἀγοραστοῦ, ἀλλὰ κατὰ τοῦ πωλήσαντος.

[ιγ'.] Τὸ ν ό μ ι μ ο ν[1] τὸ λέγον, ὅτι ἐν τοῖς ἀμφιβόλοις κατὰ τοῦ δημοσίου ἀποκρινόμεθα, οὕτως ἡρμήνευσεν ὁ π α τ ρ ί κ ι ο ς· ἐν τοῖς ἀμφιβόλοις πόροις[2] τουτέστιν ἐν τοῖς ἐπικερδέσιν, ἐν οἷς ἐπικερδὴς αἰτία γίνεται τῷ δημοσίῳ, οἷον ἐπὶ τῶν κλεπτοτελωνημάτων, ἔνθα τυχὸν ἐνάγεται ὡς κλεπτοτελωνήσας· τότε γὰρ κατὰ τοῦ δημοσίου ἑρμηνεύεται, ὅτε ἐστὶν ἀμφίβολον, εἴτε κλεπτοτελώνης ἐστὶν εἴτε καὶ μή· καὶ οὐ συγχωρεῖται ἐκ τούτου κερδῆσαι τὸν δημόσιον. ἐν δὲ τοῖς ἄλλοις ὑπὲρ τοῦ δημοσίου χρὴ ἀποκρίνεσθαι, ἔνθα δηλαδὴ ζημία τῷ δημοσίῳ ἐκ τῆς ἀμφιβολίας φέρεται.

[ιδ'.] Ὅτι[3] ἐπὶ τῶν λαβόντων δημόσια χρήματα ἤγουν ἀπολογαριασμούς, ὁ χρόνος οὐ σβέννυσι τὴν ἀγωγήν. εἰ γὰρ παρακατάσχωσί τι τῶν δημοσίων, οὐκ ἔχουσι χρόνον βοηθὸν ἢ ἀποκλείουσι τοὺς ἐνάγοντας, ἀλλὰ καὶ αὐτοὶ ἐὰν τελευτήσωσιν, οἱ παῖδες τούτων, κἂν μηδὲν ἐξ αὐτῶν ἐκέρδησαν ἢ εἰς κλῆρον ἔλαβον, κρατούμενοι ἀπολογοῦνται τοῖς ἐνάγουσιν.

[ιε'.] Ὅτι ἐάν τις πωλήσῃ οἶκον αὐτοῦ ἐπὶ τῷ καταλυθῆναι ἢ ἐποίκιον, ἀκυροῦται ἡ πρᾶσις, καὶ ὁ μὲν ἀγοραστὴς καταβάλλει τὸ τίμημα διπλοῦν τοῦ ἀγορασθέντος οἴκου τῷ δημοσίῳ, ὁ δὲ πράτης ἐὰν ἔτυχε λαβὼν τὸ τίμημα, ἀναδίδωσι πάλιν τοῦτο τῷ ἀγοραστῇ· καὶ ζημιοῦνται ἀμφότεροι, ὁ μὲν πράτης

---

[1] Basil. LVI, 2, 9. [2] Cod. videbatur habere πόνοιςσι. [3] Harm. I, 3, 52. Idem locus habetur supra tit. VIII c. 10.

τυχὸν ἀναδιδοὺς τὸ τίμημα, ὅπερ ἔλαβεν, εἰ δὲ μὴ ἔλαβε τὸ τίμημα, ζημιούμενος τὰς ὕλας τοῦ οἴκου· εἰ μὴ γὰρ κατεβλήθη τὸ τίμημα, ταῦτα τῷ δημοσίῳ ὤφειλον οἰκειοῦσθαι. ὁ δὲ ἀγοραστὴς κἂν τὸ διπλάσιον ἀπαιτηθῇ παρὰ τοῦ δημοσίου, ἀλλ' οὖν ἀναλαμβάνων τὸ τίμημα, ὃ κατέβαλε τῷ πράτῃ, δοκεῖ εἰς τὸ ἁπλοῦν ζημιοῦσθαι. τὸ δὲ ἐποίκιον ὁ μὲν κύριλλος[1] καὶ θεόφιλος[2] κώμην ἑρμηνεύουσι, τουτέστιν οἰκοπροάστειον. ὁ δὲ στέφανος ἐν ταῖς παραγραφαῖς τὸ τοῦ οἴκου μέρος· ὁ δὲ ἐξάκτωρ ἔλεγε τὸ αὐτὸ ἐνοίκιον καὶ ἐποίκιον ἤγουν τὰ ἐνοικιακὰ λεγόμενα.

[ιϛ'.] Ὅτι[3] ἐάν τις λέγηται κατέχειν πρᾶγμα τοῦ δημοσίου, ὀφείλει ἐνάγεσθαι καὶ ἐλεγχόμενος ἀποδιδόναι εἰς τὸ διπλοῦν τὸ κατεχόμενον προστίμου ἕνεκε. πρὸ δὲ ἐλέγχου οὐ χρὴ τοῦτον στερεῖσθαι τῶν ἰδίων ἢ ἀποκλείεσθαι. ὁ δὲ παρὰ ταῦτα ποιῶν ἄρχων, οἷος ἂν καὶ εἴη, δημοσιεύεται καὶ περιορίζεται κατὰ τὸ κε' βι. τί. ε' κεφ. να'[4].

[ιζ'.] Ὅτι οἱ χρεῶσται τοῦ δημοσίου χρέους[5] εἰ μὲν ὁμολογοῦσιν, ἀπαιτοῦνται, εἰ δὲ ἀμφιβάλλουσιν, οὐκ ἀπαιτοῦνται. ἐν γὰρ τοῖς ἀμφιβόλοις ὁ νόμος κατὰ τοῦ δημοσίου ἀποκρίνεται κατὰ τὸ νϛ' βι. τί. ε'[6] κεφ. η'. τοῦτο δὲ ἄλλως ἡρμήνευσεν ὁ μάγιστρος κατὰ τὸ δ'[7] κεφ. τούτου τοῦ συντάγματος.

[ιη'.] Ὅτι ὁ πατρίκιος ὁ τριακοντάφυλλος κτῆμα ἔχων κατὰ τὴν ἀχειροποίητον ἐπισυνῆψε τοῦτο καὶ ἑτέρῳ πένητος, μὴ δοὺς τὴν ὑπὲρ τούτου τιμήν. εἶτα ἔθανε καὶ ὁ πένης προσῆλθε τῷ βασιλεῖ περὶ τοῦ τιμήματος, καὶ ἐπέμφθη πρὸς τὸν ἐξάκτωρα, καὶ τῆς δίκης ζητουμένης ἀνεφύη δημοσιακὴ ἐνοχὴ κατὰ τῆς περιουσίας τοῦ πατρικίου, καὶ γίνεται τὸ κτῆμα δημόσιον ᾧ συνήφθη [τὸ] τοῦ πένητος. καὶ ἐσημειώσατο ὁ ἐξάκτωρ οὕτως· εἰργόμεθα τοῦ δικάζειν περὶ τῆς δεσποτείας ἡμεῖς· οὐ γὰρ ἐνῆν τῷ δημοσίῳ δικαιοδοτεῖν. ἐκκεχωρήκαμεν δὲ ἀγωγὴν κατὰ τῆς ὑπάρξεως τοῦ πατρικίου τῷ πένητι, ἵνα, εἰ δυνατῶς, ἕξῃ εὐπορίαν.

[ιθ'.] Βι. κε' τί. γ' κεφ. ιη'· „Ἐὰν[8] τοῦ δημοσίου πωλοῦντος ἑτέρῳ τινὶ ὑποκείμενον ἐφησυχάσῃ ὁ δανειστής, ἀπόλλυσι τὴν ἐπὶ τῇ ὑποθέσει[9] ἀγωγήν. οὐδὲ γὰρ αἱ γενόμεναι πράσεις

---

[1] Cod. videbatur habere *κύριος ἄλλος καὶ θεοφύλακτος*. [2] Nempe in scholiis ad l. 52 D. 18, 1. [3] Harm. I, 2, 38. [4] Non invenio. [5] Cod. *χρεώστου* habere videbatur. [6] Lege *β'*. Est apud Heimb. Basil. LVI, 2, 9. [7] Cf. supra c. 13. [8] Cf. etiam Harm. III, 3, 84. [9] Malim *ὑποθήκῃ*.

παρὰ τοῦ δημοσίου ......[1] *γενομένην πρὸ χρόνων ἕξ, ἐβεβαίωσε ταύτην καίτοι τοῦ ἐνάγοντος περικοπῆς ἔχοντος ὑπόμνημα διηγούμενον, ὅτι καὶ πρὸ τοῦ πραθῆναι τὸ κτῆμα ἐνήχθη ὁ πρῶτος δεσπότης ὡς ἀγοράσας παρ' ἑτέρου τὸ προικὶ ὑποκείμενον.*

[κ'.] *Βι. κγ' τί. γ' κεφ. ις'*[2]. „*Ὁ δημόσιος ἐξ ἰδίων μὲν συναλλαγμάτων οὐ δίδωσι τόκον· ἰδιώτην δὲ διαδεχόμενος δίδωσι τόκον. αὐτὸς δὲ τόκους ἀπαιτεῖ ὡς ἀπὸ τῶν ἐκληπτόρων τῶν φόρων καὶ τῶν τελωνῶν βραδέως καταβαλλόντων.*"

[κα'.] *Ὅτι*[3] „*ὁ τόκους ἐλαφροτέρους χρεωστῶν ἰδιώτης ἡμιεκατοστιαίους δίδωσι, μεθ' ὃ τὸ χρέος εἰς τὸν δημόσιον περιέλθῃ.*"

[κβ'.] „*Οἱ*[4] *τὰ πολιτικὰ διοικήσαντες καὶ οἱ γενόμενοι κουράτορες τῶν ἔργων τόκους διδόασι τῶν παρ' αὐτοῖς μεινάντων χρημάτων, οὐ μὴν τῶν δοθέντων τοῖς ἐργολάβοις, κἂν ἀμελῶς δεδώκασιν· εἰ μὴ ἄρα δόλον ἥμαρτον.*"

[κγ'.] *Ὅτι στίχον δημόσιον ἡρμήνευσεν ὁ μάγιστρος ἔχοντα οὕτω·* „*στάσις κειμένη εἰς τὸ αὐτὸ χωρίον σὺν γῇ ἀποσπασθείσῃ ἀπὸ τοῦ αὐτοῦ χωρίου ἕνδομα*[5], *καὶ στάσις πλησίον τοῦ ὁροφίσσου καθὼς περιωρίσθη σὺν νομῇ τοῦ ὕδατος καὶ τόπῳ, καὶ στάσις τοῦ ὁμαλοῦ καὶ τοῦ*[6] *ἐπισκόπου σκευγένης*[7] *κυροῦ*[8] *ἀγαθονίκου, καὶ στάσις θεοδοσίου καὶ στάσις φίλη τοῦ ἀδελφοῦ αὐτοῦ κειμένη ἐν τῷ αὐτῷ χωρίῳ τοῦ πλαστοῦ, καὶ στάσις μιτζοῦ στάσις χρυσοῦ καὶ μέρος στάσεως θεοφίλου καὶ ἀβραμίου υἱοῦ αὐτοῦ, καὶ στάσις καλλίστου πρα.τ.. ὄγδοον ἐν τῷ αὐτῷ χωρίῳ παμφίλου, περιβολὴ κειμένη ἐν τῷ αὐτῷ χωρίῳ διὰ βασαακίου σὺν τόπῳ λεγομένῳ πηγαδίῳ.*" *οὕτω τοῦ στίχου φράζοντος διεγνώσθη, ὅτι τοποθεσίαι κεχωρισμέναι ἀλλήλων συνεγράφησαν, καὶ δηλοῦται ἑκάστη πῶς ὠνόμασται καὶ ποῦ διάκειται· καὶ πρώτη στάσις αὕτη· κειμένη ἐν τῷ αὐτῷ χωρίῳ σὺν γῇ ἀποσπασθείσῃ ἀπὸ τοῦ αὐτοῦ χωρίου εὔδομα· ἐν ταύτῃ [τῇ] μερίδι ἡ* „*σὺν*" *πρόθεσις τὴν ἕνωσιν ἀπεργάζεται. δευτέρα δὲ στάσις πλησίον τοῦ ὁροφίσσου καθὰ περιωρίσθη σὺν νομῇ τοῦ ὕδατος καὶ τόπῳ. τρίτη στάσις τοῦ ὁμαλοῦ καὶ τοῦ ἐπισκόπου σκευγένης. τετάρτη στάσις θεοδοσίου καὶ φίλη τοῦ ἀδελφοῦ αὐτοῦ κειμένη ἐν τῷ χωρίῳ τοῦ*

---

[1] Adde: *εὐχερῶς ἀνατρέπονται.* Nimirum nonnulla exciderunt, quippe in Codice sic est: *δημοσίου γενομένην πρὸ χρόνων.* [2] Heimb. c. 17.
[3] Basil. XXIII, 3, 17. [4] Basil. l. l. [5] Infra *εὔδομα.* An *ἕβδομα*? coll. infra v. *ὄγδοον.* [6] Cod. *ὀφειλοῦ παρὰ τοῦ.* [7] An *σεργέντζης*? Episcopatum *σκευγένης* in Dispositione thronorum non invenio. [8] Cod. *κατά.*

πλαστοῦ. ε' στάσις μιτζοῦ καὶ στάσις χρυσίου καὶ στάσις καλλίστου κειμένη ἐν τῷ αὐτῷ χωρίῳ ......[1] διὰ βασαακίου[2] σὺν τόπῳ λεγομένῳ πηγαδίῳ· προωνομασμένου γὰρ τοῦ παμφίλου ἐν τῇ προηγουμένῃ στάσει εὐθὺς ἕπεται στάσις κειμένη ἐν τῷ χωρίῳ. οὕτως διαιρέσας τὰς στάσεις, καὶ τοῦ στίχου τέλος τὰ τρία νομίσματα μιλλιαρήσια δ' φόλλεις ιη'[3] εἰς ἓξ ἐμέρισεν, εἶτ' οὖν ἀνὰ νόμισμα ἥμισυ φόλλεις ιθ'.

[κδ'.] Ὅτι[4] περὶ τέλους δημοσίου ἐκινήθη δίκη ἐπὶ μέσου τῆς μητροπόλεως ἐφέσου καὶ τῆς μονῆς τῶν καμψῶν καὶ οὐκ ἐτμήθη[5]. εἶτα ἐπὶ τοῦ μαγίστρου πάλιν ἐκινήθη, καὶ περὶ τῶν ὀπισθοτελειῶν ἐσημειώσατο οὕτως· τὰς ὀπισθοτελείας δεῖ παρασχεῖν, καὶ κατεδικάσθη ἀπὸ τοῦ καιροῦ τῆς πρὸς τὸν αἱρετὸν προκατάρξεως τῆς δίκης.

ΤΙΤΛΟΣ λζ'[6].

Περὶ ὅρων καὶ διαιρέσεων.

[α'.] Ἐπὶ τῶν συγχύσεων τῶν ὅρων δεῖ τοὺς αἰτίους τῆς συγχύσεως αὐτοὺς ἐκείνους, ἐναγομένους παρ' ὧν ὑπέστησαν τὴν ἀδηλίαν τῶν ὅρων, ἐξ ἐγγράφων καὶ συστατικῶν δικαιωμάτων διαχωρίζειν τὰ ὅρια, καὶ τότε πρὸς τὴν ποσότητα τοῦ δημοσίου ἑκάστου προσώπου, ἀναγνώσεως δηλονότι τῶν ἐμφιλονείκων γενομένων, διαιρεῖσθαι καὶ τὴν ἐπιβάλλουσαν ἑκάστῳ δημοσίῳ γῆν. εἰ δὲ μηδὲ τοῦτο αἱροῖντο οἱ ἐναγόμενοι, τότε τοὺς ἐνάγοντας διαιρεῖν ταύτην μετὰ τῶν ἀχράντων εὐαγγελίων.

[β'.] Ὅτι ἐὰν ἔχωσι πολλοὶ νομάδια, καὶ μὴ ἔχῃ φανεροὺς τοὺς ὅρους τοῦ οἰκείου ἕκαστος, εἰ μὲν ἐστὶ δυνατὸν, δεῖ διαιρεῖσθαι διὰ ποσοῦ τοῦ δημοσίου, ἐὰν ὑπάρχῃ ἐξ ἑνὸς ὑποτεταγμένου ἀμφοτέρων τὸ δημόσιον· εἰ δὲ οὐ δύνανται οἱ ὅροι διαιρεθῆναι, δεῖ πάντας τοὺς ἔχοντας κτήνη παρέχειν ἑκάστου κτήνους εὐνόμιον, καὶ συνάγεσθαι πάντα, καὶ τότε μερίζεσθαι

---

[1] Nempe lacuna hic statuenda est. Sex στάσεις Magistrum distinxisse necesse est, quum tributum in sex partes diviserit. Forte deest: ἕκτη στάσις περιβολὴ κειμένη ἐν τῷ αὐτῷ χωρίῳ. [2] Cod. βασακακίου (α superscr.). [3] Cod. η'. [4] Cf. de hac causa tit. LVIII c. 5. — Diplomatarium ejus monasterii de annis 1228—1282 p. Chr. exstat in Cod. Vindob. hist. gr. 68. Ibi fortasse ampliorem hujus causae notitiam invenire est. [5] Cod. ἐτουμήθη. [6] Cod. λη'. Cf. not. 2. p. 135.

τὸ συναχθὲν εἰς πάντας κατὰ τὸ δημόσιον. πολλάκις γὰρ ὁ μὲν ἔχει πολλὰ κτήνη, ὁ δὲ ὀλίγα, ὁ δὲ τῶν χωριτικῶν οὐδ᾽ ὅλως εἰσήγαγε κτῆνος εἰς τὴν νομήν. καὶ χρὴ τοῦτον [οὐ] διὰ τοῦτο ἐκβάλλεσθαι διὰ τὸ μὴ δοῦναι δεκάτην, ἀλλὰ δεῖ καὶ τοῦτον κατ᾽ ἰσότητα τοῖς ἄλλοις λαμβάνειν· τὰ γὰρ ἑαυτοῦ νομάδια ἕτερος ἐνεμήθη[1].

[γ΄.] Βι. κβ΄ τί. α΄ κεφ. κζ΄[2]· „Ὅτε περὶ καινοτομίας ἢ ὅρων γίνεται ζήτησις, οὐκ ἀπαιτοῦμεν τοὺς περιόντας εἰδέναι πάντως, ἐπὶ ποίων ὑπάτων ἢ πότε τὸ ἔργον γεγένηται, ἀλλ᾽ εἰ ἀκηκόασι παρὰ τῶν ἐπισταμένων ἢ ἀκουσάντων, πότε τὸ ἔργον ἐγένετο."

Τ Ι Τ Λ Ο Σ λη΄[3].

Περὶ πράσεως καὶ ἀγορασιῶν.

[α΄.] Ὅτι ἐξωνήσατό τις ἀκίνητον κτῆσιν νομισμάτων πδ΄. μόνα δὲ κατέβαλε ιθ΄, ἐφ᾽ ᾧ ἔγγραφον γενέσθαι πρᾶσιν, καὶ οὕτως ἐπικαταβληθῆναι καὶ τὰ λειπόμενα. εἶτα ἐναγόμενος ἐπὶ τῇ τοῦ λείποντος χρέους ἀπαιτήσει, καὶ προφασιζόμενός τινας αἰτίας καὶ μὴ δεικνὺς ταύτας, αἵρεσιν ἐδέξατο παρὰ τοῦ δικαστοῦ δυοῖν ἑλέσθαι θάτερον, ἢ τὸ λεῖπον χρυσίον καταβαλεῖν καὶ δεσπόζειν τοῦ κτήματος, ἢ ἀναδοῦναι τοῦτο πρὸς τὸν πεπρακότα. καὶ γὰρ συνέδοξεν ἔγγραφον γενέσθαι· οὔπω δὲ τοῦ ἐγγράφου τελεσθέντος, ὁ δικαστὴς εἶπε, μετέωρός ἐστιν ἔτι ἡ τοῦ πράγματος αὐτοτέλεια. φησὶ γὰρ ὁ νόμος[4]· „ἡ διάταξις κελεύει τὰς πράσεις [καὶ] ἐναλλαγὰς καὶ δωρεὰς, ἐλάττονας τῶν φ΄ νομισμάτων οὔσας, καὶ δόσεις ἀῤῥαβώνων καὶ πάντα τὰ ἐγγράφως γινόμενα συναλλάγματα, καὶ τὰς ἐγγράφους [δια-]λύσεις μὴ ὅλως ἐῤῥῶσθαι, ἐὰν μὴ καὶ εἰς καθαρὸν ἐνεχθῶσι καὶ ὑπογραφῶσι παρὰ τῶν μερῶν· καὶ εἰ διὰ συμβολαιογράφου γένωνται τὰ ἔγγραφα, λάβωσι καὶ τὸ τοῦ συμβολαιογράφου τέλεσμα." ταῦτα εἰπὼν, καὶ μὴ θελήσαντος τοῦ ἀγοραστοῦ καταβαλεῖν τὸ λεῖπον τίμημα, ἐκρίθη[5] γενέσθαι ἀντὶ τῶν καρπῶν καὶ ἀπολέσαι τοῦτο τὸν ἀγοραστὴν ὑποκείμενον λογισμοῖς· καὶ εἰ μέντοι

---

[1] Cod. videbatur habere ἐνεμήθησαν. [2] Heimb. c. 28. [3] Cod. μ΄. Manifesta perturbatio! Cf. not. 2 p. 135. [4] Basil. XXII, 1, 76. [5] Adde τὰ ιθ΄, vel τὸ δοθέν.

πλέον τῶν ιθ' νομισμάτων ἐκαρπώσατο, ἐκτίσειν καὶ τοῦτο· εἰ δὲ τοσοῦτον οἱ καρποὶ εὑρεθῶσιν ἢ ἥττονες, ἀνενόχλητον διαμεῖναι παραδιδόντα μόνον τὸ κτῆμα, ὥσπερ τοῦτο παρέλαβεν. οὐδὲ γὰρ ἰσχυράν τινα δικαιολογίαν ἔδοξεν ὁ πράτης εἰσάγειν, ἐνιστάμενος δεῖν τὸ λεῖπον αὐτῷ καταβληθῆναι τοῦ τιμήματος· πρῶτα μὲν δὴ[1] τὸν νόμον, ὡς δέδεικται, μὴ τελείαν ἡγεῖσθαι τὴν πρᾶσιν ἐκ τοῦ μήπω τὸ ἔγγραφον τελεσθῆναι συμβόλαιον· ἔπειτα ὅτι καὶ τὸ διαπωληθῆναι μέλλον ἐξ[2] ἀμφισβητήτου δεσποτείας τρόπου προσγέγονε τῷ πράτῃ. τῆς μὲν οὖν πράσεως μήπω τέλος ἐσχηκυίας, τῆς δεσποτείας δὲ ἀμφιβαλλομένης, ἀκόλουθον ἱκανὰ δοῦναι τὸν πράτην εἴτουν ἐγγυητὴν ἀξιόχρεων, εἴπερ ἐβούλετο συστῆναι τὴν πρᾶσιν. συνῆπται γὰρ γυναικὶ καὶ προικὸς καὶ γαμικῶν κερδῶν ἐνοχαῖς καθυπόκειται, ὁπότε κἂν ἄρτιος ἦν ἡ πρᾶσις καὶ ἐντελής, πρὸ δὲ τῆς τοῦ τιμήματος παροχῆς ἡ τοῦ κτήματος ἐστασιάσθη δεσποτεία, καὶ ὁ τὸ τίμημα ποθῶν ἀπενέγκασθαι ὑποβεβλημένος ἐνοχῇ ὡράθη, οὐκ ἄν τις ἠνάγκασε τὸν ἀγοραστὴν κατὰ βυθοῦ ῥῖψαι τὸ τίμημα καὶ μηδὲ τοῦ ἱκανοῦ θέσθαι πρόνοιαν· ἀλλὰ καὶ ψιλῶν ὄντων συμφώνων τῶν ἀγωγὴν μὴ τικτόντων παραγραφὴν αὐτῷ ἐχαρίσατο.

[β'.] Ὅτι ἐπώλησέ τίς τινι βλάττιον μὴ λαβὼν τὸ τίμημα, ἀλλ' ὑπὸ ὑπόσχεσιν τοῦ λαβεῖν τοῦτο. εἶτα κινήσαντος τοῦ πράτου περὶ τῆς τιμῆς ἀντέθεικεν ὁ ἀγοραστὴς τὸν παραῤῥεύσαντα πολὺν ἤδη τῆς δεκαετίας χρόνον, καὶ κυριεῦσαι ἔλεγε τῶν κινητῶν διὰ τοῦ χρόνου. ἀλλ' ἔκρινεν ὁ μάγιστρος καὶ οἱ κριταί, τῶν μὲν πραγμάτων κυριεῦσαι, δοῦναι δὲ τὸ τίμημα· τὴν γὰρ περὶ τοῦ τιμήματος καὶ τοῦ χρέους ἀγωγὴν διὰ τριακονταετίας σβέννυσθαι.

[γ'.] Ὅτι ὅτε τὶς φαμιλίαν ὠνήσεται τυχὸν πατέρα καὶ μητέρα καὶ τέκνα δύο ἢ καὶ τρία, ἐστὶ δὲ καὶ ἕτερον παιδίον αὐτῶν, καὶ τοῦτο πάλιν παρ' ἄλλου ὠνηθῇ, ἐξουσίαν ἔχει ὁ ἔχων τοὺς πλείονας διδόναι τὴν τίμησιν τῶν ἐχόντων[3] τὸν ἕνα καὶ ἐξωνεῖσθαι αὐτόν. ὅτε δὲ ἐλευθερώσῃ τὶς πατέρα καὶ μητέρα καὶ τέκνα δύο ἢ τρία ἢ καὶ πλείονα, παρακατάσχῃ δὲ ἓν ἐξ αὐτῶν παιδίον ἢ καὶ δύο, οὐκ ἔχουσιν οἱ λοιποὶ δίκαιον ἐγκαλεῖν, καὶ λέγειν, ὅτι δεδώκαμεν τὴν τιμὴν τοῦ υἱοῦ ἡμῶν ἢ τοῦ ἀδελφοῦ καὶ ἐλευθερωθήτω καὶ αὐτός. λέγει γὰρ αὐτοῖς

---

[1] Cod. δεῖ. Forte διὰ τό. [2] Cod. οὐκ ἐξ. Forte κτῆμα. [3] Legendum τῷ ἔχοντι, vel καὶ λαμβάνειν παρὰ τῶν ἐχ.

ὁ νόμος, ὅτι οὐ χρή τινα ἐξ [ὧν] εὐεργέτησεν ἀδικεῖσθαι· ἀρκετὸν γὰρ ἡμῖν τὸ ἐλευθερωθῆναι παρ' αὐτοῦ.

[δ'.] Ὅτι[1] ἐὰν πωλῶν σοι ἀγρὸν ὑποδείξω σοι τοὺς ὅρους καὶ εἴπω εἶναι τὸν ἀγρὸν ἑκατὸν ζευγῶν ἐργασίας· καὶ ἐκνικηθῇ γῆ· εἶτα κινήσω κατά σου περὶ ἐκνικήσεως, καὶ μετρηθέντος τοῦ ἀγροῦ ἡ ποσότης τῶν ρ' ζευγῶν τῆς ἐργασίας εὑρεθῇ, οὐκ ἀποκλείεσαι εἰς τὸ ζητεῖν τὸ ἱκανὸν τῶν ἐκνικηθέντων. τοῖς γὰρ ὅροις πλέον ἐπίστευσας ἤπερ τῇ ποσότητι τῶν ἐργασιῶν, καὶ πρὸς τοὺς ὑποδειχθέντας ὅρους εὐθύνεται ὁ πράτης. ἐὰν[2] δὲ πωλήσω σοι ἀλλότριον ἀγρὸν μὴ εἰδότι, ἀλλὰ καλῇ πίστει ὠνουμένῳ, εἶτα τελευτήσαντος τοῦ δεσπότου τοῦ ἀγροῦ γένωμαι τούτου κληρονόμος, καὶ πωλήσω τὸν ἀγρὸν, ὃν σοὶ ἐπώλησα, πρὸς ἕτερον, καὶ κινεῖ ὁ δεύτερος ἀγοραστὴς κατά σου ὡς ἠγορακότος παρὰ μὴ δεσπότου, αὐτοῦ δὲ ἀγοράσαντος παρὰ δεσπότου· οὐ τὴν νικῶσαν[3] λαμβάνεις καὶ ἔχεις βέβαιον τὸν ἀγρόν. ἐγὼ γὰρ κληρονομήσας τοῦ δεσπότου τοῦ ἀγροῦ αὐτίκα τὸν ἀγρὸν ἐμὸν ἐκτησάμην, καὶ ἐβεβαιώθη ἡ πρώτη πρᾶσις.

[ε'.] Ὅτι περιγράφουσιν ἀλλήλους ὅ τε ἀγοραστὴς καὶ ὁ πράτης μέχρι τοῦ ἡμίσεως, καὶ οὐκ ἀνατρέπεται ἡ πρᾶσις, ἐὰν τυχὸν ν' νομισμάτων ἦν ἄξιον τὸ πρᾶγμα, ὁ δὲ δέδωκε νομίσματα κε', καὶ ὡσαύτως ἐπὶ τῷ ἴσῳ κρατεῖ. ἐὰν δὲ κδ' νομισμάτων ἐπωλήθη, τότε ἀνατρέπεται ἡ πρᾶσις, καὶ δίδωσιν ὁ ἀγοραστὴς εἴπερ βούλεται ὅλον τὸ τίμημα ἤτοι κϛ'[4] νομίσματα, καὶ οὐ τὸ λεῖπον ἓν νόμισμα πρὸς τὸ ἥμισυ. ὁ γὰρ μάγιστρος ἔλεγεν, ὅτι ἐβουλήθη ὁ μυστικός ποτε τυπῶσαι, ἵνα τὸ λεῖπον μόνον ἀπαιτεῖται πρὸς τὸ ἥμισυ τοῦ ὅλου τιμήματος, ἀλλ' ἀντέστη αὐτὸς καὶ ἐνίκησεν· ὁ γὰρ νόμος φησί· δίκαιόν ἐστι τίμημα, ὅπερ ἀξιοῦται ὁλοκλήρως τὸ πιπρασκόμενον.

[ϛ'.] Ὅτι[5] γυνὴ αὐτεξουσία γενομένη ἐν συνεστῶτι τῷ γάμῳ καὶ ἀπολαβοῦσα τὴν προῖκα δύναται τὰ ἀκίνητα ἐκποιεῖν καὶ οὐ δύναται. καὶ πρὸς μὲν τὸν ἄνδρα ἀνισχύρως πωλεῖ· πρὸς δὲ ἑαυτὴν καὶ τοὺς παῖδας ἰσχυρῶς. οἷον ἔλαβεν ἡ γυνὴ οἶκον πρόσοδον ἔχοντα νομισμάτων μ' καὶ ἐπώλησε τοῦτον· κινεῖ ὁ ἀνὴρ κατὰ τοῦ ἀγοραστοῦ, λέγων ὅτι ἐκ τῆς προσόδου αὐτοῦ ὀφείλει ἡ γυνὴ τρέφειν ἐμὲ καὶ τοὺς παῖδάς μου. τὴν μὲν οὖν πρᾶσιν πᾶσαν ἀκυροῦν οὐ δύναται, τὸ γὰρ μέρος τῆς γυναικὸς

---

[1] Harm. III, 3, 74. [2] Cf. l. 2 D. XXI, 3, cujus hic locus est paraphrasis. [3] Malim ψῆφον νικ. omissa negatione. [4] Scilicet ad illa 24, ut jam efficiatur summa 50 solidorum. [5] Cf. tit. XXV c. 9.

καὶ τῶν παίδων ἰσχυρῶς πέπραται· τὸ δὲ ὅσον ἐπὶ τῷ ἀνδρὶ φέρεται ἀνισχύρως, καὶ διὰ τοῦτο ἀναγκάζεται ὁ ἀγοραστὴς τὸ ἐπιλαγχάνον τῷ ἀνδρὶ ἐκ τῆς προσόδου τοῦ οἴκου καταβάλλειν αὐτῷ ἕως ἂν περιῇ, καὶ τότε βεβαίως ἕξει τὸν οἶκον.

[ζ'.] Ὅτι ὁ ἀνὴρ λαμβάνων χωρὶς ἐγγυητοῦ προῖκα ἔχουσαν ἀκίνητα, ἀπαιτεῖται ἐγγυητὴν μέλλων πωλεῖν τὰ ἀκίνητα, ἐπεὶ ὕστερον ὁ ἀγοραστὴς νικᾶται ὑπὸ τῆς γυναικός. λέγει γὰρ ἡ γυνὴ, ὅτι ἐγὼ βλέπουσα τὸν ἄνδρα μου ἔχοντα τὸ ἀκίνητον[1] τὸ ἀφρόντιστον, καὶ ἐν ἀρχῇ τοῦ γάμου εἰ μὴ εἶχον ἀκίνητον καὶ ἐθάῤῥουν τούτῳ, οὐκ ἂν κατεπίστευσα τῷ ἀνδρὶ τὴν προῖκα, εἰ μὴ ἔλαβον ἐγγυητὴν, ἐξ οὗ ὀφείλω παθεῖν τὸ ἀσφαλὲς ἐξ ἀποτελέσματος. τοιαύτην[2] ὑπόθεσιν ἔκρινέ τις τῶν μεγάλων, καὶ ἐδικαίωσε τὸν ἀγοραστὴν ἀγοράσαντα ἀκίνητον γυναικὸς καὶ ᾠκονόμησε λαβεῖν τὸν ἄνδρα τὸ χρυσίον χωρὶς ἐγγυητοῦ. τὰ δὲ ἀκίνητα ἔλαβε μὲν εἰς προῖκα ὁ ἀνὴρ, ἐξενικήθησαν δὲ παρά τινος ὡς μὴ διαφέροντα τῇ γυναικὶ, ἀλλ' ἡ τιμὴ τούτων· καὶ ὁ ἐκνικήσας τὰ ἀκίνητα ἐπώλησε ταῦτα πρός τινα, καὶ δέδωκε πρὸς τὸν ἄνδρα τῆς γυναικὸς τὸ χρυσίον, καὶ ἔκρινεν, ὡς εἴρηται, ὁ δικαστὴς, μὴ εὐθύνεσθαι τὸν ἀγοραστὴν ἐξ ἀπορίας τοῦ ἀνδρὸς ὕστερον παρὰ τῆς γυναικὸς, γράψας λογισμὸν, ὅτι ὁ ἐγγυητὴς οὐ δίδοται ἐν τῇ προικὶ, καὶ τὸ χρυσίον νῦν προῖξ ἐστι, καὶ καλῶς ὁ ἀνὴρ παραλαμβάνει τοῦτο χωρὶς ἐγγυητοῦ. ἀλλ' ἀντέπιπτεν ὁ βέστης λέγων, μὴ ἁρμόζειν τὸ τοιοῦτον νόμιμον ἐνταῦθα· εἰ μὲν γὰρ ἐξ ἀρχῆς τοῦ γάμου τὸ χρυσίον ἐδίδοτο εἰς προῖκα, χωρὶς συμφώνου ἐγγυητὴν οὐκ ἀπῃτεῖτο· ἐπεὶ δ' ἐν ἀρχῇ ἀκίνητον μὲν ἐδόθη, νυνὶ δὲ ἐναλλάσσεται, καὶ ἔρχεται εἰς κινητὸν εὐκόλως δαπανᾶσθαι δυνάμενον, ἐπισφαλῶς δίδοται παρὰ τοῦ ἀγοραστοῦ ἄνευ ἐγγυητοῦ· καταδαπανωμένου γὰρ τούτου ἡ γυνὴ τὸν ἀγοραστὴν νικήσει, ἐκνικοῦσα τὰ ἀκίνητα ἢ τὴν τούτων τιμὴν, λέγουσα, ὅτι ἐγὼ ἀκίνητον ἔχουσα ἐν προικὶ καὶ θαῤῥοῦσα τούτῳ οὐκ ἀπέλαβον παρὰ τοῦ ἀνδρὸς ἐγγυητὴν, σὺ δὲ τὸ ἐμὸν λαμβάνων καὶ ἀμείβων τὴν προῖκα ὑπόκεισαί μοι ποιεῖν τὸ ἱκανὸν, θαῤῥήσας τῷ ἐμῷ ἀνδρὶ καὶ παρασχὼν τούτῳ τὸ χρυσίον· εἰ γὰρ ἐγὼ εἶχον τοῦτο, οὐκ ἂν χωρὶς ἐγγυητοῦ τοῦτο παρέσχον αὐτῷ.

[η'.] Ὅτι ἡ αὐτοτελὴς πρᾶσις πρὸ κομπλατίωνος καὶ ἀπολύσεως ἀνίσχυρος καθίσταται. καὶ ὁ νόμος περὶ τῆς ἡμιγρα-

---

[1] Verba τὸ ἀκίνητον et mox verbum καί omnino delenda esse crediderim.
[2] Cf. tit. XXV c. 27.

φοῦς πράσεώς [φησι] μὴ δεῖν τὴν ἔγγραφον πρᾶσιν πρὸ τοῦ κομπλατίωνα προβῆναι ἐῤῥῶσθαι, ἀλλὰ μᾶλλον μεταμελείας χώραν παρέχειν τῷ τε πράτῃ, τῷ τε ἀγοραστῇ τὸ ἀζημίως ἀναχωρεῖν τοῦ συναλλάγματος. τοῦτο δὲ εἰ καὶ ἐν τοῖς ἰνστιτούτοις[1] περιέχεται, ἀλλὰ τὸ προσδεχόμενον αὐτὸ βι. δʹ τῶν διγέστων[2] τί. ληʹ κεφ. ιεʹ, ἥτινι διατάξει καὶ ὁ ἑρμοπολίτης Θεόδωρος συμφωνῶν, τὰς παραδόσεις, φησὶ, τῶν πιπρασκομένων ἐπὶ τῶν ἀγράφων πράσεων τὴν ἰσχὺν λαμβάνειν, ἐπὶ δὲ τῶν ἐγγράφων οὐδαμῶς, ἀλλὰ τοῖς προκειμένοις, δηλαδὴ τῇ τε κομπλατίωνι καὶ τῇ τοῦ συμβολαίου ἀπολύσει· ὅπερ νόμιμον τοῦ εἰρημένου ιεʹ κεφ. καὶ ἐν τοῖς βασιλικοῖς προσεδέχθη δέλτοις[3] οὑτωσὶ διαλαμβάνον· „ἡ γὰρ ἔγγραφος πρᾶσις οὐκ ἔῤῥωται, εἰ μὴ πληρωθῇ τὸ συμβόλαιον καὶ ἀπολυθῇ τοῖς μέρεσιν.“

[θʹ.] Ὅτι ὁ ἀνὴρ προικιμαῖα ἐπώλησεν οἰκήματα καὶ ἐτελεύτησεν· εἶτα ὁ ἀγοραστὴς ἐποίησε τὴν γυναῖκα μετὰ χηρείαν ἐπικυρῶσαι τὴν πρᾶσιν. καὶ μετὰ τελευτὴν ἐκείνης οἱ υἱοὶ ἐνήγαγον κατὰ τοῦ πράτου, καὶ ἀπεβλήθησαν, σημειωσαμένου τοῦ δικαστοῦ οὕτως· τῆς μητρὸς αὐτῶν μετὰ τὴν λύσιν τοῦ γάμου καὶ αὐτεξουσιότητος ἀσφάλειαν τὸ ἀναλλοίωτον τῇ ἐκποιήσει παρασχομένης, οὐδὲ τοῖς υἱοῖς πρόσεστι δίκαιον εἰς τὸ ἐπιφύεσθαι τοῖς συναρέσασι τῇ μητρὶ καὶ ἀπεναντίας τοῖς ἐκείνῃ δόξασι καλῶς ἔχειν χωρεῖν τε καὶ μάχεσθαι.

[ιʹ.] Ὅτι διαθέμενός τις τὰ οἰκήματα αὐτοῦ προσέταξε διαπραθῆναι, δύο δὲ ὑπεκράτησε καὶ τούτων τὴν χρῆσιν δέδωκεν ἑτέρῳ τινὶ, μετὰ δὲ τελευτὴν τοῦ τὴν χρῆσιν ἔχοντος διωρίσατο λαβεῖν τὰ παρακρατηθέντα οἰκήματα τὴν δεῖνα μονὴν εἰς λεγάτον. καὶ τοῦ διαθεμένου τελευτήσαντος ὁ ἐπίτροπος διεπώλησε τὰ οἰκήματα τοῦ ἐπιτροπευομένου παρ' αὐτοῦ[4]. οὐκ ἐμνημόνευσε δὲ ἐν τῇ πράσει, ὅτι τὰ δύο οἰκήματα, ὧν κατέλιπε τὴν χρῆσιν τῷ δεῖνι, ὀφείλοντα[5] περιελθεῖν τῇ δεῖνι μονῇ εἰς λεγάτον, ἀλλ' ἁπλῶς οὕτως, ὡς εἴρηται, ἐποίησε γενικὴν πρᾶσιν τῶν οἰκημάτων· πλὴν δέδωκε καὶ τὰ δικαιώματα καὶ τὴν διαθήκην τοῦ δεσπότου τῶν οἰκημάτων πρὸς τὸν ἀγοραστήν. ὁ δὲ ἀγοραστὴς εὑρὼν κατεκράτησεν ἀμφοτέρων τῶν οἰ-

---

[1] Instit. III, 24 pr. — Dubitaverant, hoc jus obtineret, necne, quippe locus Institutionum in Basilica non esset receptus. His objectum est, l. 15 C. IV, 38 in Basilica receptam esse, eaque locum Institutionum confirmari. [2] Lege τοῦ κώδικος. [3] Basil. XIX, 5. Cf. Suppl. ed. Bas. Heimb. p. 266. [4] Cod. videbatur habere ἐμοῦ. [5] Malim ὀφείλουσι.

κημάτων, καὶ εἶχεν, ὡς εἴρηται, καὶ τὴν τούτων χρῆσιν. ἀλλ' οἱ τῆς μονῆς, ᾗ κατελείφθησαν τὰ οἰκήματα, ἐκίνησαν δίκην, καὶ ἐζήτουν ταῦτα ὡς λεγάτον· ὁ δὲ ἀγοραστὴς ὑποδεικνὺς τὴν γενικὴν πρᾶσιν ἔλεγε πάντα ἠγορακέναι. ὁ δὲ πατρίκιος εὑρὼν ἐν τῇ πράσει γεγραμμένον, ὅτι ἐδόθη πρὸς τὸν ἀγοραστὴν τὰ δικαιώματα καὶ ἡ διαθήκη τοῦ δεσπότου, ἐπεζήτησε ταύτην, καὶ εὑρὼν ἐν αὐτῇ γεγραμμένον, ὅτι καταλιμπάνω τὰ οἰκήματα εἰς λεγάτον τῇ δεῖνι μονῇ, κατεδίκασε τὸν ἀγοραστὴν, εἰπὼν, ὅτι οὐ[1] πάντα ἠγόρασας τὰ οἰκήματα, ὅσα δηλαδὴ ὁ κύριος τούτων εἶχε· ὅσα δὲ ἑτέροις κατέλιπε, ταῦτα οὐκ εἶχε. εἶχες δὲ σὺ τὴν γνῶσιν καὶ ᾔδεις τὴν μετένεξιν ἐκ τοῦ ἔχειν τὴν διαθήκην, ἐν ᾗ τὸ λεγάτον ἐγγέγραπτο. εἰ γὰρ μὴ εἶχες τὴν διαθήκην, καλῶς προεβάλλου ἄγνοιαν· ἐπεὶ δὲ ἡ διαθήκη ἐδόθη σοι, ὤφειλες ἀναγινώσκειν αὐτὴν, καὶ τὰ ἐξῃρημένα καὶ ἑτέροις καταλελειμμένα μὴ ἰδιοποιεῖσθαι.

[ια΄.] Ὅτι πρὸ χρόνων ια΄ ἀγοράσας τὶς οἰκήματα διαφέροντα ἑτέρῳ, κατεδικάσθη καὶ ἐξώσθη τῆς πράσεως παραφυλάξας αὐτῷ τὸ δίκαιον τῆς προτιμήσεως ἐκποιουμένων[2], τοῦτο μὲν καὶ ἐκ τῆς ἀνακοινώσεως, τοῦτο δὲ καὶ ἐκ τῆς μὴ συστατικῶς[3] ἀλλ' ὡσανεὶ ἑκουσίως ἀποποιήσεως τῶν ἠγορασμένων. ὁ δὲ δικαιωθεὶς προσποιητὴν δωρεὰν τῶν οἰκημάτων πρὸς ἕτερον ἐποιήσατο[4], καὶ ἐνίσταται ἁπλὴν ποιήσασθαι δωρεάν. ἀλλ' ὁ δικαστὴς ἐζήτει τὸ ἔγγραφον, καὶ ὁ λαβὼν τοῦτο οὐκ ἐπείσθη προκομίσαι, ἀλλ' εἶπεν, ὅτι ἀπώλετο, τὴν δὲ δύναμιν αὐτοῦ ἔλεγε τοιαύτην, ἵνα συνοικῇ τῷ ἔχοντι τὰ οἰκήματα, καὶ ποιῇ τὴν πρόνοιαν αὐτοῦ πᾶσαν, καὶ μετὰ θάνατον αὐτοῦ παρέχῃ πρὸς οὓς ὁρίσει χρυσίου λίτρας ε΄. ἀλλ' ὁ ἀντίδικος καίτοι βαρυνόμενος παρέστησε τὸν ταβουλάριον, καὶ οὕτω προεκόμισε τὸ σχεδάριον, ἐξ οὗ ἡ τελεία μετεγράφη, καὶ εὑρέθη ὁ λεγόμενος δωρήσασθαι συμφωνήσας χρῆσιν καταμονῆς ἔχειν εἰς ἓν τῶν οἰκημάτων, συνδιαιτᾶσθαι δὲ τῷ πρωτοσπαθαρίῳ, καὶ ἐπιχορηγεῖσθαι αὐτῷ παρ' αὐτοῦ τὰς ἐνδυμενίας, καὶ διατρέφεσθαι ἄχρι περίεστι, καὶ ἀποροῦντος δίδοσθαι χρυσίου λίτρας ε΄ ἐν οἷς ὁρίσει, μὴ βουλόμενον δὲ ἀποτρέφεσθαι καὶ ἐνδύεσθαι παρ' αὐτοῦ παραυτίκα κομίζεσθαι παρ' αὐτοῦ ἀπροφασίστως τὰς ε΄ λίτρας, καὶ ἔκτοτε μὴ ὑποκεῖσθαι τὸν πρωτοσπαθάριον πρὸς διατροφὴν καὶ ἐνδυμενίαν, καὶ τῆς χρί-

---

[1] Videtur delenda negatio. [2] Adde *αὐτῶν*. [3] Cod. videbatur habere *εἰστατ.* [4] Fortasse hic aliquid excidit, quod initium litis exponeret.

σεως δὲ τοῦ οἰκήματος ἀφιστάμενον λαμβάνειν λίτραν μίαν. ἐντεῦθεν [συνάγεται], ὡς ψευδῆ ἦσαν ἃ ἔλεγεν ὁ πρωτοσπαθάριος, ἡ δὲ δύναμις τοῦ ἐγγράφου δείκνυσιν ἀναμφήριστον κατασχηματισθῆναι δωρεὰν αἰτίᾳ πράσεως ἐπὶ περιγραφῇ καὶ νόμων καὶ προσώπων, διόπερ καὶ πρᾶσις [μᾶλλον] ἤπερ δωρεὰ τὸ τοιοῦτον ἔγγραφον. ἡ μὲν γὰρ σχηματισθεῖσα δωρεὰ ἐκ τοῦ προσποιητοῦ τρόπου ἐν ἴσῳ τοῖς μὴ πεπραγμένοις ἢ παραπεποιημένοις νενόμισται, ἡ δὲ δόσις[1] τοῦ χρυσίου, εἰ καὶ ἀνώνυμον ἢ καὶ ἀγνοούμενον ἔχει τὸ συνάλλαγμα, πρᾶσιν οὐ[2] συνίστησι. φησὶ γὰρ ἐν τοῖς ἀποῤῥητοτέροις βι. κ' τί. δ' κεφ. α' καὶ β'[3]· Ἐὰν δανείσω[4] σοι νομίσματα, ἵνα δῷς μοι πρᾶγμα, ὠνή ἐστι. καὶ „ὅτε ἀνώνυμον εἴη τὸ συνάλλαγμα· ἢ ὑπὲρ τὰ ὀνόματά ἐστι τὰ συναλλάγματα· δίδωμί σοι ἐπὶ τῷ λαβεῖν ἢ ἐπὶ τῷ ποιῆσαί τι, ἢ ποιῶ ἵνα λάβω, ἢ ποιῶ ἵνα ποιήσης. καὶ ἔνθα μὲν δίδωμι χρήματα διὰ τὸ λαβεῖν πρᾶγμα [ἀγορασία ἐστίν. ἔνθα δὲ δίδωμι πρᾶγμα διὰ τὸ λαβεῖν πρᾶγμα], περμουτατίων, τουτέστιν ἀνταλλαγή.“ ἔδοξεν οὖν πρᾶσις τὸ ἔγγραφον διὰ τὸ γινώσκεσθαι τοῖς νόμοις. φησὶ γὰρ ὁ νόμος εἰς βι. ιθ' τί. α' κεφ. λβ'[5]· „Εἰ μὲν εἰς τὸ παντελὲς γένηται πρᾶσις δωρεᾶς αἰτίᾳ, οὐκ ἔῤῥωται· εἰ δὲ δωρεᾶς αἰτίᾳ πραθῇ τι ἥττονος τιμήματος, ἰσχύει.“ ὅτι ἡ μὲν ἁπλῆ δωρεὰ ἀπηλλαγμένη ἐστὶ παντὸς τοῦ δοῦναί τι καὶ ποιῆσαι· ἡ δὲ μὴ τούτων ἀπηλλαγμένη, ἀλλὰ πρὸς δόσιν χρυσίου ἢ[6] δωρεᾶς προσποίησιν κατασχηματισθεῖσα πρᾶσις καθαρά ἐστιν.

[ιβ'.] Ὅτι ὁ ἥττονος τιμήματος ὠνούμενος κτῆμα καὶ μὴ τὸ δίκαιον διδοὺς τίμημα, ἐντὸς τετραετίας κινουμένης τῆς δίκης, ἐπιλογὴν ἔχει ἢ τὸ ὅλον τίμημα καταβαλεῖν καὶ τοὺς τόκους τοῦ μὴ καταβληθέντος τιμήματος καὶ παρακατασχεῖν τὸ κτῆμα, ἢ ἀντιστρέφειν μὲν τὸ κτῆμα, ἀναλαμβάνειν δὲ τὸ τίμημα, ὃ κατεβάλετο, ἀποδιδοὺς ἐκ τοῦ τιμήματος πρὸς τὸν πράτην καθαροὺς καρποὺς τοῦ περιττῶς κατεχομένου μέρους τοῦ κτήματος καὶ τὴν τιμὴν τῶν ἴσως παρ' αὐτοῦ γεγονυιῶν καινοτομιῶν. καὶ ἡ τοιαύτη δίκη ἐκρίθη, ἐξωνησαμένου τοῦ πρωτοβεστιαρίου κτῆμα τῆς μονῆς δαβὶδ εἰς λίτρας ε'· καὶ ἐτιμήθη ὕστερον λιτρῶν ιγ'. ἀλλὰ διὰ τὸν τόκον τοῦ μὴ καταβληθέντος τιμήματος καὶ τοὺς καρποὺς τοῦ περιττῶς κατ-

---

1 Cod. εἰ δὲ ἡ δόσις. 2 Negatio delenda esse videtur. 3 Potius c. 3—5. 4 Malim δώσω. 5 Cf. Suppl. ed. Basil. Heimb. p. 259. Cf. etiam Harm. III, 3, 29. 30. 6 An κατά?

εχομένου μέρους τοῦ κτήματος παρὰ τοῦ ἀγοραστοῦ διαμφισβήτησαν οἱ κριταὶ τῷ μαγίστρῳ, διὰ τὸ μὴ ῥητῶς περὶ αὐτῶν λέγειν τὸν νόμον. ὁ δὲ συνεστήσατο τοῦτο ἐξ ἑτέρων νομίμων, καὶ τέλος ἔδοξε τοῦτο, ἵνα ὁ μὲν ἧττονος ἀγοράσας, γνωσθείσης τῆς περιγραφῆς, εἰ ἀποστῆναι βουληθῇ τοῦ κτήματος, μὴ εὐθύνεσθαι εἰς καρπούς· εἰ δὲ βουληθῇ ἐῤῥωμένην εἶναι τὴν πρᾶσιν[1]· καθὼς φησι τὸ νόμιμον ἤγουν κεφ. ξδ' τοῦ ι' τί. τοῦ ιθ' βι.[2]· „Ἐάν τις τὸ ἴδιον πρᾶγμα ἐλαχίστου τιμήματος πωλήσῃ, δύναται τὸ τίμημα διδοὺς ἀναλαμβάνειν τὸ ἴδιον πρᾶγμα. ἐλάχιστον δὲ τίμημά ἐστι τὸ μὴ εἰς ἡμίσειαν διατίμησιν ἀναφερόμενον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λεῖπον τῷ δικαίῳ τιμήματι δοῦναι, ἔχειν αὐτὸν τὸ[3] πεπραμμένον πρᾶγμα. τὸ αὐτὸ δὲ δίκαιον καὶ ἐπὶ τοῖς παισὶ τοῦ πράτου προβαινέτω.“

[ιγ'.] Ὅτι οἱ κληρικοὶ τοῦ ἁγίου πολυεύκτου, πωλουμένων οἰκημάτων, ἐφ' οἷς εἶχεν ἡ ἐκκλησία ἀνακοίνωσιν, ἐδανείσαντο παρά τινος χρυσίον, καὶ δεδώκασιν ὑπὲρ ἀῤῥαβῶνος νομίσματα κδ', καὶ ἔλαβον τὰ οἰκήματα, ὅρον θέμενοι εἰς τὸ ἀποδοῦναι τὸ λεῖπον τίμημα. τοῦ δὲ ὅρου παρελθόντος, ἐπεὶ μήτε τὸ τίμημα ἴσχυον παρασχεῖν καὶ τῆς ἀγορασίας ἀποστῆναι ὤκνουν, καταδίκην ἐπενεγκεῖν αὐτοῖς ᾠήθη δεῖν τὸ δικαστήριον εἴτ' οὖν στέρησιν τοῦ ἀῤῥαβῶνος. οὐ[4] γὰρ ἐνῆν εἰς ἀπέραντον θελήμασιν ἀστηρίκτοις καὶ ἰδιωτικοῖς τὸν νόμον ἕπεσθαι, τοὐναντίον δὲ μᾶλλον ἐχρῆν τοῖς νόμοις εἴκειν τὸν ἰδιώτην, καθ' οὓς ὁ ἀγοραστὴς μὴ εὐσυνθετεῖν βουλόμενος τοῖς συνδόξασι μηδὲ θέλων τελειοῦν τὸ συνάλλαγμα τοὺς ἀῤῥαβῶνας ἀπόλλυσιν. πλὴν καὶ ἡ τοιαύτη ζημία εὐμεθόδως ἐκουφίσθη. ὁ γὰρ δανειστὴς θελήσας τὸ πᾶν καταβάλλεσθαι τίμημα τῶν οἰκημάτων, προσεκρούσθη ἀγοράσαι ταῦτα, ἐφ' ᾧ ἐξεῖναι τοῖς κληρικοῖς καταβάλλουσι τίμημα ἄχρι μηνῶν δ' κυριεῦσαι τῶν οἰκημάτων· καὶ ὅρος ἐδόθη μῆνες δ', ἵνα εἰ μὴ ἐντὸς τούτων παράσχωσιν οἱ κληρικοὶ τὸ τίμημα, ἐκπέσωσι τῆς κεχαρισμένης αὐτοῖς προτιμήσεως, καὶ ὁ χαρτουλάριος ἀμετακινήτως δεσπόζῃ τῶν οἰκημάτων τούτων. καὶ τὸ τῆς ἐκκλησίας μέρος μηδεμίαν ἰσχὺν ἔχειν κατ' αὐτοῦ ὡς ἐκ τῆς δυνάμεως τῆς ἀῤῥαβωνικῆς συμφωνίας· ἤδη γὰρ αὕτη διὰ τὰς πολλὰς ὑπερθέσεις ἀνατέτραπται καὶ ὡς μηδὲ τὴν ἀρχὴν γεγονυῖα λελόγισται.

---

[1] Haec ultima emendatione indigent: alia corrupta, alia omissa. Principium hujus capitis ostendit, quis sensus esse debeat. [2] Cf. Suppl. edit. Basil. Heimb. p. 281. [3] Cod. τότε. Forte τότε τό. [4] Cf. tit. XLIV c. 6.

[ιδ΄.] Ὅτι ἐνδιαθήκως τὶς κατέλιπε τὴν χρῆσιν τοῦ οἴκου αὐτοῦ τῷ ἀδελφῷ μετὰ τὴν τελευτὴν αὐτοῦ μετὰ ἀποκατάστασιν[1] τοῖς τοῦ ἑτέρου ἀδελφοῦ παισὶν, ἐπισκήψας, ' εἰ[2] μόνον μετὰ τελευτὴν τοῦ ἀδελφοῦ οἱ ἀδελφόπαιδες μὴ δυνατῶς ἔχοιεν περιέχεσθαι τοῦ οἴκου καὶ τὰ διατεθειμένα πληροῦν, ἐκποιεῖσθαι· καὶ οὕτως[3] τὸν οἶκον καὶ περιόντων αὐτῶν οὐκ ἠθέλησεν, οὔτε ὁ ἀδελφὸς τοῦ οἴκου τὴν χρῆσιν λαβεῖν ἢ τὸ διὰ ταῦτα ἐπίταγμα προσίκατο, οὔτε δὲ ὁ τῶν ὑποκαταστάτων πάτὴρ νηπιαζόντων ἢ τῆς χρήσεως μεταποιήσασθαι ἠβουλήθη ἢ τοσοῦτον ἄχθος ἐπιφορτήσασθαι. καὶ ὁ μ ά γ ι σ τ ρ ο ς τὴν ἐκποίησιν ἐπέτρεψεν[4], εἰπών· τοῖς ἐπιτρόποις ἐξουσία τῶν οἰκημάτων ἐφεῖται[5], πρὸς ἀνάγκης ἔχουσι τοῖς ὡρισμένοις πέρας ἐπάγειν καὶ τὰ λεγάτα κατὰ τοὺς τεθέντας ὅρους παρ᾽[6] αὐτοῦ καὶ καιροὺς διδόναι. οἵγε καὶ καλῶς τὸν οἶκον ἀποδώσουσι[7], μὴ τὸ σύνολον ἐκ τῆς διαθήκης εἰργόμενοι, ἀλλὰ τοὐναντίον ἐξ ἀποτελέσματος καὶ ἐπιτετραμμένοι τὴν ἐκποίησιν. οὐ γὰρ ἦν τὴν ἐντελῆ τῶν ὑποκαταστάτων ἡλικίαν ἀναμένειν τοὺς ἐπιτρόπους, ἵνα μὴ ἐτησίους δόσεις ἀργῆσαι συμβῇ· ἀλλ᾽ οὐδὲ ὁ διαθέμενος οὕτω τοῦτο γενέσθαι βεβούλοιτο, τὴν ἐν καιρῷ τῆς τῶν παίδων ἀφηλικιότητος ἀδυναμίαν σκοπεῖν τοὺς ἐπιτρόπους διαταξάμενος καὶ τὴν τοῦ οἴκου διάπρασιν ἐκτελεῖν.

[ιε΄.] Ὅτι ὑπεσχέθη κτῆσις εἰς ὑπόβολον γυναικὶ, εἰς ἀπορίαν δὲ τοῦ ἀνδρὸς ἐληλακότος ἀφωρίσθη πρὸς αὐτὴν τὸ κτῆμα δικαστικῇ διαγνώσει εἰς μερικὴν ἱκάνωσιν τῆς προικός. καὶ ἡ γυνὴ μετὰ συναινέσεως τοῦ ἀνδρὸς διεπώλησε τὸ κτῆμα, καὶ ἐκ τοῦ τιμήματος τὸ μὲν τρίτον αὐτὴ παρακατέσχε, τὰ δὲ δύο μέρη παρέσχε πρὸς τοὺς υἱούς. καὶ ἐκινήθη δίκη παρὰ τῶν υἱῶν λεγόντων τὴν πρᾶσιν ἐν συνεστῶτι τῷ γάμῳ γεγονέναι, αὐτοὺς δὲ λαβεῖν μὲν τὰ νομίσματα προστάξει τῶν ἐχόντων αὐτοὺς ὑπεξουσίους, ἐκείνοις δὲ ταῦτα παρασχεῖν. ἔκρινε τοίνυν ὁ δ ι κ α σ τ ὴ ς εἰπὼν, ἀνάγκην ἔχειν τὸν ἀγοραστὴν ἢ δεῖξαι ὡς [εἰς] ἱκάνωσιν προικὸς τὸ κτῆμα δικαστικῇ κρίσει παρελήφθη τῇ γυναικὶ, καὶ πάσης ἀπαλλαγείσῃ δίκης, εἰ[8] καὶ ὁ ἀνὴρ τὸν βίον ἀπέλιπε, δι᾽ ὃν ἀνάγκην εἶχεν ἕως περιῆν τὸ κτῆμα ἀνεκποίητον τηρεῖν· ἢ ὡς πρὸς τοῦτο ἀτονήσει, ἐκεῖνο γοῦν συστῆσαι, ὡς τῆς τοῦ πατρὸς ἦσαν ἐλευθερούμενοι χειρὸς οἱ παῖδες, ὅτε

---

[1] Legerim: μέλλοντι ἀποκαταστῆναι. [2] Cod. οὐ. [3] Adde: ἐκποιεῖσθαι. [4] Cod. ὑπέστρ. [5] Cod. ἐνεῖται. [6] Cod. περί. [7] Forte ἐκδ. vel ἐκποιήσουσι. [8] Cod. ἀπαλλαγήσῃ δίκης ὅτι εἰ.

τὰ νομίσματα πρὸς αυτοὺς ἐνεχειρίζοντο. οὕτως εἰπόντος τοῦ δικαστοῦ, ὁ μὲν εἷς τῶν παίδων κατεδικάσθη, προκομισθείσης ἀποδείξεως αὐτοῦ διεξιούσης; ὡς αὐτὸς τὸ χρυσίον ἀπείληφεν αὐτεξούσιος ὤν· ὁ δὲ δεύτερος παῖς ἐδικαιώθη λαβεῖν τὸ τρίτον τοῦ κτήματος, ὅρκον ὑποσχὼν, [ὡς] οὐκ ἀπελύθη τῆς τοῦ πατρὸς ἐξουσίας, οὐδὲ τὰ νομίσματα οἰκεῖον ἔθετο κέρδος.

[ις'.] Ὅτι τοῦ πεπραμμένου παρά τινος ἐκνικηθέντος, καὶ μὴν κινοῦντος τοῦ ἀγοραστοῦ κατὰ τοῦ πράτου περὶ ἐκνικήσεως, ὁ πράτης δεδιὼς τὸν περὶ τῶν τόκων λόγον ἐκίνησε κατὰ τοῦ ἀγοραστοῦ τῶν ἐπιτρόπων, ἵνα προθήσουσι τὰς οἰκείας δικαιολογίας. καὶ ὁ μάγιστρος ἐσημειώσατο, καὶ ἡ δίκη ἐτμήθη τυχοῦσα νομίμου ἀποφάσεως. καὶ γὰρ οὔτε ἄκοντας τοὺς ἐπιτρόπους ἐν ἀλλοτρίῳ τόπῳ τὰς ὑπὲρ τοῦ ἀφήλικος ἐγγυμνάζειν ἠνάγκασεν ἀγωγὰς μὴ ἐπιφερομένους δικαιώματα, οὔτ' αὖ πάλιν λέγοντας ἔχειν δίκην περὶ δεφενσίωνος καὶ ἀπειλοῦντας ἐκ παντὸς μέλλειν ταύτας κινεῖν εἴασεν ἡσυχάζειν ἐπὶ περιγραφῇ τοῦ πράτου. ἀλλὰ τοῖς μὲν ἀφῆκε τὴν δεδομένην αὐτοῖς ἐξουσίαν τοῦ κινεῖν τὴν δίκην ὅτε βούλοιντο κατὰ [τὸ] τοῖς νόμοις δοκοῦν· ἐκ τῶν ἐνόντων δὲ τοῖς ἐναγομένοις ἐβοήθησε, δοκιμάσας, εἰ μὴ[1] ἀπὸ τοῦ δεῖνος μηνὸς κινήσαιεν οἱ ἐπίτροποι τὴν δίκην κατὰ τοῦ πράτου ἐντὸς δ' μηνῶν, ἐλεύθερον αὐτὸν εἶναι τῆς εἰς τὸ ἑξῆς περὶ καρπῶν ἢ τόκων εὐθύνης, ὡς οὐ παρ' αἰτίαν αὐτοῦ τῆς δίκης παρεκτεινομένης. ὅπερ μέντοι ἀπὸ τοῦ καιροῦ τῆς ἐκνικήσεως τοῦ κτήματος προσγέγονε δίκαιον τῷ ἀγοραστῇ μέχρι τῆσδε τῆς ἡμέρας, εἴτε ὡς ἐκ τοῦ τῆς πράσεως συμφώνου εἴτε ἄλλοθεν, τοῦτο ἔχειν ἀπαράτρωτον καὶ ἀμείωτον τὸν κληρονόμον καὶ τὸ μέρος αὐτοῦ.

[ιζ'.] Ὅτι καὶ[2] „ὁ ἀγοράζων ἐνέχυρον οὐκ ἔχει κατὰ τοῦ πράτου περὶ ἐκνικήσεως. ὁ μέντοι δανειστὴς πωλήσας ἐξ ἑτέρας αἰτίας [οὐ] δύναται αὐτὸ ἐκδικεῖν.“ πλατέως[3] τοῦτό φησιν, ὅταν μὴ τοῦτο ἰδικῶς συνεφώνησε, καὶ ἔνθα τὶς ὡς ἀλλότριον αὐτὸ ἐκδικεῖ, οὐ μὴν ὡς προγενέστερος δανειστής· τότε γὰρ ὑπόκειται ἐκνικήσει. πρὸς τούτοις καὶ ὁ εἰδὼς ἐλάττωμα τοῦ πράγματος καὶ μὴ προμηνύσας, κατέχεται τῷ ἀγοραστῇ. ὡς βι. η' τοῦ κώδ. τί. με' διάτ. α' καὶ β'.

[ιη'.] Κεφ. ιβ'[4]· „Ἐὰν ὁ δανειστὴς ἀλλότριον ὑποτεθὲν αὐτῷ πωλήσει, μὴ ὁμολογήσας περὶ ἐκνικήσεως, ἐλευθεροῦται

---

[1] Cod. videbatur habere εἴπερ. [2] Basil. XXV, 7, 10. [3] Forte τὸ πλάτος. [4] Scil. Basil. XXV, 7.

ὁ χρεώστης· εἴ τι γὰρ κατὰ πρόφασιν αὐτοῦ λάβῃ ὁ δανειστὴς, αὐτῷ λογίζεται. τυχὸν γὰρ πλείονας καρποὺς ἀπήτησε τὸν ὑποθήσαντα. εἰ δὲ καὶ τὸ ὑποτεθὲν ἀλλότριον ὂν ἐκδικήσει παρὰ τοῦ δεσπότου, ὀφφικίῳ τοῦ δικαστοῦ ἀναγκάζεται τὸ χρέος λαμβάνων ἀποκαταστῆσαι τῷ χρεώστῃ τὸ πρᾶγμα: ἐλευθερούμενος δὲ ὁ χρεώστης ἐνέχεται τῷ δεσπότῃ τοῦ πράγματος ἢ τῷ ἀγοραστῇ μετὰ τὴν ἐκνίκησιν. εἰ δὲ ὁ δανειστὴς ἐπὶ τῇ ἀποκαταστάσει τοῦ τιμήματος ἐνέχεται, ἤρτηται ἡ ἐλευθερία τοῦ χρεώστου, καὶ οὐδὲν ἀπαιτεῖται, ἕως ἂν ἐναχθεὶς ὁ δανειστὴς τῇ ἐπὶ τῇ πράσει ἀγωγῇ παράσχῃ."

[ιθ'.] Κεφ. ιζ'[1]· „Τὸ ἀπὸ τῆς καταδίκης ἐνέχυρον ἡ τάξις πιπρασκέτω. εἴγε οὖν μηδεὶς εὑρεθῇ ὁ ἀγοράζων, εἴτε ἥττονος εὑρεθῇ, καὶ βουληθῇ ὁ νενικηκὼς ὑπερθεματίζων ἀγοράσαι, ἐξέσται αὐτῷ τοῦτο ποιῆσαι ὥσπερ ἐξωτικῷ."

[κ'.] Καὶ βι. κβ' τί. α' κεφ. πβ'· „Ἐὰν ὁ ἀνὴρ βουλόμενος δωρήσασθαι τῇ γυναικὶ τοιαύτην εὗρε μέθοδον, ἵνα ἀγοράσῃ πρᾶγμα καὶ γένηται τὸ ἔγγραφον ὡς δῆθεν τῆς γυναικὸς ἀγορασάσης, οὐ πιστεύομεν τῷ ἐγγράφῳ ἀλλὰ τῇ ἀληθείᾳ· καὶ δύναται ὁ ἀνὴρ ὡς ἀπὸ δωρεᾶς ἀνυποστάτου τὸν ἀγρὸν ἐκνικῆσαι παρὰ τῆς γυναικός."

[κα'.] Καὶ βι. ιθ' τί. ι' κεφ. α' θέ. δ'[2]· „Τὰ προφανῆ πάθη καὶ τὰ αἴτια προλέγειν [οὐκ ἐστὶν] ἀναγκαῖον." τοῦ πλάτους· „ἔνθα δύνανται διὰ τεκμηρίων δηλοῦσθαι. ἐνταῦθα γὰρ αὐτὸς ἑαυτὸν ὁ ἀγοραστὴς ἀπατᾷ, καὶ οὐχ ὁ πράτης."

[κβ'.] Καὶ κεφ. [α']· „Τὰ σωματικὰ αἴτια τὴν ἀναστρέφουσαν τὸ πραθὲν εἰσάγει· [ἐπὶ] δὲ τοῖς ψυχικοῖς ἡ κατὰ τῆς πράσεως ἐπὶ μειώσει τοῦ τιμήματος ἀγωγὴ ἁρμόζει." σωματικὰ πάθη εἰσὶ τὰ φαινόμενα, ὡς ἡ τύφλωσις, ἡ φθίσις καὶ τὰ ἐμποδίζοντα τῇ χρήσει καὶ τῇ ὑπουργίᾳ· ψυχικὰ δὲ οἷον δειλὸς, ἐπιθυμητὴς, κωφὸς, δεισιδαίμων, ὀργίλος, καταφρονητὴς καὶ τὰ ὅμοια.

[κγ'.] Κεφ. δ' θέ. ε'· „Τὰ δειλὰ καὶ λακτιστικὰ τῶν ζώων οὐκ εἰσὶν ἐμπαθῆ· ψυχικὰ γάρ εἰσιν αἴτια. ἐὰν οὖν μόνον ψυχικόν ἐστι τὸ αἴτιον, οὐκ ἔχει [χώραν] ἡ ἀναστρέφουσα τὸ πραθὲν ἀγωγὴ, εἰ μὴ προεῖπεν ὁ πράτης ἀπεῖναι αὐτό· ἁρμόζει δὲ τὸ μειωθῆναι τὸ τίμημα. εἰ δὲ σωματικόν ἐστιν ἢ κοινὸν ψυχῆς καὶ σώματος, χώρα τῷ ἀντιστραφῆναι τὸ πραθέν."

---

[1] Heimb. 𝔗. 18. [2] Hoc et quae sequuntur capita usque ad c. 39 ex libro XIX tit. I Basil. vide in Suppl. edit. Basil. Heimb. p. 274 sqq.

[κδ'.] Ὅτι „δύναται ὁ πράτης ἓν πάθος ὑπεξελεῖν καὶ περὶ τῶν λοιπῶν τῆς ὑγείας ἐπαγγέλλεσθαι. εἰ μέντοι τὸ πάθος εἰδὼς ἐπίτηδες σιωπήσει, ἐκβάλλεται τῇ τοῦ δόλου παραγραφῇ.“ σχόλιον· „Κεχρημένος γὰρ τῇ τῆς ὑπεξαιρέσεως εὑρίσκει ἀντιτιθεμένην αὐτῷ δόλου παραγραφήν. δοκεῖ γὰρ δόλον ποιεῖν ἐν ᾧ τὸ πάθος εἰδὼς μὴ εἶπε τοῦτο ἐν τῇ ὑπεξαιρέσει. καὶ κανών ἐστιν ὁ λέγων· ἡ ἀσάφεια τὸν μὲν πράτην βλάπτει, τὸν δὲ ἀγοραστὴν ὠφελεῖ.“

[κε'.] „Ἐπὶ νόσου προφανοῦς ὁ πράτης οὐκ εὐθύνεται, οἷον ἐὰν τυφλὸς πραθῇ ἢ ἐπικίνδυνον οὐλὴν ἔχων ἐν φανερῷ κατὰ τῆς κεφαλῆς ἢ ἄλλου μέλους. τὸ γὰρ δόγμα περὶ ἐκείνων διαλαμβάνει τῶν παθῶν καὶ αἰτίων, ἅτινά τις ἠγνόησε ἢ ἀγνοῆσαι ἐδύνατο.“

[κϛ'.] Καὶ κεφ. [ιζ']· „Φυγάς ἐστιν ὁ ἐπὶ τὸ φυγεῖν ἔξω τῆς οἰκίας τοῦ δεσπότου [κρύψας ἑαυτὸν], κἂν μεταμεληθεὶς ὑπέστρεψε.“ τοῦ πλάτους· „τὸ γὰρ πταῖσμα καὶ τὸ αἴτιον τῆς φυγῆς οὐ λύει μετάμελος, καὶ ἡ διάθεσις κρίνεται ἐπὶ τῆς φυγῆς καὶ οὐ τὸ πρᾶγμα.“

[κζ'.] Θέματι τελευταίῳ[1]· „Ἐάν τι προσεῖναι τῷ δούλῳ χρήσιμον ὁ πράτης διαβεβαιώσηται, τυχὸν ὅτι σπουδαῖος ἢ ποριστικὸς, οὐκ εἰς ἄκρον ἀπαιτοῦμεν αὐτὰ προσεῖναι, ἀλλὰ μέσως. εἰ μέντοι τὰ ἐναντία τῶν βεβαιωθέντων ἔχων εὑρεθῇ, κινεῖ ὁ ἀγοραστὴς τὴν ἀντιστρέφουσαν τὸ πραθὲν ἢ τὴν μειοῦσαν τὸ τίμημα ἀγωγήν.“ σχόλιον· „τὰ αὐτὰ λέγει καὶ ἐπὶ παντὸς, ὅπερ ὁ πράτης ἐπαγγελλόμενος ἔτυχεν.“

[κη'.] Καὶ κεφ. ιη' θέ. β'· „Ὁ εἰπὼν ἄριστον μάγειρον εἶναι τὸν δοῦλον, χρεωστεῖ ἄριστον μάγειρον παρασχεῖν. ὁ δὲ μάγειρον ἁπλῶς εἰπὼν, καὶ μέσον δίδωσι. καὶ ἐπὶ τῶν λοιπῶν τεχνῶν τὸ αὐτό. καὶ ἐὰν ἁπλῶς εἴποι τὸν δοῦλον ἔχειν πεκούλιον, ἀρκεῖ γὰρ καὶ τὸ ἐλάχιστον ἔχειν.“

[κθ'.] Θέ. γ'[2]· „Τὰ εἰς ἔπαινον τοῦ δούλου λεγόμενα τὸν πράτην οὐκ ἐνοχοποιεῖ, οἷον ὅτι χρηστὸς ὁ δοῦλος καὶ ἀπαθής· εἰ μέντοι εἶπεν μὴ εἶναι αὐτὸν κοττιστὴν ἢ κλέπτην, ἢ μηδέποτε πρὸς ἀνδριάντα πεφευγέναι, χρεωστεῖ τοιοῦτον αὐτὸν δοῦναι.“

[λ'.] Θέ. δ'· „Οὐ τὰ ἐπὶ κομπασμῷ λεγόμενα ἢ ἐπαγγελλόμενα δοκεῖ λέγεσθαι, ἀλλὰ τὰ λεγόμενα ἐπὶ τῷ παρασχεθῆναι.“

[λα'.] Καὶ θέ. ε'· „Ὁ ἐπαγγελλόμενος τεχνίτην οὐκ ἄκρον,

---

[1] Imo κεφ. ιη' θέμ. α'. [2] Imo κεφ. ιθ' θέ. α'.

ἀλλὰ μεμιημένον τεχνίτην λέγει.“ ἐκ τοῦ πλάτους· „ἀλλ' οὔτε τοὐναντίον ἀμαθῆ καθάπαξ τῆς τέχνης τῆς ἐπηγγελμένης τῷ ἠγορακότι.“

[λβ'.] Καὶ θέ. ς'· „Ἡ ἀγωγὴ ἁρμόζει καὶ τῷ ἀγοραστῇ καὶ πᾶσιν οἷς διαφέρει καὶ τοῖς εἰς ὁλόκληρον διαδόχοις αὐτοῦ. ἀγοραστὴς δέ ἐστιν ὁ τὸ τίμημα δούς. ἐπὶ δὲ τῆς ἀνταλλαγῆς ἑκάτερος καὶ ἀγοραστὴς καὶ πράτης ἐστὶ, καὶ κινεῖ ἐκ τοῦ παρόντος νόμου.“

[λγ'.] Θέ. ζ'· „Εἴσω ἓξ μηνῶν συναπτῶν, ἀριθμουμένων ἀπὸ τοῦ καιροῦ τῆς πράσεως, ἡ ἀναστρέφουσα τὸ πραθὲν ἀγωγὴ κινεῖται, ἡ δὲ μειοῦσα τὸ τίμημα ἐντὸς συναπτοῦ ἐνιαυτοῦ. εἰ δέ τι ἐλέχθη ἢ ἐπηγγέλθη, ἔκτοτε ἁρμόζει.“ „εἰ[1] μέντοι πρὸ τῆς πράσεως γέγονεν[2] ἐπαγγελία, μετὰ δέ τινας ἡμέρας ἐπερώτησις[3], ἐκ τῆς προτέρας αἰτίας παραχρῆμα δύναται κινεῖν.“ τοῦ πλάτους· „ἐκ τοῦ καιροῦ τῆς ἐπαγγελίας τρέχει ὁ χρόνος. ἐπὶ δὲ τῆς μετὰ τὴν ἐπαγγελίαν ἐπερωτήσεως τῆς πρὸ τῆς πράσεως γενομένης, τότε οὐκ ἐκ τοῦ καιροῦ τῆς πράσεως τρέχει ὁ χρόνος· ἀπὸ γὰρ τοῦ καιροῦ τῆς ἐπερωτήσεως ἔνοχος ἐκ τῆς προτέρας αἰτίας ὁ πράτης ἤρξατο γίνεσθαι. προτέρα δέ ἐστιν αἰτία ἡ πρὸ τῆς ἐπερωτήσεως. ζήτει κεφ. ιθ' καὶ κθ' λέγον τὰ ὅμοια καὶ περὶ ὑποζυγίων.“

[λδ'.] Καὶ κεφ. κ'[4] θέ. ζ'· „Ἡ ἀναστρέφουσα τὸ πραθὲν ἀγωγὴ τρόπον τινὰ καὶ τὸν πράτην καὶ τὸν ἀγοραστὴν εἰς ἀκέραιον ἀποκαθίστησιν. ὅθεν ἐὰν ἐκ τοῦ ἀγοραστοῦ κλέψῃ τὶ ὁ δοῦλος ἢ ἐξ ἑτέρου, καὶ παράσχῃ τὶ διὰ τοῦτο ὁ ἀγοραστὴς, οὐκ ἄλλως ἀποδοῦναι τὸν δοῦλον κελεύεται, εἰ μὴ τὸ ἀζήμιον ὑποστῇ παρὰ τοῦ πράτου. εἰ δὲ μὴ θέλει αὐτὸν ἀναλαβεῖν ὁ πράτης, οὐκ ἀναγκάζεταί τι παρασχεῖν, οὔτε περαιτέρω τῆς τιμῆς αὐτοῦ ζημιωθῆναι. πταῖσμα γάρ ἐστι τοῦ ἀγοραστοῦ, ὃς δυνάμενος εἰς θεραπείαν τῆς ζημίας ἐκδοῦναι τὸν δοῦλον δέδωκε τὴν ἀποτίμησιν τῆς δίκης.“

[λε'.] Κεφ. κδ'· Ὅτι „γενικῶς εἴ τι ὁ ἀγοραστὴς διὰ τοῦ δούλου ἐκτήσατο μὴ ἐκ τῶν πραγμάτων αὐτοῦ, ἀναστρέφων πρὸς τὸν πράτην αὐτοῦ ἀποδίδωσιν.“

[λς'.] Καὶ κεφ. κζ'· „Οὐ μόνον καὶ τὴν τιμὴν καὶ τοὺς τόκους λαμβάνει, ἀλλὰ καὶ εἴ τι χάριν τῆς ἀγορασίας τέλος φερόμενον πρὸς τὸν ἀγοραστὴν ἔδωκεν, λαμβάνει αὐτό. ἀζημίως γὰρ ἀναχωρεῖ.“

---

[1] Κεφ. κ'. [2] Cod. addit ἔστιν. [3] Cod. ἐπερωτηθείς. [4] Lege κγ'.

[λζ΄.] Καὶ κεφ. ιθ΄[1]· „Εἰ μὴ ὁ πράτης ἠσφαλίσατο περὶ τῶν κεφαλαίων τῆς αἰδιλικίας[2], ἐνάγεται τῇ ἀναστρεφούσῃ τὸ πραθὲν ἀγωγῇ εἴσω δύο μηνῶν, ἢ τῇ τὸ τίμημα μειούσῃ εἴσω ἓξ μηνῶν.“ ζήτει καὶ κεφ. ιε΄ τοῦ κθ΄ τί. θέ. α΄.

[λη΄.] „Ἐὰν πολλοὶ τοῦ πράτου κληρονομήσουσιν, ἑκάστῳ πρὸς τὴν κληρονομίαν ἀναστρέφεται. εἰ δὲ καὶ πολλοὶ δοῦλον ἀγοράσουσιν ἢ πωλήσουσιν, εἰ μὲν εἰς ὁλόκληρον ὡς πολλοὶ ὑπεύθυνοι, ἑκάστῳ εἰς ὁλόκληρον ἀναστρέφεται καὶ ἕκαστος ἀναστρέφει· εἰ δὲ εἰς ἀνὰ μέρος ἠγόρασαν ἢ πεπράκασι, πρὸς τὰ μέρη κινοῦσι, καὶ δύναται ὁ μὲν τὴν ἀναστρέφουσαν τὸ πραθὲν, ὁ δὲ τὴν μειοῦσαν ἀγωγὴν κινεῖν.“

[λθ΄.] Θέ. τελευτ. „Καλῶς[3] συμφωνεῖ ὁ ἀγοραστὴς εἴσω προθεσμίας ἢ καὶ διηνεκῶς ἀναδοῦναι τὸ ἀγορασθὲν ἀπαρέσκον αὐτῷ. εἰ δὲ μὴ λεχθῇ χρόνος, ἔχει ἀγωγὴν εἰς τὸ ἀναδοῦναι ἐντὸς ξ΄ ἡμερῶν συναπτῶν, καὶ μετὰ τὰς ξ΄ ἡμέρας ἐξ εὐλόγου αἰτίας. εἰκὸς γὰρ [ὑπέρθεσιν] ἐποίησεν ὁ πράτης ἢ οὐ παρῆν ἀναλαβεῖν ὀφείλων ἢ εὔλογόν τι παρενέπεσε. καὶ ἐν ταύταις δὲ ταῖς ἀγωγαῖς παραφυλάττομεν τὰ εἰρημένα περὶ τοκετοῦ καὶ καρπῶν καὶ τῶν[4] προσθηκῶν καὶ τοῦ θανάτου τοῦ δούλου.“ τὸ αὐτὸ καὶ ἐπὶ ὑποζυγίων. ζήτει κεφ. ιθ΄.

[μ΄.] Ὅτι[5] ὅταν πραθῶσιν ἀγροὶ καὶ τὰ ἐν τούτοις ἀνδράποδα, ἤτοι ἀγροὶ καὶ οἱ ἐν τούτοις πίθοι, καὶ τὰ λοιπὰ ὁμοίως ῥητῶς πωλούμενα καὶ αἱ προσθῆκαι τούτων, τότε ἀναγκάζεται ὁ πράτης ἐπερωτᾶσθαι ἢ προλέγειν περὶ τῆς προσθήκης· οἷον, ἐὰν πωλήσω δοῦλον μετὰ τοῦ πεκουλίου αὐτοῦ, ὑγιεινὰ παρασχεῖν τὰ ἐν τῷ πεκουλίῳ ἀνδράποδα. ἐπὶ δὲ τῶν οἱωνδήποτε ἐστὶν, ὅτι, εἰ πωλήσει τὶς κληρονομίαν ἢ ἀγρὸν μετὰ τῆς ἐξοπλίσεως αὐτοῦ, οὐδὲ τὰ ἐν τῷ ἐξοπλισμῷ τοῦ ἀγροῦ [ἢ] ἐν τῇ κληρονομίᾳ ἀνδράποδα χρεωστεῖ ὑγιεινὰ παρασχεῖν. ζήτει κεφ. κγ΄.

[μα΄.] Καὶ κεφ. κε΄[6]· Ὅτι ὅταν πολλὰ πράγματα τοῦ [αὐτοῦ] γένους πραθῇ, οἷον κωμῳδοὶ, χορὸς, τέθριππον, τότε διὰ τὸ πάθος τοῦ ἑνὸς ἀναστρέφονται πάντα, κἂν διῃρημένως τιμηθῇ. ἀνωφελῆ γάρ εἰσι διαιρούμενα καὶ τῷ πράτῃ καὶ τῷ ἀγοραστῇ· καὶ ὅτε [διὰ] διάθεσιν ἢ εὐσέβειαν οὐ δύναται χωρισθῆναι, οἷον ἀδελφὸς ἀπὸ ἀδελφοῦ, υἱὸς ἀπὸ γονέων, ἀνὴρ ἀπὸ γυναικός.

---

[1] Potius κη΄. [2] Cod. ἐακισίας videbatur habere. [3] Idem locus infra habetur tit. XL. [4] Cod. τῶν καὶ. [5] Cf. Suppl. ed. Basil. Heimb. p. 278 not. 324. [6] Cf. Suppl. l. l.

[μβ'.] Κεφ. κε'[1]· „Ἐάν τις ὡς νεώνητον πωλήσῃ τὸν ἤδη δουλεύσαντα, ὑπόκειται τῇ ἀναστροφῇ. σπεύδουσι γὰρ οἱ ἄνθρωποι τοὺς νεωνήτους λαμβάνειν, ὡς δυναμένους διδάσκεσθαι, καὶ πρὸς ἄλλους μεταφέρεσθαι τρόπους."

[μγ'.] Κεφ. με'· „Εἰ μὲν μὴ ἀποδίδωσιν ὁ πράτης τὸ τίμημα καὶ τὰς προσθήκας καὶ ἐλευθεροῖ τὸν δι' αὐτὸν ἐνοχοποιηθέντα, εἰς τὸ διπλοῦν τοῦ τιμήματος καὶ τῆς προσθήκης καταδικάζεται τῇ περὶ τῆς ἀναστροφῆς ἀγωγῇ. εἰ δὲ ταῦτα ποιεῖ, εἰς τὸ ἁπλοῦν καταδικάζεται." Σχόλιον· „Προσθήκας τὰς μετὰ τὴν δουλείαν προστεθείσας φησὶν, οἷον πεκούλιον ἢ φέλωνην ἢ ἕτερον τοιοῦτον ἐνοχοποιηθὲν ἢ τὰ κατ' ἐντολὴν τοῦ ἀγοραστοῦ ἐρωτηθέντα[2] αὐτῷ περὶ τοῦ τιμήματος, ἢ τυχὸν εἰ ἐναχθέντος τοῦ ἀγοραστοῦ διὰ τὸν δοῦλον οὐ πείθεται ὁ πράτης ἀσφαλίσασθαι ποιῆσαι τὸ ἀζήμιον αὐτῷ."

[μδ'.] Κεφ. λε'[3] θέ. γ'· „Ὁ τῇ παραδρομῇ τῶν ἓξ μηνῶν τῆς περὶ ἀναστροφῆς ἀγωγῆς ἐκβληθεὶς[4] δύναται κινεῖν τὴν περὶ τῆς μειώσεως τοῦ τιμήματος ἐντὸς ἐνιαυτοῦ." Τοῦ πλάτους· „τοῦτο νόησον ἐν ᾧ ὁ πράτης ἠσφαλίσατο ἐπὶ τοῖς ἐκνικήσεως[5] κεφαλαίοις. μὴ ἀσφαλισαμένου γὰρ αὐτοῦ ἰδικῶς ἀλλὰ σιωπήσαντος, τότε τὴν ῥεδνιβιτορίαν ἐντὸς δύο μηνῶν εἶχεν ὁ ἀγοραστής."

[με'.] „Ἐὰν παρ' ἐμοῦ κλέψῃ ὁ δοῦλός μου, οὐκ ἐστὶν ἀναγκαῖον τοῦτο προλέγειν ἐν τῇ πράσει· οὔτε ἐκ τούτου ἁρμόζει ἡ ἀναστροφή. εἰ δὲ εἴπω, μὴ εἶναι αὐτὸν κλέπτην, ἐνέχομαι."

[μϛ'.] „Ὁ καλῇ αἱρέσει πραθεὶς καὶ φυγὼν οὐ ποιεῖ χώραν τῇ ἀναστροφῇ, εἰ μὴ καὶ πρὸ τούτου ἔφυγεν."

[μζ'.] „Ἐπειδὴ ὡρισμένος ἐστὶ χρόνος ἓξ μηνῶν τῆς περὶ ἀναστροφῆς ἀγωγῆς, οὐ δοκεῖ εὐχέρειαν ἐσχηκέναι τοῦ κινῆσαι ὁ τὸ λανθάνον αἴτιον τοῦ φυγάδος ἀγνοήσας. ἡ μέντοι [ἀνειμένη][6] ἄγνοια τοῦ ἀγοραστοῦ οὐ βοηθεῖται." Τοῦ πλάτους· „Ἐφ' ὅσον τὶς ἠγνόει τὸν οἰκέτην ὄντα φυγάδα, οὐ τρέχουσιν αὐτῷ οἱ χρόνοι. πῶς γὰρ ἐδύνατο κινεῖν ὁ μηδὲ γινώσκων τὸ πάθος; τοῦτο δὲ τότε [οὐ] κρατεῖ, ὅτε ἐπιμελὴς ἀνὴρ δύναται γνῶναι τὸ αἴτιον, αὐτὸς δὲ ῥᾴθυμος ὢν ὁ ἀγοραστὴς οὐκ ἔγνω. οἱ γὰρ ἓξ μῆνες συναπτοί εἰσιν καὶ ἐξ ἐκείνου τρέχουσι τοῦ χρόνου, ἐξ οὗ τις ἐπιμελὴς ἀνὴρ ἐδύνατο γνῶναι τὸ πάθος."

---

[1] Potius λζ'. Caeterum hoc et sequentia capita usque ad c. 58 iterum invenies in Suppl. cit. p. 278 sqq. Sunt autem omnia ex Basil. XIX, 1. [2] Lege ἐπερωτ. [3] Imo μη'. [4] Cod. ὑποβλ. [5] Legerim αἰδιλικίας. [6] Cod. lacunam habet.

[μη΄.] „Ἐὰν ὁ φυγὼν συλληφθεὶς παρουσίᾳ τινῶν ἀξιοπίστων εἴπῃ ἐρωτώμενος, καὶ παρὰ τῷ πράτῃ τοῦτο πεποιηκέναι, πιστεύεται συντρεχόντων καὶ ἑτέρων τεκμηρίων."

[μθ΄.] „Ἐάν τις πωλήσῃ φυγάδα δοῦλον μὴ ἀγνοήσας αὐτὸν φυγάδα εἶναι, κατέχεται εἰς τὴν τιμὴν καὶ εἰς τὴν ἔξωθεν βλάβην."

[ν΄.] „Ἡ μετὰ τὴν πρᾶσιν φυγὴ, εἰ μὴ δείκνυται καὶ πρὸ τῆς πράσεως πεφευγὼς, οὐδὲν τὸν πράτην βλάπτει. ἐὰν δὲ ὁ πράτης ἐπηγγείλατο, μηδὲ[1] μετὰ τὴν πρᾶσιν ὑπαίτιον εἶναι τὸν οἰκέτην, εἰ καὶ ἀδύνατόν ἐστιν, ὅμως διὰ τὴν τοῦ συναλλάγματος δύναμιν κατέχεται ὁ πράτης περὶ τούτου τοῦ συμφώνου. εἰ δὲ ὁ φυγὼν οἰκέτης πρὸς τὸν πράτην ἀναστρέψει, ὁ δικαστὴς τὴν ἀλήθειαν ἐκζητήσας δίδωσιν ἀπόφασιν."

[να΄.] „Ὁ κατὰ βίαν πρᾶγμα πεπρακὼς δύναται ἀναδιδοὺς ὅπερ ἔλαβε τίμημα τὴν κατὰ βίαν γενομένην πρᾶσιν ἀνατρέπειν· καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ὁ κληρονόμος αὐτοῦ."

[νβ΄.] „Κἂν τὰ μάλιστα διπλάσιον προσφέρει ὁ πράτης τῷ ἀγοραστῇ εἰς τὸ ἀναστρέψαι τὴν πρᾶσιν, ὅμως ἄκων οὐ συνωθεῖται."

[νγ΄.] „Ἐὰν ἐξ ἀρχῆς φανερὸν μὲν τίμημα ὁρισθῇ, ἐν δὲ τῇ καταβολῇ ἕτερον ἀντὶ τοῦ τιμήματος καταβληθῇ, ἔῤῥωται ἡ πρᾶσις. οὐδὲ γὰρ ζητοῦμεν φανερὸν καταβληθῆναι τίμημα, ἀλλὰ συμφωνηθῆναι· ἐν δὲ τῇ καταβολῇ ἔξεστι τῷ πράτῃ ὃ βούλεται λαβεῖν."

[νδ΄.] „Ὁ πράτης τὸν δόλον τοῦ ἀγοραστοῦ ἐν τῷ καιρῷ τοῦ συναλλάγματος ἀγνοήσας, δύναται ἀναλαμβάνεσθαι. εἰ δὲ εἰδὼς συνήλλαξεν, οὐκέτι δύναται βοηθεῖσθαι. ἐὰν δὲ τὸ συναρέσαν τίμημα μὴ δείκνυται καταβληθὲν ἢ ἐχειρογραφήθη ἀντιλογισθῆναι αὐτῷ εἰς ποσότητα χρέους κατὰ πλάνην γενομένου, τοῦτο ἀποδοθῆναι ὀρθῶς αἰτεῖται."

[νε΄.] „Εἴ τις ὡς μεῖζον τῶν κε΄ ἐνιαυτῶν καὶ ἐπιτηδείως διοικῆσαι τὴν ἰδίαν φαμιλίαν δοκιμασθεὶς κτήματα, εἰ καὶ πόῤῥω διακείμενα, πωλήσει εὐτελεστέρου τιμήματος ὀνόματι ἀναλήψεως τοῦ πραθέντος πράγματος εὐπορίαν μηδαμῶς ἐπικτάσθω, μηδὲ ματαίαις συντρίβειν ἀγωγαῖς συγχωρείσθω, ἵνα αἰτιᾶται ἀγνώστους ἑαυτῷ τὰς τῶν τόπων δυνάμεις, ὅστις τῆς οὐσίας αὐτοῦ τὴν δύναμιν εἰδέναι καὶ τὰ ἀξιώματα καὶ τὰ κέρδη ὀφείλει."

---

[1] Cod. μηδέν.

[νς΄.] „Ὅτε διὰ χρέα δημόσια πρᾶσις γίνεται, τὸ ἀληθὲς τίμημα τῷ πράτῃ παρέχεσθαι ὀφείλει.“

[νζ΄.] „Ἐάν τις ἐκφεύγων δημοσίας λειτουργίας πόλεως πωλήσῃ ἴδια πράγματα, ἵνα ἧττονα λειτουργήσῃ, καὶ τὸ συνάλλαγμα ἄχρηστον, καὶ ὁ ἀγοραστὴς τὸ τίμημα, ὅπερ ἐπηγγείλατο παρέχειν, τῇ πόλει καταβάλλει.“

[νη΄.] „Τοῦ δημοσίου πιπράσκοντος ἢ ἄργυρον ἢ ἐσθήματά τινα μὴ ἐξέστω τοῖς παλατίνοις ἀγοράζειν· εἰ δὲ ἀγοράσωσι, τὸ τίμημα ζημιούσθωσαν.“

[νθ΄.] Βι. ιθ΄ τί. ια΄ κεφ. γ΄[1]· „Τὸ πεκούλιον οὐκ ἀκολουθεῖ τῷ πιπρασκομένῳ δούλῳ.“

[ξ΄.] Κεφ. ια΄· „Ἐὰν τὸν πραθέντα σοι ἀγρὸν φιλοτιμήσηταί τινι ὁ βασιλεὺς ἢ κελεύσῃ πραθῆναι, οὐκ ἔχεις ἐπὶ τῷ τιμήματι ἀγωγήν. αἱ γὰρ μετὰ τὴν πρᾶσιν συμβαίνουσαι τυχηραὶ τῆς ἐκνικήσεως αἰτίαι πρὸς τὸν πράτην οὐ φέρονται.“

[ξα΄.] „Ὁ ὁμολογήσας μὴ ὑποκεῖσθαι ἐνοχῇ τὸν δοῦλον, οὐκ ἐνέχεται διὰ τὰ δημόσια ἁμαρτήματα.“

[ξβ΄.] Τοῦ πλάτους[2]· „Ὅτι ὁ πιπρασκόμενον τὸ ἴδιον ὁρῶν καὶ μὴ ἀντιλέγων αὐτὸς πρωτοτύπως πιπράσκειν δοκεῖ, καὶ ὑπόκειται τῇ ἐκνικήσει τοῦ πράγματος.“

[ξγ΄.] „Ἡ καλλονὴ τοῦ ἐκνικηθέντος μέρους σκοπεῖται, ἥτις ἦν ἐν τῷ καιρῷ τῆς πράσεως, οὐ μὴν τῆς ἐκνικήσεως. εἰ δὲ μετὰ ταῦτα γέγονε πρόσκλυσις ἤτοι προσθήκη, τῷ καιρῷ τῆς προσθήκης προσέχομεν. δουλείας δὲ ἐκνικηθείσης τοῦ ἀγροῦ χρὴ τιμᾶσθαι, πόσου γέγονεν ὁ ἀγρὸς ἥττων, καὶ καταδικάζεσθαι τὸν πράτην ἐπὶ τοσοῦτον.“

[ξδ΄.] Καὶ „οἴκου καὶ πλοίου πραθέντος οὐ δοκεῖ τὰ καθ' ἕκαστον, οἷον λίθοι ἢ σανίδες, πιπράσκεσθαι. διὸ οὐδὲ περὶ ἐκνικήσεως αὐτῶν ὁ πράτης ἐνέχεται εἰς τὸ διπλάσιον ὡσανεὶ μέρους ἐκνικηθέντος.“

[ξε΄.] „Ὁ υἱὸν ἴδιον ἢ οἱονδήποτε ἐλεύθερον ἀγνοῶν πωλήσας ὡς δοῦλον, ὑπόκειται περὶ ἐκνικήσεως.“

[ξς΄.] „Ἐὰν ἔγκυος δούλη πραθῇ, καὶ τὸ τεχθὲν ἐκνικηθῇ, οὐκ ἐνέχεται ὁ πράτης. οὐδὲ γὰρ ὁ τοκετὸς ἐπράθη. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ μετὰ τὴν πρᾶσιν τεχθέντος μόσχου.“ Τοῦ πλάτους· „Ὑπόθου τινὰ λεγατεῦσαί τινι τὸ ἀπὸ τῆς θεραπαίνης

---

[1] Hoc et sequentia capita usque ad c. 73 ex Basil. XIX, 11 desumta habes in Suppl. cit. p. 282 sqq. [2] Forte aliquid deest, quod ἐκ τοῦ πλάτους ad c. 61 adscriptum esset. Hoc nostrum caput potius c. 12 Basil. l. l. effecisse videtur

μέλλον τίκτεσθαι καὶ ὁ λεγατάριος βούλεται μετὰ τὸν τοκετον ἐκδικῆσαι τὸ βρέφος."

[ξζ'.] „Πωλήσας ἀγρὸν ρ' ζευγῶν ὑπέδειξα τοὺς ὅρους πλείονος μέτρου· ἐὰν τίποτε ἐκ τῶν ὅρων ἐκνικηθῇ, πρὸς τὴν καλλονὴν ὑπόκειμαι, εἰ καὶ τὸ περιλειφθὲν ἔχει τὰ ρ' ζεύγη."

[ξη'.] „Ἐὰν κατὰ πλάνην ἢ ἄγνοιαν ἢ ῥυπαρίαν τοῦ δικαστοῦ ἡττηθῇ ὁ ἀγοραστὴς, οὐκ ἐνέχεται ὁ πράτης."

[ξθ'.] „Ἐὰν ὁ πράτης γνώμῃ τοῦ ἀγοραστοῦ ταφῇ ἐν τῷ πραθέντι τόπῳ, ἀπόλλυται ἡ περὶ ἐκνικήσεως ἀγωγή. τὴν δεσποτείαν γὰρ ὁ ἀγοραστὴς ἀπόλλυσιν." Τοῦ πλάτους· „Ἱερὸς γὰρ γέγονεν ὁ τόπος."

[ο'.] „Ἐὰν πολλῶν εἰς ὁλόκληρον ἐνεχομένων μοι περὶ ἐκνικήσεως ἐνάγω τῷ ἑνὶ, μετὰ ταῦτα κινῶν τοῖς ἄλλοις ἐκβάλλομαι παραγραφῇ." Τοῦ πλάτους· „Θὲς γὰρ [πολλοὺς] οἰκέτην πωλῆσαι κοινῶς."

[οα'.] Κεφ. νγ'· „Ἐὰν ὑπὲρ ἑκάστου ζεύγους ἐργασίας συμφωνηθῇ [τὸ] τίμημα τοῦ ἀγροῦ καὶ μέρος ἐκνικηθῇ, οὐ πρὸς τὴν καλλονὴν ἀλλὰ πρὸς τὸ μέρος τῶν ἐκνικηθέντων ὁ πράτης ὑπόκειται, κἂν τὰ καλλιστεύοντα ἐκνικηθῇ."

[οβ'.] „Ἐὰν δυνάμενος ὁ ἀγοραστὴς μὴ παραγγείλῃ καὶ ἐξ ἀγνοίας ἡττηθῇ, οὐ κινεῖ τὴν ἐπὶ τοῖς συμφώνοις ἀγωγήν."

[ογ'.] Ὅτι „μετὰ τὴν διὰ χρήσεως κυριότητα ἢ τὴν τοῦ μακροῦ χρόνου παραγραφὴν οὐκ ἐνέχεται περὶ ἐκνικήσεως ὁ πωλήσας ἀλλότριον." Τοῦ πλάτους· „Καὶ ὅτε δυνάμενος...."[1]

[οδ'.] Ὅτι ὀφφίκιόν τις ἐπώλησεν εἰς νομίσματα ιη', τὸ δὲ ὀφφίκιον ἦν δουλεία εἰς λοῦμα[2], ἐξ οὗ μικραὶ πρόσοδοι προσποριζόμεναι δι' ἐνιαυτοῦ εἰς νομίσματα ις' ἀναβιβάζονται. ἐντὸς δὲ τῆς τετραετίας ἐκίνησε τὴν περιγραφὴν κατὰ τοῦ ἀγοραστοῦ, καὶ ἠκριβώθησαν αἱ πρόσοδοι, καὶ ἐτύπωσεν ὁ μάγιστρος οὕτως εἰπών· ὅτι ἐπεὶ τὰ ἐνοίκια τὰ μὴ αὐτουργικὰ ἀλλ' ὑπὸ ἔξοδον ὄντα ἓξ νομίσματα εἰς τὴν λίτραν πιπράσκεται, καὶ ὁ δημόσιος τὰς ῥόγας ἓξ νομίσματα εἰς λίτραν πωλεῖ, ἀντίκειται δὲ ὁ τοῦ διηνεκοῦς λόγος· συμφύρεται γὰρ τὸ ὀφφίκιον τῷ ἀγοραστῇ· ἐτυπώθη τιμηθῆναι τὴν χρῆσιν τῆς προσόδου, καὶ ἐστὶν ἡ χρῆσις τὸ ἥμισυ ἤγουν νομίσματα η', καὶ τιμῶνται ταῦτα λίτρας μιᾶς νομισμάτων κδ'. εὑρίσκεται δὲ δοὺς ὁ ἀγοραστὴς[3] νομίσματα ιη'· ἐπιτίθεται αὐτῷ αἵρεσις ἢ

---

[1] In Cod. lacuna lineae est. [2] Cod. λουγμα habere videbatur. [3] Cod. videbatur habere πράτης.

τὸ λεῖπον τῷ δικαίῳ τιμήματι ἀποδοῦναι καὶ ἔχειν τὸ ὀφφίκιον ἢ ἀντιστρέψαι τὸ ὀφφίκιον καὶ λογαριασθῆναι εἰς τὰς προσόδους ὑποκρατοῦντα τὸν τόκον. αἱρετισαμένου τοίνυν τοῦ πράτου δοῦναι τὸ λεῖπον κατεδίκασεν αὐτόν· καὶ δέδωκε λίτραν μίαν νομίσματα ϛ', καὶ ὑπὲρ τόκου ἑκάστου χρόνου νομίσματα δ', καὶ οὕτως ἔλυσε τὴν δίκην.

[οε'.] *Βι. ιθ' τί. ια' κεφ.* [νε'][1]· Ὅτι „παρόντι τῷ πράτῃ δεῖ παραγγέλλειν. εἰ μέντοι ἀπέστι ἢ παρεμποδίζει παραγγελθῆναι, βεβαιοῦται ἡ τοῦ διπλοῦ ἐπερώτησις."

[οϛ'.] „Ἐὰν παρὰ αἱρετοῦ δικαστοῦ καταδικασθῇ ὁ ἀγοραστὴς, οὐκ ἔχει περὶ ἐκνικήσεως. οὔτε γὰρ ἀνάγκην εἶχεν ἑλέσθαι αἱρετὸν δικαστήν."

[οζ'.] „Ἐὰν δυνάμενος ὁ ἀγοραστὴς μὴ διὰ χρήσεως κυριεύσῃ καὶ ἐκνικηθῇ τὸ πρᾶγμα, οὐκ ἔχει κατὰ τοῦ πράτου."

[οη'.] „Ἐὰν ὁ νικήσας τὸν ἀγοραστὴν καὶ μήπω λαβὼν τὸ πρᾶγμα τελευτήσῃ ἀδιάδοχος, καὶ μήτε ὁ δημόσιος μήτε οἱ δανεισταὶ λάβωσι τὴν οὐσίαν αὐτοῦ, ὁ ἀγοραστὴς ὡς ἀναφαίρετον ἔχων τὸ πρᾶγμα οὐ κινεῖ κατὰ τοῦ πράτου τὴν ἐπὶ τοῖς συμφώνοις ἀγωγήν. τὸ αὐτὸ ἐστὶν, ἐὰν ὁ νικήσας, πρὶν ἢ λάβῃ τὸ πρᾶγμα, δωρήσηται ἢ λεγατεύσῃ αὐτὸ τῷ ἀγοραστῇ. λαβόντος γὰρ βεβαιοῦται ἡ ἐπερώτησις καὶ οὐ λύεται διὰ τῆς δωρεᾶς ἢ τοῦ λεγάτου."

[οθ'.] „Δοῦλος γενικῶς ἐλεγατεύθη μοι, καὶ δέδωκέ μοι ὁ κληρονόμος ἕνα ὁμολογήσας περὶ δόλου· ἐὰν ἐκνικηθῇ, ἔχω κατὰ τοῦ κληρονόμου τὴν ἐκ διαθήκης βοήθειαν, κἂν ἠγνόησεν αὐτὸν ἀλλότριον εἶναι." Τοῦ πλάτους· „Εἰ γὰρ εἶπεν ὁ διαθέμενος· λεγατεύω τόνδε τὸν οἰκέτην, καὶ δέδωκεν ὁ κληρονόμος τοῦτον, κἂν ἐξενικήθη, οὐκ ἐνέχεται· ὃν γὰρ ὡρίσθη, τοῦτον δέδωκεν."

[π'.] „Εἰ μὴ λεχθῇ ἐν τῇ πράσει, πόσον ὑπὲρ ἐκνικήσεως ὀφείλει παρασχεῖν ὁ πράτης, τὸ ἁπλοῦν μόνον διὰ τὴν ἐκνίκησιν δίσωσι· καὶ κατὰ τὴν φύσιν τῆς ἐπὶ τῇ πράσει ἀγωγῆς[2] τὸ διαφέρον." Τοῦ πλάτους· „Τί γὰρ, ὅτι ἔχρησά σοι αὐτὸ ἢ παρεθέμην;"

[πα'.] „Ἐὰν πολλοὶ κληρονομήσουσι τοῦ πράτου, μία ἐστὶν ἡ περὶ ἐκνικήσεως ἐνοχὴ, καὶ πάντες παραγγέλλεσθαι καὶ πάν-

---

[1] Hoc caput cum sequentibus usque ad c. 88, quae omnia sunt ex Basil. XIX, 11, edidi in Suppl. cit. p. 284 sqq. [2] Inter *ἀγωγῆς* et *τὸ διαφ.* Cod. parvam lacunam habet.

τες διεκδικεῖν ὀφείλουσι. εἰ δὲ τῶν λοιπῶν κατὰ ῥαθυμίαν μὴ ἐρχομένων[1] ὁ εἷς δικάσεται, τοῖς πᾶσι νικᾷ καὶ ἡττᾶται, καὶ καλῶς αὐτοῖς ἡττηθεῖσιν ὁ ἀγοραστὴς ἐνάγει."

[πβ΄.] „Ἐὰν ὁ ἀγοραστὴς ἐκκαλέσηται καὶ καλοῦ ὄντος τοῦ πράγματος ἐξ οἰκείου βιτίου διὰ παραγραφῆς ἐκβληθῇ, οὐκ ἔχει κατὰ τοῦ πράτου." Τοῦ πλάτους· „Ὅτι τυχὸν γὰρ οὐκ ἐφυλάξατο τοὺς καιροὺς τῆς ἐγκλήτου."

[πγ΄.] „Ὁ πράτης μετὰ χρόνον τοῦ ἐκνικηθῆναι τὸ πρᾶγμα προσφέρων αὐτὸ τῷ ἀγοραστῇ, οὐκ ἐκκλίνει τὴν εἰς τὸ διαφέρον καταδίκην."

[πδ΄.] „Ἐὰν ὁ πράτης εἰδὼς τὴν αἵρεσιν τῆς ἐλευθερίας κρύψῃ αὐτὴν ἀγνοοῦντος τοῦ ἀγοραστοῦ, καὶ ἁπλῶς εἴπῃ ὑπὸ ὅρον ἐλεύθερον τὸ πιπρασκόμενον, ἐξιούσης τῆς αἱρέσεως οὐ τῇ ἐκνικήσει, ἀλλὰ τῇ ἐπὶ τῇ πράσει ἀγωγῇ ὑπόκειται. ὥσπερ ὁ παραδιδοὺς τὸν ἀγρὸν τὰς δουλείας εἰδὼς ἐὰν εἴπῃ ἁπλῶς· αἱ δουλεῖαι οἷαι εἰσὶν ἔστωσαν, τῇ ἐπὶ τῇ πράσει ἀγωγῇ ἐνέχεται, οὐ τῇ ἐκνικήσει."

[πε΄.] „Ἐκνικωμένου τοῦ πράγματος, οὐ μόνον ἐπὶ ἀναλήψει τῆς τιμῆς ἁρμόζει [ἡ] ἐπὶ τῇ πράσει ἀγωγὴ, ἀλλὰ καὶ εἰς τὸ διαφέρον. ὅθεν ἐὰν ἥττονος γέγονεν, ὁ ἀγοραστὴς ζημιοῦται."

[πϛ΄.] „Ἐὰν πολλοὶ ἀγροὶ ἰδικῶς πραθῶσιν ἐν ἑνὶ συμβολαίῳ ἢ πολλὰ πράγματα ἢ πολλοὶ δοῦλοι, οὐκ ἐστὶν ὁ εἷς μέρος τοῦ ἄλλου, καὶ δύναται ὁ ἀγοραστὴς ἐφ᾽ ἑκάστῳ ἐκνικωμένῳ κινεῖν τὴν ἐπὶ τοῖς συμφώνοις ἀγωγήν."

[πζ΄.] „Ἐὰν σιωπηρῶς ἐπακολουθοῦσιν αἱ δουλεῖαι τῷ ἀγρῷ, οὐκ ἐνέχεται ὁ πράτης· ὁ δὲ παραδιδοὺς ἀγρὸν ὡς κάλλιστον, ἐλεύθερον δουλειῶν ὀφείλει παρέχειν αὐτὸν, οὐ μὴν καὶ δουλευόμενον, εἰ μὴ ῥητῶς συνεφωνήθη."

[πη΄.] „Ὁ τὸ παραδοθὲν αὐτῷ πρᾶγμα ἐξ ἀγορασίας ἀπρονόητον ἐῶν, ἀπόλλει τὴν περὶ ἐκνικήσεως ἀγωγήν."

[πθ΄.] Βι. ιθ΄ τί. ιβ΄ κεφ. α΄[2]· „Ἐὰν ἀλλότριον πρᾶγμα πωλήσας καὶ μετὰ ταῦτα κυριεύσας αὐτοῦ ἀπαιτεῖς αὐτὸ, ἐκβάλλῃ τῇ παρούσῃ παραγραφῇ, ἢ καὶ ἐὰν κατὰ ἐντολὴν πωλήσῃς πρᾶγμά [μου, χώρα] κατ᾽ ἐμοῦ τῇ παραγραφῇ, εἰ μὴ δείξω, ὡς ἐνετειλάμην σοὶ μὴ παραδοῦναι πρὸ τῆς τοῦ τιμήματος καταβολῆς."

[ϙ΄.] „Τοῦ[3] ἐλευθέρου καὶ τοῦ ἱεροῦ καὶ τοῦ μνημείου

---

[1] Cod. ἐνεχομ. [2] Cod. κεφ. θ΄ τί. β΄ καὶ κεφ. α΄. — Habes hoc caput in Suppl. cit. p. 286. [3] Basil. XIX, 1, 4. Suppl. cit. p. 256.

συνίσταται πρᾶσις, ἐὰν ἀγνοῇ ὁ ἀγοραστής. δυσχερῶς γὰρ ὁ ἐλεύθερος ἀπὸ τοῦ δούλου διακρίνεται.“

[ϛα΄.] *„Οἱ*[1] *πωλοῦντες καὶ οἱ ἀγοράζοντες ἐὰν διχονοήσωσι περὶ τὸ τίμημα ἢ τὸ πρᾶγμα ἢ τὴν ὕλην, οὐκ ἔῤῥωται ἡ πρᾶσις· τυχὸν γὰρ ἐγὼ πέτρον ἐνόμιζον πωλεῖν καὶ σὺ παῦλον ἀγοράζειν. ἡ δὲ περὶ τὴν προσηγορίαν τοῦ πιπρασκομένου πλάνη οὐ βλάπτει τὸ συνάλλαγμα. οἷον [ἐὰν] ἀντὶ παρθένου γυναῖκα ἀγοράσω, οὐ μὴν ἔνθα ἀντὶ ἀνδρὸς ἀγορασθῇ γυνή. τῆς γὰρ πλάνης περὶ τὸ σῶμα γενομένης ἀσύστατος ἡ πρᾶσις. συναινεῖ δὲ περὶ τὸ σῶμα καὶ τυφλὸς καὶ ὁ μὴ ἀκριβῶς τὰς ὕλας εἰδώς. ἐπὶ δὲ τῶν τοιούτων τὸ πρόσωπον σκοπεῖται τῶν συναλλασσόντων, καὶ οὐχ οἷς ἡ ἀγωγὴ προσπορίζεται. εἰ γὰρ ἐμοῦ παρόντος ὁ υἱός μου ἀγοράσῃ ὀνόματι αὐτοῦ, οὐχ ἡ ἐμὴ ὑπόνοια ἀλλ᾽ ἡ αὐτοῦ σκοπεῖται. εἰ δὲ τῷ δούλῳ μου ἢ τῷ διοικοῦντι τὰ πράγματά μου πωλήσεις δοῦλον φυγάδα ἀγνοοῦντι, ἐμοῦ γινώσκοντος, οὐκ ἐνέχῃ τῷ νόμῳ.“*

Τ Ι Τ Λ Ο Σ λθ΄.

Περὶ ἐννόμου ἀγωγῆς καὶ περὶ μεταθέσεως νομῆς*[2] *καὶ νομῆς ἀγαθῆς ἢ κακῆς.

[α΄.] *Ἐάν*[3] *[τις] ἐντὸς ἐνιαυτοῦ κινήσῃ μετὰ τὸ μετατεθῆναι τὸ κτῆμα ἀπ᾽ αὐτοῦ καὶ παραδοθῆναι ἑτέρῳ, ἀναλαμβάνων τὴν κτῆσιν δικάζεται· μετὰ δὲ τὸν ἐνιαυτὸν μενούσης τῆς ἐπὶ νομῇ παραδόσεως ἐπὶ σχήματος δικάζεται.*

[β΄.] *Ὅτι ἀπὸ ἡμέρας εἰς ἡμέραν καταμετρεῖ ὁ νόμος*[4] *τὰς τῆς χρονίας νομῆς περιόδους, φάσκων· „ἐν ταῖς διὰ χρονίας νομῆς δεσποτείαις ὅλην τὴν τελευταίαν ἡμέραν δεσπόζομεν*[5]*. διὸ [ὁ] ἐν ἕκτῃ ἡμέρᾳ τῶν ἰαννουαρίων καλανδῶν [ἀρξάμενος νέμεσθαι, ὥρᾳ ἕκτῃ νυκτερινῇ τῶν αὐτῶν καλανδῶν]*[6] *πληροῖ τὴν διὰ χρονίας νομῆς δεσποτείαν.“*

[γ΄.] *Ὅτι τὰ ὄρη καὶ τὰ ἄλση ψυχῇ νεμόμεθα. ὁ γὰρ ψυχῇ νεμόμενος, ἕως ἂν ἐξωθῇ ἢ ἀναχωρήσῃ, νέμεται. καὶ νόμος*[7]*· „ψυχῇ δὲ τὰ χειμερινὰ καὶ τὰ θερινὰ δάση νεμόμεθα.“*

---

[1] Basil. XIX, 1, 9—13. Suppl. cit. p. 257. [2] Index: *Περὶ μετ. νομ. καὶ χρόνων πάντων.* [3] Harm. I, 3, 56. [4] Basil. L, 3, 6. [5] Lege *ψηφίζομεν.* [6] Haec propter *ὁμοιοτέλευτα* exciderant. [7] Basil. L, 2, 3.

[δ'.] Ὅτι[1] τὸ κωλύσαι τινὰ τὸν δεσπότην ἐρχόμενον ἐπὶ ξυλίαν τοῦ ἰδίου ὅρους, ἅπαξ ἢ δὶς ἢ πολλάκις διακεκομμένως[2], οὐκ ἀφαιρεῖται τὴν νομὴν, ἀλλὰ τὸ ἐπὶ τριακονταετίᾳ συναπτῇ τοῦτο ποιῆσαι.

ΤΙΤΛΟΣ μ'.

Περὶ τῶν ἐπὶ νομῇ παραδόσεων.

[α'.] Οἱ[3] καρποὶ τῶν δοθέντων κτημάτων ἐπὶ νομῇ προστάξει δικαστικῇ οὐκ ἀπαιτοῦνται. ἀλλ' εἰ μὲν ἐντὸς ἐνιαυτοῦ κινήσει ἐκεῖνος, ὅστις δι' ἀπείθειαν κληθεὶς εἰς δίκην ἀφαίρεσιν ὑπέστη τοῦ κτήματος, παραδοθήσεται τῷ ἐγκαλοῦντι ἐπὶ νομῇ, καὶ ἀπολαμβάνων τὸ οἰκεῖον ἀγωνίζεται καὶ ἀπαναγκάζεται κινῶν δεικνύειν. εἰ δὲ μετὰ τὸν ἐνιαυτὸν κινήσει, ἡ μὲν νομὴ αὐτῷ οὐκ ἀποκαθίσταται, ἐγγυμνάζει δὲ τοὺς οἰκείους ἀγῶνας. περὶ δὲ χρόνου τοῦ μετασχηματίζοντος τὴν ἐπὶ νομῇ παράδοσιν εἰς δεσποτείαν ὁ νόμος ῥητῶς οὐκ εἶπε. καὶ διὰ τοῦτο ὁ πατρίκιος ἔλεγε φιλαγάθως τὸν διηνεκῆ χρόνον ἀρκεῖν, τουτέστι τὴν τριακονταετίαν. πλὴν ἐὰν δι' ὑπέρθεσιν ἢ ἑτέραν τινὰ αἰτίαν πεμφθῇ τις εἰς νομὴν, καὶ τοὺς καρποὺς ἀντιστρέψει καὶ οὐδὲ τρέφεται ἐξ αὐτῶν. ὡς βι. θ' τί. ϛ' κεφ. ζ' καὶ η'.

[β'.] Ὅτι ἐπὶ τῶν ἐπὶ νομῇ παραδόσεων οὐκ ὀφείλει τὶς λαμβάνειν οὐδ' ἄχρι τοῦ ἡμίσεως ἐκταγὴν ἀλλ' οὐδὲ ὅλως.

[γ'. „Ὁ[4]] εἰδὼς σὺν ἑτέρῳ κοινὸν ἔχειν ἀγρὸν, καὶ τοὺς καρποὺς ἄκοντος ἢ ἀγνοοῦντος τοῦ κοινωνοῦ λαμβάνων, οὐ δεσπόζει αὐτῶν, εἰ μὴ κατὰ τὸ ἀναλογοῦν αὐτῷ μέρος, ὁστισδήποτε εἰ ἔσπειρεν αὐτούς. οἱ γὰρ καρποὶ οὐ τῷ σπόρῳ, ἀλλὰ τῇ γῇ ἕπονται. καὶ ὁ καλῇ[5] πίστει γὰρ νομεὺς τῶν ὁπωσοῦν σπαρέντων καρπῶν οὐ δεσπόζει.“

[δ'.] Θέ β'[6]· „Ὁ καλῇ πίστει νομεὺς τοὺς καρποὺς λαμβάνων δεσπόζει αὐτῶν, κἂν ἄλλος αὐτοὺς ἔσπειρεν. ἔοικε δὲ τοῖς ἐκ τῶν ὑπηρεσιῶν τῶν δούλων προσποριζομένοις, καὶ ἐν τῇ λήψει τῶν καρπῶν δίκαιον ἔχει δεσποτείας τοῦ ἀγροῦ. ὁ δὲ

---

[1] Harm. I, 3, 57. [2] Apud Harm.: ξύλα — διακεκομμένα. [3] Harm. I, 3, 58. [4] Basil. XXIII, 3, 25. — Cf. Harm. II, 1, 45. [5] Sic Cod. et Harm. Basil.: κακῇ. [6] Basil. l. l. — Harm. II, 1, 11.

δεσπότης λαμβάνει τοὺς καρποὺς, κἂν ἀλλότριον σῖτον σπείρῃ. μεῖζον δὲ δίκαιον ὁ καλῇ πίστει νομεὺς ἔχει παρὰ τῶν τὴν χρῆσιν ἐχόντων· εἰ μὴ γὰρ αὐτὸς ὁ τὴν χρῆσιν ἔχων λάβοι τοὺς καρποὺς, οὐ δεσπόζει αὐτῶν· οἱ δὲ ὁπωσοῦν ληφθέντες τοῦ καλῇ πίστει [νομέως] εἰσίν."

[ε΄.] Θέ. γ΄[1]· „Κἂν μετὰ τὸ σπεῖραι καὶ μὴ λαβεῖν τοὺς καρποὺς γνῷ ἀλλότριον τὸν ἀγρὸν ὁ καλῇ πίστει νομεὺς, τῇ λήψει δεσπόζει αὐτῶν· ὅσον γὰρ ἧκεν εἰς τὴν λῆψιν τῶν καρπῶν, ἕως οὗ ἐκνικηθῇ ὁ ἀγρὸς, καλῇ πίστει ἀγοραστής ἐστιν. τὰ αὐτὰ καὶ ἐπὶ τῶν προσποριζομένων τῷ[2] καλῇ πίστει ἀγοραστῇ διὰ τοῦ δούλου ἀπὸ πράγματος ἢ ἐξ ἐργασιῶν."

[ϛ΄.] Κεφ. κϛ΄[3]· „Ὥσπερ τὸ γάλα καὶ αἱ τρίχες καὶ τὸ ἔριον, οὕτω καὶ ἡ γονὴ τῶν θρεμμάτων καρπὸς αὐτῶν ἐστι, καὶ δεσπόζει αὐτῶν ὁ καλῇ πίστει νομεὺς καὶ ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων. ὁ δὲ τοκετὸς τῆς δούλης οὐκ αὐτοῖς, ἀλλὰ τῷ δεσπότῃ διαφέρει. ὁ γὰρ ἄνθρωπος οὐκ ἔστι καρπὸς, ὡς τῆς φύσεως δι᾽ αὐτὸν εὐτρεπισάσης πάντας τοὺς καρπούς."

[ζ΄.] Βι. ιθ΄ τί. ι΄ κεφ. κβ΄ θέ. τελευτ.[4]· „Καλῶς ἀγοραστὴς συμφωνεῖ εἴσω προθεσμίας ἢ καὶ διηνεκῶς ἀναδοῦναι τὸ ἀγορασθὲν ἀπαρέσκον αὐτῷ. εἰ δὲ μὴ λεχθῇ χρόνος, ἔχει ἀγωγὴν εἰς [τὸ] ἀποδοῦναι ἐντὸς ξ΄ ἡμερῶν συναπτῶν, καὶ μετὰ τὰς ξ΄ ἡμέρας ἐξ εὐλόγου αἰτίας. τυχὸν γὰρ ὁ πράτης ὑπέρθεσιν ἐποίησεν ἢ οὐ παρῆν ὁ μέλλων ἀναλαβεῖν αὐτὸ ἢ ἕτερόν τι εὔλογον παρενέπεσεν[5]."

[η΄.] Βι. β΄ τί. δ΄ κεφ. δ΄· „Ἐν ταῖς διὰ χρήσεως δεσποτείαις ἡ τοῦ φάκτου ἄγνοια συμβάλλεται, οὐ μὴν ἡ τοῦ νόμου." οἷον[6] ὁ κατὰ τραδιτίωνος λαβὼν πρᾶγμα παρὰ μὴ δεσπότου, οἷα φάκτον ἀγνοήσας καὶ νοήσας δεσπότην εἶναι τὸν τραδιτεύσαντα, δύναται αὐτὸ οὐσουκαπιτεύειν· ὁ δὲ θεραπαίνης ἔχων οὐσούφρουκτον, κἂν νομίζῃ τὸν πάντα τοκετὸν εἰς ἑαυτὸν ἀνήκειν καὶ βόνα φίδε αὐτὸν νεμηθῆναι, οὐ δύναται οὐσουκαπιτεύειν, οἷα δὴ καὶ νόμον ἀγνοήσας.

[θ΄.] Ὅτι ὁ νεμόμενος καὶ βιασθεὶς παρ᾽ ἑτέρου τῆς ἀποκαταστάσεως τυγχάνει, κἂν αὐτὸς τυχὸν ἕτερον ἐβιάσατο. καὶ ὥς φησι βι. [ξ΄] τί. [ιζ΄ κεφ. ζ΄]· „ὁ βιαίως νεμόμενος, εἰ ἐξ ἄλλου βίᾳ ἐκβληθῇ, καλῶς κινεῖ." καὶ βι. ...[7] „πρῶτον ὁ περὶ

---

[1] Basil. l. l. — Harm. II, 1, 12. [2] Cod. μετά. [3] Basil. l. l. c. 28. [4] Cf. supra tit. XXXVIII c. 39. Suppl. edit. Basil. Heimb. p. 278. [5] Cod. παρεμπεσόν. [6] Est Schol. ad l. l. in ed. Heimb. I p. 82. [7] Forte ex Basil. LVIII, 10. Cf. ed. Heimb. V p. 207 not. c.

νομῆς, εἶτα ὁ περὶ δεσποτείας κρίνεται λόγος.“ καὶ βι. [ιε' τί. α' κεφ. ρη']· „κἂν τὸ ἀλλότριόν τις νέμηται, ὅμως ὁ ἐνάγων εἰ μὴ ἀποδείκνυσιν ἴδιον εἶναι, νικᾷ ὁ ἐναγόμενος.“

[ι'.] Ὅτι ὁ μάγιστρος κατεδίκασε τινὰ εἰς χρέος, καὶ ἀπορoῦντος ἐκείνου παραδέδωκε τὰ τούτου οἰκήματα πρὸς τὸν δανειστὴν ἐπὶ νομῇ, χρόνου δὲ παρῳχηκότος καὶ μηνῶν ἓξ καὶ κατὰ δεσποτείαν βεβαίως ἂν ἔχειν αὐτὸν τὰ οἰκήματα.

[ια'.] Ὅτι βι. .. τί. .. κεφ. ..[1] βούλεται οὕτω[2] τοῖς ἀγαθῇ πίστει νομεῦσι παρέχεσθαι τίμημα βελτιώσεως· εἰ μὲν ὀλίγα τὶς ἀναλωκὼς πολλοῦ τιμώμενον ἀμπελῶνα ἢ ἐλαιῶνα ἤ τι ἄλλο κατέστησε, μόνον δίδοσθαι τὸ ἀνάλωμα, ὡς τὸ ὑπὲρ τούτου βελτίωμα τῆς γῆς προσενεγκούσης ὑπὸ τῆς ἑαυτῆς γενναιότητος. ὅτε δέ τις πολλὰ δεδαπανηκὼς ὀλίγα ἐβελτίωσε, τοῦ βελτιωθέντος βραχέος μόνον τὸ τίμημα δίδοσθαι. ἐγκαλεῖται γὰρ ἄνοιαν ὁ καμών, ὡς οὐ λελογισμένως κατακενώσας χρυσίον ἐν γῇ τυχὸν λυπρᾷ καὶ ἀπόρῳ καὶ μὴ δυναμένῃ καλῶς τρέφειν τὰ πιστευόμενα ταύτῃ· εἰ δὲ καὶ περὶ τὴν γεωργίαν ἐσφάλη, αὐτῷ καὶ τοῦτο ἐγκλητέον.

[ιβ'.] Ὅτι δυνατοὶ πενήτων κατέχοντες γῆν καὶ μὴ βουλόμενοι δικάσασθαι διὰ τὸ ἀφηλικιότητα προβάλλεσθαι καὶ τοὺς ἐπιτρόπους μὴ βούλεσθαι ὑπελθεῖν τὴν δίκην, κατεδίκασεν ὁ μάγιστρος ἐπὶ ἐκπτώσει τῆς νομῆς, γράψας οὕτως· ἔσται παρὰ τοῖς πένησιν ὁ τόπος ἄχρι περατώσεως τῆς δίκης, καὶ οὐκ αἰτήσουσιν ἀναλαβεῖν τοῦτον καὶ οὕτω δικάσασθαι οἱ ἀπαρχῆς τῆς δίκης διαδράντες, ἀλλὰ διαγωνίσονται τῆς νομῆς οὔσης ὑπὸ τοὺς πένητας· κατέχοντες μὲν γὰρ τὴν γῆν γενναιότερον ἀνταιρήσουσιν[3], ἀφαιρούμενοι δὲ ταύτην ὀκλάσουσι καὶ καταρραθυμήσουσι τὴν δυναστείαν εἰδότες ἐκ πρώτης αὐτῶν περιγενομένην.

ΤΙΤΛΟΣ μα'.

Περὶ φαλκιδίου.

[α'.] Ἐπὶ τοῦ φαλκιδίου οὐ συμψηφίζονται αἱ τιμαὶ τῶν ἐλευθερωθέντων οἰκετῶν, ἐπὶ δὲ τοῦ χρέους συνεισφέρονται, καὶ ἀπαιτεῖται τὰς τιμὰς ὁ ἐλευθερώσας αὐτούς.

---

[1] Quem locum ob oculos habeat, dijudicare non ausim. [2] Cod. ὅτι.
[3] Legendum ἀνταροῦσιν, vel ἀντερήσουσι.

[β'.] Ὅτι ὁ φαλκίδιος πάντων ἅπτεται· καὶ ὅτι κατὰ ἀναλογίαν δίδουσιν οἱ κληρονόμοι, καὶ οὐχὶ ἐπίσης.

[γ'.] Ὅτι ἐὰν ὦσι τρεῖς ἢ τέσσαρες παῖδες, ὁ φαλκίδιος εἰς τρίτου χώραν ἀνέχει, καὶ γίνεται εἰς ιβ' οὐγκίας ἡ περιουσία· ἐὰν δὲ ὦσι παῖδες πέντε, εἰς τὸ ἥμισυ διαιρεῖται ἡ περιουσία, καὶ λαμβάνει χώραν ὁ φαλκίδιος ἐπὶ τῷ ἕκτῳ μέρει τῆς περιουσίας. τοῦτο δὲ ἐστὶν ἀκριβὲς, ἵνα πάντας τοὺς παῖδας τὸν μὲν φαλκίδιον ἐάσεις ἔχειν, τοῦ δὲ λοιποῦ οὗπερ ἔχουσι λάβεις τὸ τρίτον. οἷον ἔστω ἡ περιουσία λιτρῶν κ', καὶ πέντε παῖδες. τούτοις[1] ἔστω ὁ εἷς ἀπόκληρος· καὶ τῶν παίδων[2] ὁ μὲν λαμβανέτω λίτρας δ', ὁ δὲ γ', ὁ δὲ ε', ὁ δὲ ϛ'· λεγατευθήτω δὲ καὶ ἕτερος[3] λίτρας β'. τῆς περιουσίας οὖν εἰς κ' λίτρας συγκεφαλαιουμένης, τὸ δέκατον αὐτῆς ἐστὶν λίτραι δύο· ὁ φαλκίδιος πέμπτον μέρος τοῦ ἡμίσεως τυγχάνει. ὁ μὲν οὖν λίτρας γ' λαβὼν τῶν μὲν δύο λιτρῶν ἕνεκεν οὐδὲν δώσει· ἐξ ἀνάγκης γὰρ αὐτῷ ἐπωφείλοντο· τῆς μέντοι μιᾶς λίτρας τὸ ἕκτον ἀπαιτηθήσεται, ἤτοι νομίσματα ιβ'. ὁ δὲ τὰς δ' λίτρας λαβὼν τῶν μὲν β' λιτρῶν ἕνεκεν οὐδὲν δώσει, ὡς εἴρηται, τῶν δὲ ἑτέρων δύο λιτρῶν δώσει τὸ ἕκτον ἤγουν νομίσματα κδ'. ὁ δὲ τὰς ε' λίτρας λαβὼν τῶν γ' λιτρῶν δώσει τὸ ἕκτον ἤγουν νομίσματα λϛ'. ὁμοίως καὶ ὁ τὰς ϛ' λίτρας λαβὼν τῶν δ' δώσει τὸ ἕκτον ἤγουν νομίσματα μη'. καὶ ἕκαστος τῶν λεγαταρίων τὸ ἕκτον τοῦ λεγάτου· ἰδοὺ ἕτερα νομίσματα κδ' συναχθήσονται. καὶ οὕτω τὸ δέκατον συναθροίζεται, καὶ λαμβάνει χώραν ὁ φαλκίδιος.

[δ'.] Ὅτι ὁ φαλκίδιος ἐπὶ μὲν ε' παίδων καὶ ἐπέκεινα τὸ ἥμισυ πάσης ὑπάρξεως ἐστὶ, καὶ γίνεται εἰς ιβ' οὐγγίας ἡ πᾶσα περιουσία· καὶ τῶν μὲν ἓξ οὐγγιῶν οὐδὲν ἀπαιτεῖται, τῶν δὲ ἓξ ἀπαιτεῖται φαλκίδιος, οἷον τῶν ιβ' οὐγγιῶν τὸ ϛ'. ἐπὶ τῶν γ' παίδων καὶ δ' ἐστὶν ὁ φαλκίδιος τρίτον, καὶ δίδοται τῆς πάσης περιουσίας τὸ ἔννατον, καὶ ἀναπληροῦται ὁ φαλκίδιος.

[ε'.] Ὅτι ἐὰν τελευτήσασα γυνὴ καταλείψῃ τῷ υἱῷ αὐτῆς κλῆρον μέχρι φαλκιδίου, καὶ ὁρίσῃ ἐν τῇ διαθήκῃ αὐτῆς τὸν τοιοῦτον κλῆρον σφραγισθῆναι διὰ τὸ ἀνήλικον τοῦ υἱοῦ μέχρι τῆς αὐτοῦ ἀνηβότητος, οὐ δοκεῖ ἐννόμως ποιεῖν. ὅσα μὲν γὰρ ἐπέκεινα τοῦ φαλκιδίου καταλείψει, ταῦτα δύναται καὶ σφραγίζειν καὶ ὑπὸ αἵρεσιν καταλιμπάνειν· ὁ δὲ φαλκίδιος ὡς χρέος

---

[1] Lege τούτων. [2] Adde λοιπῶν. [3] Cod. ὁ ἕτ.

ἀπαιτεῖται, καὶ χρεωστεῖται τῷ υἱῷ καὶ μὴ βουλομένων τῶν γεννητόρων, καὶ οὐδεμίαν ἔχουσιν ἐπὶ τούτῳ ἐξουσίαν.

[ϛ΄.] Ὅτι[1] οὐ δύνασθαι διδόναι φαλκίδιον ἐν ζωῇ τῶν γεννητόρων. ὅσα γὰρ λάβῃ ὁ παῖς, μετὰ θάνατον τῶν πατέρων πάλιν δύναται κινεῖν κατὰ τῶν κληρονόμων αὐτῶν, κἂν σύμφωνον τυχὸν προέβη καὶ ἐπερώτησις ἀναμεταξὺ τῶν πατέρων καὶ τοῦ υἱοῦ. εἰ δὲ λαβών τι ὁ υἱὸς παρὰ τῶν κληρονόμων διαλύσεται, καὶ μὴ προστεθῇ τῷ συμφώνῳ, ὅτι διαλύομαι καὶ περὶ τοῦ φαλκιδίου τῶν γονέων μου, κἄντε ἧττον κἄντε πλεῖόν μοι ἥρμοζε, δύναται πάλιν κινεῖν περὶ τοῦ φαλκιδίου, καὶ οὐκ ἀποκλείεται τῷ συμφώνῳ.

[ζ΄.] Ὅτι ἐὰν περιόντων πατρὸς καὶ μητρὸς τελευτῶν τις γράψῃ· ἀφίημι τοῖς υἱοῖς μου τὸν μέλλοντα μοὶ ἁρμόζειν παρὰ τοῦ πατρὸς φαλκίδιον, καὶ τῷ δεῖνι ἐξ αὐτοῦ λεγάτον· οὐκ ἔρρωται τὸ λεγάτον οὔτε ἡ διαθήκη. πρὸ γὰρ τῆς τοῦ πατρὸς τελευτῆς ὁ φαλκίδιος οὐ προεχώρησε. μετὰ οὖν τὴν τοῦ πατρός μου τελευτὴν, εἰ περίεισιν οἱ παῖδες ἤγουν οἱ ἔγγονοι τοῦ πατρός μου, ἐκεῖνοι τότε λήψονται τὸν φαλκίδιον· εἰ γὰρ προαπέλθωσι κἀκεῖνοι τοῦ πάππου, κερδήσει τὸν φαλκίδιον ὁ πάππος.

[η΄.] Ὅτι ὁ φαλκίδιος οὕτω γίνεται· εἴπερ ὁ διαθέμενος ἔχει χρέα, ἐξέρχονται[2] ἐκεῖνα καὶ ἡ περὶ τῆς κηδείας δαπάνη καὶ αἱ ἐλευθερίαι τῶν οἰκετῶν, καὶ ἡ λοιπὴ περιουσία γίνεται εἰς οὐγγίας ιβ΄, ὁπόση ἂν καὶ εἴη· καὶ εἰ μὲν εἷς ἐστι παῖς ὁ φαλκιδιούμενος, λαμβάνει τὸ τρίτον· εἰ δὲ καὶ ἕτεροί εἰσιν ἀδελφοὶ μέχρι τῶν δ΄, καὶ φαλκιδιοῦται ὁ εἷς, λαμβάνει τοῦ τρίτου τὸ τέταρτον· εἰ δὲ ἴσως δύο φαλκιδιοῦνται, λαμβάνουσι τοῦ τρίτου [τὸ ἥμισυ· εἰ δὲ τρεῖς λαμβάνουσι τοῦ τρίτου μοίρας][3] τρεῖς καὶ ἡ τετάρτη καταλιμπάνεται· εἰ δὲ οἱ τέσσαρες φαλκιδιοῦνται, λαμβάνουσι τὸ ὅλον τρίτον. καὶ μέχρι μὲν τῶν δ΄ θεωρεῖται τὸ τρίτον. μετὰ δὲ τοὺς δ΄, κἄντε ε΄ παῖδες ὦσι κἄντε ἓξ κἄντε πλείονες, διαιρεῖται ἡ περιουσία εἰς δύο μέρη, καὶ ε΄ παίδων ὄντων, εἰ φαλκιδιωθῇ ὁ εἷς, λαμβάνει τὸ πέμπτον τῆς [ἡμισείας] περιουσίας· εἰ δὲ ϛ΄ παῖδες ὦσιν, ὁ εἷς φαλκιδιούμενος λαμβάνει τὸ ἕκτον τῆς ἡμισείας περιουσίας· καὶ ὁ ζ΄ τὸ ζ΄, καὶ ὁ η΄ τὸ η΄, καὶ οἱ λοιποὶ καθεξῆς.

[θ΄.] Ὅτι ὁ φαλκίδιος μετὰ ὑπεξαίρεσιν τῶν χρεῶν δίδο-

---

[1] Harm. V, 9, 7. [2] An ἐξαιροῦνται? [3] Hoc ex ingenio supplevi, ut oratio procederet.

ται. ἀλλ' ὁ ἐξαμυλίτας[1] ἔγραψεν, ἵνα λάβῃ ὁ υἱὸς αὐτοῦ τὸ τρίτον τῆς περιουσίας αὐτοῦ, τὸ δὲ δίμοιρον ἵνα λάβωσιν οἱ ἐπίτροποι καὶ ποιήσωσι τὸ ἱκανὸν τῶν λεγάτων καὶ τῶν λοιπῶν. ἐκ τούτων οὖν δίκης κινηθείσης, καὶ πολλῶν ἀντιλεγόντων μὴ ὀφείλειν τὸ τρίτον λαβεῖν τὸν υἱὸν τοῦ ἐξαμυλίτου τῆς καθαρᾶς περιουσίας τῆς μετὰ τὰ χρέα περιττευούσης, ὁ μάγιστρος ἔκρινεν αὐτὸν μὲν λαβεῖν πάσης τῆς περιουσίας τὸ τρίτον καθαρὸν, ἐκ δὲ τοῦ λοιποῦ διμοίρου τὸ ἱκανὸν γενέσθαι τοῖς χρεώσταις, διὰ τὸ τὸν διαθέμενον ἐπισκῆψαι πρῶτον λαβεῖν τὸ τρίτον, ἐκ δὲ τοῦ διμοίρου ποιῆσαι τὸ ἱκανὸν τοὺς ἐπιτρόπους πρός τε τοὺς λεγαταρίους καὶ τοὺς χρεώστας, καὶ τὴν τῶν ἀπελθόντων βούλησιν πανταχοῦ προτιμητέον εἶναι. καὶ ἐνίκησεν ὁ δρουγγάριος[2] μεγάλην νίκην καὶ ἐσημειώσατο.

[ι'.] Ὅτι ἐπὶ τοῦ φαλκιδίου τὰ εἰς ταφὴν ἀφορισθέντα οὐ συναριθμοῦνται εἰς τὴν περιουσίαν, ὥσπερ καὶ τὰ τῶν ἐλευθερωθέντων δούλων τιμήματα, τὰ δὲ ὑπὲρ τρίτων καὶ ἐννάτων καὶ τεσσαρακοστῶν συμψηφίζονται καὶ ἀναβιβάζονται εἰς τὴν περιουσίαν. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος, εἰπών· εὑρέθη λίτρα μία χάριν καταλειφθεῖσα τῆς τοῦ λειψάνου κηδείας, ἥτις οὐδὲ συνηριθμήθη τῷ λόγῳ τοῦ φαλκιδίου κρείττονος αἰτίας τυχοῦσα τῶν ὑπὸ τοῦ φαλκιδίου τεμνομένων σωμάτων, καὶ ἑτέρα λίτρα μία ὑπὲρ τῶν ἐννάτων καὶ τεσσαροκοστῶν ἥτις οὐχ ὑπεξῃρέθη.

[ια'.] Ὅτι[3] γυναικὸς διαζευχθείσης τοῦ ἀνδρὸς καὶ ἀποκαρείσης, καὶ τὸν ἐγγυητὴν τῆς προικὸς καθελκούσης διὰ τὴν ἀπορίαν τοῦ ἀνδρὸς καὶ τὸ ἱκανὸν τῆς προικὸς αἰτουμένης, ὁ μάγιστρος, εὑρὼν τὴν γυναῖκα ἔχουσαν παῖδα, ἀφώρισε φαλκίδιον ὑπὲρ τῆς παιδὸς, δηλονότι τὸ τρίτον τῆς πάσης προικός. κς' γὰρ λιτρῶν οὔσης τῆς προικὸς καὶ νομισμάτων ιβ', ὀκτὼ λίτρας καὶ νομίσματα νβ' ἀφώρισεν, οὕτως τὰ μὲν ἀκίνητα ἐάσας εἶναι παρὰ τῇ μητρὶ, τὸ δὲ χρυσίον ἐκδανεισθῆναι οἰκονομήσας ἐπὶ ὀρφανικοῦ τόκου καταβολῇ; ἵν' εἴπερ τυχὸν συμβαίη τἄλλα τῶν παραδοθέντων ἀναλωθῆναι κινητῶν καὶ ἀκινήτων, καὶ ἡ τῶν ἀκινήτων ἐξαρκῇ[4] διατίμησις, τὸ οὖν χρέος περισωζόμενον ἀνενδεῶς ἀναπληροῖ τῷ ἀφήλικι τὸν φαλκίδιον.

[ιβ'.] Ὅτι[5] εἰ καὶ μετὰ τελευτὴν ὁ φαλκίδιος δίδοται, ἀλλ'

---

[1] Cod. promiscue ἐξαμηλλίτας et ἐξαμιλιώτας. Ego ἐξαμυλίτας scripsi, ut supra tit. VII c. 15. [2] An ὁ μάγιστρος? Cf. tamen tit. VII c. 6 not. 1 p. 17. [3] Harm. V, 9, 9. [4] Lege μὴ ἐξ. [5] Harm. V, 9, 8.

εἴπερ ὑπόσχηται πατὴρ προῖκα καὶ μὴ εἴπῃ ποσὸν, ἀναγκάζεται τέως ὅσον ποιεῖ ὁ φαλκίδιος δοῦναι ὑπὲρ προικὸς καὶ ἐν ζωῇ. καὶ ἐσημειώσατο ὁ μάγιστρος[1]· εἰ γὰρ καὶ μετὰ τελευτὴν τοῦ γεννήτορος ταύτην δὴ τὴν τοῦ φαλκιδίου μοῖραν παραφυλάττειν τοῖς παισὶν οἱ νόμοι θεσπίζουσιν, ὅμως οὐ παρὰ τοῦτο πόῤῥω τοῦ εἰκότος ὁ δεῖνα ηὐθύνθη παρασχεῖν ἔτι περιὼν τὸ τοῦ φαλκιδίου μέρος τῇ θυγατρί. διὰ δὲ τὴν ἀνάγκην τοῦ συναλλάγματος καὶ τῆς ἀσαφοῦς ὑποσχέσεως δίκαιον[2] ἐκρίναμεν εἶναι καὶ ἀβαρὲς τῷ πατρὶ δοῦναι, ὅπερ [οἱ] νόμοι ἀφορίζουσι τοῖς παισί.

[ιγ΄.] Βι. λε΄ τί. θ΄ κεφ. κζ΄[3]· „Ἐὰν γράψω σὲ κληρονόμον εἰς τὰ ἐν ἰταλίᾳ πράγματα καὶ ἕτερον[4] εἰς τὰ ἐν ἐπαρχίᾳ, ἢ σὲ μόνον εἰς τὸν γρηγοριακὸν ἀγρὸν, ἕτερον δὲ εἰς τὸν ἑρμογενιακὸν, κατὰ μὲν ἀκρίβειαν περιαιρεῖται τὰ ὀνόματα τῶν πραγμάτων, καὶ ἐξίσου κληρονομοῦσι· ὁ δὲ τὸν κλῆρον τῆς φαμιλίας διαιρῶν δικαστὴς ὡς ἐξαίρετα[5] λεγατευθέντα τὰ ἑκάστῳ περιλειφθέντα[6] προσκυροῖ. τὰ μέντοι χρέα πρὸς ὃ κατὰ τὸ ἀκριβὲς κληρονομεῖται, τουτέστιν ἀνὰ ἥμισυ, δίδοται, καὶ ἐὰν ὑπερβαίνῃ τὸ κατὰ τοῦ ἑνὸς ἁρμόζον χρέος τὸ καταλειφθὲν αὐτῷ πρᾶγμα, ἀκυροῦται ἡ ἔνστασις. καὶ τοῦ φαλκιδίου δὲ χώραν λαμβάνοντος ἑκάστῳ περιποιεῖται τὸ τρίτον τῆς οἰκείας ἐνστάσεως, τουτέστι τοῦ ἡμίσεως τῆς οὐσίας. εἰ δὲ τέως ἀμφιβάλλεται τὰ περὶ τοῦ φαλκιδίου, ἀλλήλους ἀσφαλίζονται.“ τὸν θεματισμὸν τοίνυν τοῦ νόμου τοιοῦτον ἐτύπωσεν ὁ μάγιστρος· ἔγραψέ τις· ἔστω μου ὁ δεῖνα κληρονόμος εἰς τὸν ἑρμογενιακὸν ἀγρὸν, ὁ δὲ δεῖνα ἔστω κληρονόμος εἰς τὸν ἀγρὸν τὸν γρηγοριακόν. ἐτιμᾶτο οὖν ὁ μὲν ἑρμογενιακὸς λιτρῶν ν΄, ὁ δὲ γρηγοριακὸς λιτρῶν σ΄. ἀνεφάνησαν τοίνυν χρέα τοῦ τεστάτωρος λιτρῶν ρ΄. ἀναγκάζονται οἱ κληρονόμοι ἐπίσης παρασχεῖν τὸ χρέος, ἤγουν ἀνὰ λιτρῶν ν΄. καὶ εὑρίσκεται ὁ ἔχων τὸν ἀγρὸν τὸν ἑρμογενιακὸν πᾶσαν τὴν κληρονομίαν ἀφῃρημένος, καὶ κινεῖ τότε περὶ φαλκιδίου κατὰ τοῦ ἔχοντος τὸν ἀγρὸν τὸν γρηγοριακὸν, καὶ λαμβάνει ἐξ αὐτοῦ φαλκίδιον, οὐχὶ τὸ ἕκτον οὗπερ εἶχεν ἀγροῦ τῶν ν΄ λιτρῶν, ἀλλὰ τὸ ἕκτον τῆς τιμῆς τῶν δύο κτημάτων τῆς μετὰ τὸ χρέος καταλειφθείσης· διακοσίων γὰρ πεντήκοντα λιτρῶν ἀμφοτέρων τιμωμένων τῶν κτημάτων, καὶ ρ΄ λιτρῶν ἐκνικηθέντων, καταλιμπάνονται λίτραι ρν΄, καὶ

[1] Cf. tit. XXV c. 67. [2] Cod. videbatur habere: *εἰς τό.* [3] Apud Heimb. est c. 31. [4] Cod. *ὕστερον.* [5] Malim *ἐξαιρέτως.* [6] Heimb. *καταλ.*

τούτων ὁ φαλκίδιός ἐστι λίτραι ν' καὶ μερίζονται ταύτας ἐπίσης οἱ δύο κληρονόμοι. οὐ γὰρ δύναται λέγειν ὁ λαβὼν τὸν ἀγρὸν τῶν σ' λιτρῶν τῷ λαβόντι τὸν ἀγρὸν τῶν ν' λιτρῶν, ὅτι σὲ ὁ διαθέμενος ν' λίτρας ἠβουλήθη λαβεῖν, ἐμὲ σ', καὶ ἁρμόζει σοὶ ὁ φαλκίδιος τῶν ν' λιτρῶν, ἤγουν λίτραι η' νομίσματα κδ'. ἀντιτίθησι γὰρ αὐτὸς τὸν νόμον τὸν λέγοντα[1], ὅτι ὁ τελευτήσας οὐχὶ εἰς τὸ τρίτον τῆς ἰδίας ὑπάρξεως κατέλιπέ με κληρονόμον, οὐδὲ εἰς τὸ δίμοιρον, ἀλλὰ κληρονόμον ἐπί τινι πράγματι, ὥσπερ καὶ σὲ, καὶ ἀμφότεροι ἐσμὲν κληρονόμοι, καὶ τοῦ χρέους ἀναφανέντος οὐχὶ πρὸς ἀναλογίαν τῶν πράγματων[2] ηὐθύνθημεν, ἀλλ' ἐπίσης ἀμφότεροι. ὅτε δὲ μὴ εἰς μέρος ὁ διαθέμενος καταλείψῃ κληρονόμον, οἷον εἰς δίμοιρον ἢ τρίτον, ἀλλ' ὀνομάσει αὐτὸν κληρονόμον ἄριστον[3] ἐπί τινι πράγματι, οὗτος εὐθίνεται καὶ εἰς τὸ ἥμισυ τοῦ χρέους καὶ λαμβάνει καὶ φαλκίδιον τῆς πάσης περιουσίας. ἐστὶ δὲ καὶ ἕτερος νόμος[4] φάσκων ῥητῶς οὕτως· „ἐὰν τινὰ μὲν εἰς τὸ δίμοιρον τῆς οὐσίας μου ἐνστήσω κληρονόμον, ἕτερον δὲ εἰς τὸ τρίτον, κατὰ ἀναλογίαν τὰ χρέα δίδονται.“

[ιδ'.] Βι. β' τί. β' κεφ. θ' θέ. ε'[5]· „Ὁ ἐν ἀγνοίᾳ νόμου μὴ παρακατασχὼν φαλκίδιον, οὐκ ἀναλαμβάνει, κἂν σώζονται κἂν ἐδαπανήθησαν τὰ χρήματα· ὁ δὲ κατὰ ἄγνοιαν φάκτου καταβαλὼν, ἀναλαμβάνει.“

[ιε'.] Βι. μα' τί. α' κεφ. γ' θέ. β'· „Ἐὰν πόλει[6] λεγατευθῇ ἐτήσιον, καὶ λόγος τοῦ φαλκιδίου γένηται, τοσοῦτον ποσὸν δοκεῖ λελεγατεῦσθαι, ὅσον διὰ τὸν ἀπὸ τρίτου ἑκατοστῆς τόκον συνάγει τὸ λεγατευθὲν κεφάλαιον.“ σχόλιον· δηλονότι εἰς κε' χρόνους, ὥς φησι κύριλλος[7].“

[ις'.] Βι. [μα'] τί. [α' κεφ. οβ'] θέ. [γ']· „Τὸ φαλκίδιον ἰδίῳ δικαίῳ μειοῖ τὸ τρίτον, περιαιρουμένου πρότερον τοῦ ὑπὲρ τὴν οὐσίαν ἀχρήστως λεγατευθέντος.“ λεληθότος[8]· φησὶ γὰρ ὁ νόμος, ἀναλόγως παρὰ τῶν λαμβανόντων τὶ τὸν φαλκίδιόν[9] ἀπαιτεῖσθαι. εἰπὼν γὰρ τὸν φαλκίδιον μειοῦν τὸ τρίτον, τοῦτο δεδήλωκεν, ὁπόσον ἄν τις ἔχοι, τὸ ἀναλογοῦν αὐτῷ τρίτον δίδοσθαι. καὶ βι. κε'[10] .... τὸν τοῦ φαλκιδίου λόγον κατὰ παντὸς, πρὸς τὸ μέρος τῶν λεγάτων καὶ τῶν φιδεικομίσσων χώραν

---

[1] Malim λέγων. [2] Cod. κληρονομ.. habere videbatur. [3] Legerim: ἀορίστως. [4] In Basil. non invenio. [5] Epitome tantum ejus loci refertur. [6] Cod. πολλοῖς. [7] Cf. Schol. ad l. l. apud Heimb. IV p. 94. [8] Haec vox quid sibi velit nescio. [9] Cod. videbatur habere τοῦ φαλκιδίου. [10] Cf. Basil. XLI, 1, 96.

ἔχειν. φανερὸν οὖν ἐστι τὸ τρίτον τοῦ φαλκιδίου ἐκ πάντων τῶν λεγάτων πρὸς ἀναλογίαν παρακατέχειν.

[ιζ΄.] Ὅτι[1] „ἐνεστησάμην τρεῖς κληρονόμους καὶ παρ᾽ ἀλλήλων αὐτοῖς ἐλεγάτευσα[2], ἐκ δὲ τοῦ ἑνὸς τοσαῦτα καὶ αὐτοῖς καὶ ἐξωτικοῖς, ὥστε χώραν ἔχειν τὸν φαλκίδιον. παρακρατεῖ[3] καὶ ἐκ τῶν συγκληρονόμων αὐτοῦ φαλκίδιον, εἰ μὴ ἄρα κατὰ γνώμην μου μέλλει παρ᾽ αὐτῶν ἀντιλαμβάνειν, ὅσα ἀρκεῖ πρὸς τὸν φαλκίδιον.“ καὶ βι. [μα΄] τί. [ε΄] κεφ. [β΄]· „εἴ τινες κληρονόμοι ὀνομασθεῖεν, κἂν ῥητοῖς πράγμασιν ἀρκεσθῆναι προσταχθεῖεν, ἐν τούτῳ τὴν μὲν διαθήκην μὴ ἀνατρέπεσθαι, ὅπερ δ᾽ ἂν ὑπέλαττον αὐτοῖς τῆς ἐκ τῶν νόμων μοίρας καταλειφθῇ, τοῦτο κατὰ τοὺς ἄλλους ἡμῶν νόμους παρὰ τῶν κληρονόμων ἀποπληροῦσθαι.“ ἐκ τούτων ἐναργές ἐστι καὶ καταφανές, ὡς καὶ κατὰ κληρονόμων χώρα τῷ φαλκιδίῳ, καὶ ὡς ἀναλόγως ὁ φαλκίδιος ὁπόσος ἂν εἴη συνίστασθαι πέφυκεν.

[ιη΄.] Ὅτι ὁ φαλκίδιος τὸ ἕκτον ἐστὶν ἢ τὸ δέκατον ἢ τὸ δωδέκατον τῶν τῆς ὅλης οὐσίας σωμάτων, τοῦ οἴκου φημὶ καὶ τοῦ ἀγροῦ καὶ τῶν χρημάτων, καὶ εἰ μὴ ὁ τῇ φαμιλίᾳ τὸν κλῆρον διαιρῶν δικαστὴς αὐθεντήσας τὸ νόμιμον ἀποφλήσει μέρος, δύναται αὐτὸς ὁ φαλκίδιος[4] κατὰ τῶν πραγμάτων[5], ἔχων ἰσχὺν ἐκείνων αὐτῶν τῶν σωμάτων ἀφαιρεῖσθαι τὸ ἕκτον τυχὸν ἢ τὸ δέκατον ἢ τὸ δωδέκατον.

[ιθ΄.] Καὶ βι. ......[6] ὅτι ὁ φαλκίδιος[7] καὶ τόκους εἰ οὖν[8] κατ᾽ ἰσότητα ἀπαιτεῖται, καὶ τοῦτο πρὸς ἀναλογίαν τῆς κληρονομίας. κἂν συμβῇ κληρονομῆσαι τινὰ μὲν ἀγρὸν, ἄλλον χρήματα, ἕτερον οἶκον πλῆρες καθεστῶτα ποσότητος, καὶ οὗτοι πάντες ἐπίσης ἀναγκασθεῖεν[9] δέξασθαι καὶ τοὺς τόκους. καὶ συμβαίνει πάντως τὸν ἀπαιτοῦντα τὸν φαλκίδιον τοῦ μὲν ἀγροῦ καὶ τῶν χρημάτων τὸ ιβ΄ μέρος λαβεῖν διὰ τοὺς τόκους, τοῦ δὲ οἴκου πολλῷ ἧττον τοῦ δεκάτου. κἀντεῦθεν εἰς ἀτοπίαν ὁρᾶται τὸ πρᾶγμα περιστάμενον, ὅτι ὁ τὰ χρήματα εἰληφὼς καὶ ὁ τὸν ἀγρὸν, καθ᾽ ὅσον ὑπὲρ τῶν ιβ΄ ὧν εἶχον ἀπῃτημένοι μέρος, καὶ προσόδους προσαπαιτοῦνται. οὐ γὰρ ἁπλῶς ὁ φαλκιδιούμενος τόκους ἐπιζητεῖ, ἀλλ᾽ ἣν τὸ ιβ΄ τοῦ οἴκου ἀποτίκτει πρόσοδον, ἥν τε τὸ τοῦ ἀγροῦ, καὶ ἥνπερ τὸ τῶν χρημάτων· ἐπεὶ εἰ καὶ

---

[1] Basil. XLI, 1, 21. [2] In Cod. post hoc verbum parva lacuna est. [3] Cod. *παρακρατεῖν*. [4] Legendum videtur: *φαλκιδιούμενος*. [5] Videtur deesse *χωρεῖν* vel simile quid. [6] Non invenio. Totum hoc caput ita corruptum est, ut de eo sanando desperaverim. [7] An *φαλκιδιούμενος*? [8] An *εἴτ᾽ οὖν καρπούς*? [9] Cod. *ἀναγκασθεῖσεν*. An *ἀναγκασθήσονται*?

ὁ οἶκος καὶ ὁ ἀγρὸς ἰσοτιμῶνται καὶ τὰ χρήματα, οὐ τὴν πρόσοδον ἴσην φέρουσιν.

[κ΄.] Καὶ βι. [μα΄] τί. [α΄] κεφ. [α΄]· „Ὁ φαλκίδιος χώραν ἔχει καὶ ἐπὶ πάντων τῶν ἐκ τῆς οὐσίας δαπανωμένων, εἴτε ἐν δήλῳ σώματι εἴτε ἐν ἀδήλῳ.“

[κα΄.] Ὅτι τὴν τοῦ φαλκιδίου μέθοδον καὶ κληρονόμοι καὶ λεγατάριοι καὶ φιδικομισσάριοι καὶ μόρτις καῦσα δωρεὰν ἔχοντες, πολλάκις δὲ καὶ ἰντερ βίβους, ἐπτόηνται, τὴν δὲ τῶν χρεῶν ἐπάχθειαν οἱ κληρονόμοι μόνοι βαστάζουσιν.

[κβ΄.] Ὅτι ε΄ παίδων ὑπόντων καὶ φαλκιδίου λόγον εἰπὼν ὁ μ ά γ ι σ τ ρ ο ς ἔγραψεν οὕτως· ἐπιβάλλει τοιγαροῦν τῷ φαλκιδιουμένῳ διὰ τοῦ ἡμίσεως, τῶν χρεῶν ὑπεξαιρουμένων, τῶν τιμημάτων τῶν ἐλευθερωθέντων, τῶν περὶ τὴν κηδείαν δαπανημάτων, τὸ τῆς ὅλης ὑπάρξεως δέκατον. καὶ ἐπὶ τοῦ τρίτου γάρ, εἰ καὶ δοκεῖ πῶς ὁ κληρονόμος δι᾽ αὐτοῦ τοῦ τρίτου τὸν φαλκίδιον ἐκνικᾶν, ὅμως εἰ δ΄ εἰσὶ παῖδες, καὶ ἂν δὲ[1] ἐπέκεινα τοῦ ιβ΄ μέρους παρακατέχει. βούλεται δὲ καὶ τὸ θεσπιζόμενον, εἰ μὲν ἑνός ἐστί τις πατὴρ ἢ δυοῖν ἢ γ΄ ἢ δ΄, μὴ τριούγγιον αὐτοῖς καταλιμπάνειν μόνον, ἀλλὰ τὸ τρίτον τῆς αὐτοῦ περιουσίας, τουτέστιν οὐγγίας δ΄, καὶ τοῦτο εἶναι τὸ διωρισμένον μέτρον ἄχρι τοῦ ῥηθέντος ἀριθμοῦ· εἰ δὲ ὑπὲρ τοὺς δ΄ ἔχει παῖδας, τὴν ἡμίσειαν τῆς πάσης περιουσίας αὐτοῖς καταλιμπάνεσθαι μοῖραν, ὥστε ἓξ οὐγγίας εἶναι πᾶν τὸ ὀφειλόμενον ἑκάστῳ κατ᾽ ἴσον, τυχὸν τετραουγγίου[2] ἢ τοῦ ἑξαουγγίου διῃρημένου. τῷ οὖν παρεωραμένῳ υἱῷ ἐπὶ μὲν δ΄ παίδων τὸ ιβ΄ τῆς τοῦ φῦντος οὐσίας δίδοσθαι, ἐπὶ πέντε δὲ τὸ δέκατον· τοῖς δὲ πέντε τὸ ἑξαούγγιον πέφυκεν ἀλλοιοῦσθαι εἰς τὸ δέκατον.

[κγ΄.] Ὅτι τὸ τελευταῖον σύμφωνον ὑπόκειται εἰς ἐκπλήρωσιν τοῦ φαλκιδίου. καὶ τοῦτο ἔκρινεν ὁ μ ά γ ι σ τ ρ ο ς, οὕτω γράψας· πρώτου γὰρ συμφώνου πατρόθεν λίτρας γ΄ καὶ ἡμίσειαν ἔχοντος, τοῦ δευτέρου λίτραν μίαν καὶ ἡμίσειαν· τὸ δὲ[3] δεύτερον σύμφωνον ὑπόκειται πρὸς ἔκτισιν τοῦ φαλκιδίου· πέντε γοῦν λιτρῶν εὑρεθεισῶν πατρῴων καὶ παίδων γ΄ ὄντων, τοῦ τρίτου τὸ τρίτον, ἤγουν τῆς πάσης περιουσίας τὸ ἔννατον, παρέχεται τῷ δικαιουμένῳ εἰς φαλκίδιον εἰς νομίσματα μ΄ περιστάμενον, ὃ καὶ κατεδικάσθη δοῦναι ὁ ἐναγόμενος. ὅτι φησί[4]· „τὸ ποσὸν τοῦ κλήρου ἐν τῇ τελευτῇ τοῦ διαθεμένου σκοπεῖται.“

---

[1] Haec corrupta sunt. Forte: *οὐκ ἂν τό.* [2] Sc. ubi quatuor vel infra liberi sunt. [3] Malim *δή.* [4] Sc. *ὁ νόμος.* Basil. XLI, 1, 72.

„ἡνίκα[1] ζητεῖται, εἰ παῖς δύναται κινεῖν μέμψιν κατὰ τῆς διαθήκης τῆς πατρῴας, θεωρείσθω τὸ τρίτον τῆς περιουσίας τοῦ πατρὸς, ἣν ἐκεῖνος ἐν τῇ τελευτῇ κατέλιπε.“ καὶ Θαλέλαιος [ἐν] παραγραφῇ[2]· „σημείωσαι, ποῖον ὀφείλεις καιρὸν σκοπεῖν ἐπὶ τῆς οὐσίας τοῦ τελευτήσαντος, ὥστε σχεῖν τὸν παῖδα τὸ ἐξ ἀδιαθέτου μέρος.“

[κδ'.] Ὅτι φησὶ βι. [μα' τί. ε' κεφ. α'], ἵνα μὴ ἀμέτρους ποιεῖται ὁ πατὴρ εἴς τινας τῶν παίδων δωρεὰς καὶ ἐλαττοῖ τὸν φαλκίδιον, ἀλλὰ συναριθμεῖ καὶ τὰς δωρεὰς καὶ τὴν παρ' αὐτοῦ οὐσίαν καὶ οὕτω καταλιμπάνει τοῖς ἑτέροις παισὶ τοὺς κλήρους. καὶ τοῦτον τὸν νόμον οὕτως ἡρμήνευσεν ὁ μάγιστρος[3]· ἐὰν δωρήσηται πατὴρ δυσὶ παισὶν αὐτοῦ λόγου χάριν λίτρας λ', καὶ γράψῃ μετὰ ταῦτα διαθήκην, καὶ διανείμῃ ἑτέροις παισὶ δύο κλήρους, μὴ δύναται ἀριθμεῖν μόνην τὴν παρ' αὐτοῦ τυγχάνουσαν ὕπαρξιν, τυχὸν οὖσαν ἑτέρων λιτρῶν λ', ἀλλὰ συμβάλλει ταύτῃ καὶ τὴν προεκφορηθεῖσαν[4] διὰ τῶν δωρεῶν ποσότητα, καὶ οὕτω τυποῖ τὸν φαλκίδιον. εἰ μὲν γὰρ ἐκ τῆς ἐνούσης αὐτῷ περιουσίας ἀφορίσει τὸ νόμιμον, ὀλίγος ἔσται τοῖς παισὶ κλῆρος· εἰ δὲ κατὰ τὸ νόμου βούλημα δράσει, μεῖζον οἱ παῖδες μέρος λήψονται.

[κε'.] Ὅτι[5] καὶ ὁ συντεμὼν τὰς νεαρὰς[6] φησὶ περὶ τῶν ἀμέτρων δωρεῶν οὕτως· „οὐδὲ διὰ τῆς γενομένης εἴς τινα τῶν παίδων ἀμέτρου δωρεᾶς παρὰ τοῦ γονέως αὐτοῦ μειοῦται ὁ φαλκίδιος τοῖς λοιποῖς παισὶν, εἰ μὴ ἀχάριστοί εἰσιν· ὀφείλει γὰρ αὐτοῖς ἐαθῆναι τὸ νόμιμον μέρος πρὸς τὴν οὖσαν ἀπόστασιν τῷ τελευτῶντι γονεῖ κατὰ τὸν καιρὸν τοῦ θανάτου αὐτοῦ.“

[κς'.] Ὅτι τὸ ἔσχατον σύμφωνον ὑπόκειται εἰς ἔκτισιν τοῦ φαλκιδίου, καὶ εἴπερ μὴ ἐξαρκείῃ τοῦτο, ὑπόκειται τὰ λελεγατευμένα καὶ δεδωρημένα τῷ πρὸ αὐτοῦ συμφώνῳ. καὶ τοῦτο ἐσημειώσατο ὁ μάγιστρος· οὐ τὰ ἐποφειλόμενα ἐκ τοῦ φαλκιδίου δίκαιον ἔχουσιν οἱ δικαιωθέντες ἐκ τῶν λελεγατευμένων καὶ δεδωρημένων τῷ πρὸ αὐτοῦ συμφώνῳ λαβεῖν· ὑπόκεινται γὰρ αὐτοῖς αὐτὰ τὰ πρωτότυπα σώματα τῶν λεγατευθέντων καὶ δωρηθέντων.

[κζ'.] Ὅτι ἔχουσά τις ἔγγονον ἀπὸ θυγατρὸς, εἶτα εἰς δεύ-

---

[1] Basil. XXXIX, 1, 38. [2] Cf. Schol. ad l. l. in edit. Heimb. IV p. 33. [3] Cf. Schol. ad Harm. V, 9, 32 ed. Reitz. p. 309. [4] Cod. videbatur habere προεκφωνηθ. [5] Harm. l. l. [6] I. e. Theodorus (Nov. 92 c. 1). Cf. Schol. in Bas. ed. Heimb. III p. 160.

τερον ἐλθοῦσα γάμον καὶ διαθήκας γράψασα, μικρὸν μὲν μέρος ἀφῆκε τῷ ἐγγόνῳ, τὰ δὲ πλεῖστα τῷ δευτέρῳ ἀνδρί. καὶ κινήσαντος τοῦ ἐγγόνου ἐσημειώσατο ὁ μάγιστρος· δεῖν ψήθημεν πρὸς φαλκιδίου λόγον τὸ ἱκανὸν ποιῆσαι τῷ ἐγγόνῳ. ἡ γὰρ μάμμη τὰ τοῦ πρώτου ἀνδρὸς ἀπογραψαμένη καὶ μὴ ἐλεγχομένη ἀποκρύψαι τὶ καὶ σωφρόνως τὸν τῆς χηρείας ἀνύειν χρόνον ἐμαρτυρεῖτο. καὶ συνεψηφίσθη γοῦν ὁ τῇ μητρὶ τοῦ ὀρφανοῦ ἐπιβάλλων φαλκίδιος, καὶ ἐλογίσθησαν μὲν ἐκείνῃ λίτραι δύο, ἃς εἰς προῖκα ἔλαβε, τὸ δὲ λεῖπον κατεδικάσθη ἡ μάμμη δοῦναι ὡς ἐπίτροπος ὑπὸ τοῦ ταύτης ἀνδρὸς γραφεῖσα· ἔπειτα συνεψηφίσθη καὶ ἡ τῆς μάμμης ὑπόστασις, καὶ πάντων τῶν κατὰ νόμους πρὸ τοῦ φαλκιδίου ἐξαιρεθέντων οὕτως ὁ φαλκίδιος ἐποσώθη. εἰ γὰρ καὶ προαπῆλθε τῆς μητρὸς ἡ θυγάτηρ, ἀλλ' οἱ ἔγγονοι εἰς τὸν τῆς μητρὸς ἐπαναβαίνοντες τόπον ἀπαράγραπτον ἔχουσι πρὸς φαλκίδιον δίκαιον· οὐκοῦν καὶ συνανηνέχθη διά τε τῶν πατρῴων καὶ μητρῴων εἰς λίτρας τόσας καὶ ἀπείληφεν ὁ ἔγγονος λίτρας ...

ΤΙΤΛΟΣ μβ'.

Περὶ τῶν ἀπο φόβου καὶ βίας ἁμαρτημάτων καὶ πάσης βίας[1] καὶ ποιναλίων ἀγωγῶν καὶ ἀναρχιῶν[2].

[α'.] Ἐπὶ τῶν γενομένων ἁμαρτημάτων ἐκ φόβου τινὸς, οἷον ἐπὶ τοῦ τίτλου τοῦ ἐπιγεγραμμένου „ὅπερ φόβου χάριν πραττόμενον[3] εἴη,“ μέχρι τελείας καταδίκης καὶ ψήφου τοῦ δικαστοῦ[4] δύναται ὁ ἐναγόμενος αὐτὸ ἀποδιδοὺς τὸ πρᾶγμα, ὅπερ ἀπολέσθαι λέγεται, ἀπαλλαγῆναι τῆς τοῦ τετραπλασίου ποινῆς· ὅπερ ἐπὶ τῆς ἰδιωτικῆς βίας καὶ δημοσίας οὐκ ἔστι.

[β'.] Ὅτι κινουμένη ἡ ἰδιωτικὴ βία οὐ σβέννυσι τὴν ἐγκληματικὴν, ἀλλὰ συναναφαινομένην αὐτῇ ἔχει καὶ τὴν πουβλίκαν. ὁ οὖν πραίτωρ θέλων μετρῆσαι τὰς ποινὰς ἐξεῦρεν διὰ[5] ταῦτα ἀγωγὴν τὴν λεγομένην ῥωμαϊστὶ βὶ βονόρουμ ῥαπτόρουμ. αὕτη οὖν κινουμένη ἐπὶ τῆς βίας σβέννυσι καὶ τὸ ἐγκληματικὸν, τουτέστι τὸ δημόσιον ἔγκλημα, ὅπερ ἔχει τελείαν δήμευσιν καὶ περιορισμὸν, καὶ τὸ πρίβατον, ὅπερ ἐστὶ τὸ ἰδιωτικὸν, ὅπερ

---

[1] Verba καὶ π. β. Index non habet. [2] Cod. ἀναρχῶν. [3] Cod. πλαττόμ. Est Basil. X, 2. [4] Cod. δικασικοῦ. [5] Cod. ἰδία.

ἔχει δήμευσιν τοῦ τρίτου τῆς ὑποστάσεως. καὶ ἁπλῶς τῆς μὲν ἰδιωτικῆς βίας κινουμένης, σβέννυται καὶ τὸ ἰδιωτικόν· τῆς δὲ βὶ βονόρουμ ῥαπτόρουμ κινουμένης, σβέννυται καὶ τὸ ἰδιωτικὸν καὶ τὸ ἐγκληματικὸν, καὶ μόνον τὸ τετραπλάσιον ἀπαιτεῖται.

[γ΄.] Βι. μα΄ τί. α΄ κεφ. λα΄· „Αἱ ποινάλιαι ἀγωγαὶ, εἴτε πολιτικαὶ εἴτε πραιτώριαι, χωρὶς τῶν δημοτικῶν, αὔξουσι τὴν οὐσίαν τοῦ ἔχοντος αὐτάς.“ ποιναλίας ἐκείνας λέγει αὔξειν τὴν οὐσίαν τοῦ ἔχοντος αὐτὰς, οἷον τὴν περὶ ὕβρεως, τὴν περὶ δαρμοῦ[1], τὴν περὶ ζημίας· αὗται γὰρ ἀπαίτησιν ἔχουσι καὶ αὔξουσι τὴν οὐσίαν τοῦ ὑβρισθέντος. αἱ δὲ δημοτικαὶ οὐκ αὔξουσι τὴν οὐσίαν· δημοτικαὶ δὲ εἰσὶν, ὅσαι ὑπὲρ τοῦ δήμου λέγονται, οἷον ἐὰν κινήσῃ[2] τὶς περὶ δημοσίας ὁδοῦ ἐμφραγείσης, ἢ περὶ τοῦ τὰ τείχη ἢ τὰς λίμνας[3] βλάψαντος· ἔξεστι γὰρ πᾶσι τοῦτο κινεῖν, καὶ τούτοις αὔξησις οὐδεμία οὐσίας προσγίνεται[4]· τὸ δὲ νομίζεσθαι δικαίους καὶ φιλοπάτριδας κερδαίνουσιν.

[δ΄.] Ὅτι ὀφθαλμοῦ ἐκκοπὴν τοῦ εὐφυοῦς τιμήσαντος νομίσματα ρ΄, ὁ βέστης τοῦτο ἀνεῖλε, καὶ ἐτύπωσεν, εἰ μὲν μαρτύρων παραγωγῇ βεβαιώσει ὁ βλαβεὶς ὡς προνοίᾳ καὶ ἐνεργείᾳ τοῦ ἀντιδίκου τετύφλωται, λαβεῖν αὐτὸν νομίσματα λ΄· εἰ δὲ μαρτύρων μὴ εὐπορῶν ὅρκῳ τοῦτο βεβαιώσει, μόνα κδ΄.

[ε΄.] Ὅτι[5] βία ἐστὶ μὴ μόνον τὸ στρεβλῶσαι καὶ ἐγκλεῖσαι, ἀλλὰ καὶ τὸ παρὰ γνώμην τινὸς, ὅτε μάλιστα κύριος θελήματος οὐκ ἐστὶ διὰ τὸ ἀνήλικον, πρὸς συνάλλαγμα συνωθεῖσθαι. τοιοῦτόν τι γέγονε καί τις εἰσελθὼν πρὸς κόρην ἀφήλικα ἐκ πρώτου γάμου οὖσαν, καὶ ἅμα μνηστείαν καὶ ἱεροτελεστείαν συστησάμενος, καὶ ἐγκαλούμενος ὕστερον ὡς ἐβιάσατο, καὶ λέγων παρ᾽ αὐτῆς [τῆς] κόρης μηνυθῆναι, οὐκ ἠκούσθη, ἀλλὰ κατεκρίθη ὡς βίαιος. εἶπε γὰρ ὁ δικαστής· εἰ τὸ ἑκούσιον τῇ κόρῃ τότε προσῆν, διὰ τί ἐπετάχυνε πρὸς τὴν ἱερολογίαν; ἦν γὰρ ὁ ἀνὴρ πένης, ἡ δὲ γυνὴ τῶν εὐπόρων.

[ϛ΄.] Ὅτι ὁ ἀνάρχως πλημμελήσας ἐντὸς ἐνιαυτοῦ κατακρινόμενος τὸ ἐπιτίμιον μόνον δίδωσιν, οὐ μὴν καὶ καρποὺς, κἂν χρόνοι τινὲς ἀπὸ τῆς κινήσεως μέχρι τῆς καταδίκης δράμωσιν.

[ζ΄.] Ὅτι ὁ μαρτυρήσας ἐπὶ ἐγκληματικῷ δικαστηρίῳ, καὶ μὴ ἀποδείξας τοῦτο, ἐξορίζεται· ὡς βι. κα΄ τί. α΄ κεφ. α΄[6] θέ. δ΄.

---

[1] Cod. δραμοῦ. [2] Cod. νικ. [3] Cod. λήμνας. Sed forte τοὺς λιμένας legendum. [4] Cod. οὐ προσγ. [5] Harm. I, 11, 2. [6] Lege γ΄.

[η΄.] Βι. κβ΄ τί. α΄ κεφ. ιθ΄[1]· „Ὁ βίᾳ τὸν ἐλεύθερον συλλαβὼν καὶ δήσας, οὐκ ἐστὶ νομεύς.“ τοῦτο οὖν τὸ πλάτος ἑρμηνεύει, ὅτι ὁ νομεὺς οὐ βαρεῖται ταῖς ἀποδείξεσιν. οὕτως οὖν τὸ πλάτος[2]· „ἐπειδὴ βίᾳ κατέσχε τὸν ἄνθρωπον, οὐκ ἐστὶν ἄξιος τοῦ χρησίμου τοῦ νομέως, λέγω δὴ τοῦ μὴ βαρεῖσθαι ταῖς ἀποδείξεσιν.“

[θ΄.] Βι. ιθ΄ τί. ι΄ κεφ. ιζ΄[3]· „Ὑπεξαιρεῖται καὶ ὁ κεφαλικόν τι κατὰ δόλον ἢ ἀχρειότητα πλημμελήσας. εἰ γὰρ κατὰ πλάνην ἢ τύχην ἐποίησεν, ἀργεῖ τὸ δόγμα. ὅθεν οὔτε ἄνηβος οὔτε μαινόμενος κεφαλικῶς ἁμαρτάνει ἢ τιμωρεῖται.“

[ι΄.] Κεφ. λ΄[4]· „Ὁ κύνα ἄγριον ἢ κάπρον ἢ ἄρκτον ἢ λύκον ἢ πανθῆρα ἢ λέοντα ἢ ἕτερον βλαπτικὸν ζῶον λελυμένον ἢ μὴ οὕτως δεδεμένον, ὥστε μὴ δύνασθαι βλάπτειν, ἔχων [ἐν] δημοσίᾳ παρόδῳ, καὶ ἄνθρωπος ἐλεύθερος ἐκ τούτου τελευτήσει, σ΄ νομίσματα δίδωσι τὴν ζημίαν. εἰ δὲ μὴ ἀπέθανεν, ἀλλ' ἐβλάβη, εἰς τὸ δεχόμενον τῷ δικαστῇ καταδικάζεται· τῶν δὲ λοιπῶν πραγμάτων διπλῆν δίδωσι τὴν ζημίαν.“

[ια΄.] Ὅτι τοῦ σκληροῦ τοῦ μαγίστρου ἐναγομένου παρὰ ἱερέως, ὡς ἐτύφθη παρ' αὐτοῦ μαγκλαβίοις, καὶ τοῦ μαγίστρου ἀπαρνουμένου, εἶτα τοῦ ἱερέως τὴν ἀγωγὴν διὰ μαρτύρων συστήσαντος (οἱ μὲν γὰρ ὤμοσαν, ὅτι εἶδον τὸν ἱερέα τυπτόμενον καὶ ὁ ἱερεὺς ἐνεγράψατο, ὅτι ἐτύφθη), ἐζημιώθη διὰ τήνδε τὴν αἰτίαν τόδε, καὶ τὴν ὑπὲρ τοῦ δαρμοῦ ποινὴν τοῦ ἱερέως ὁ μάγιστρος ἐτύπωσε λίτραν μίαν.

[ιβ΄.] Βι. ιθ΄ τί. α΄ κεφ. οα΄[5]· „Μηδεὶς βαπτέτω ἢ πιπρασκέτω πορφύραν, μήτε ἐν μετάξῃ μήτε ἐν ἐρίῳ. ὁ δὲ πωλήσας καὶ δημεύεται καὶ κεφαλικῶς τιμωρεῖται.“

[ιγ΄.] Θέ. β΄· „Ὁ ἀγοράσας σῖτον ἐκ τοῦ δημοσίου κανόνος ἢ πωλήσας κεφαλικῶς τιμωρεῖται.“

[ιδ΄.] „Οἱ ἀγοράσαντες σῖτον τῷ δημοσίῳ πεμφθέντα, σεμνοὶ μὲν ὄντες δημευέσθωσαν, εὐτελεῖς δὲ κεφαλικῇ ὑποβαλλέσθωσαν τιμωρίᾳ.“

[ιε΄.] Καὶ κεφ. ιδ΄· „Μηδεὶς εἰς τὸ βαρβαρικὸν ἀπαγέτω ἔλαιον ἢ οἶνον ἢ γάρον· μήτε τοῦ γεύσασθαι ἕνεκε μηδὲ ἐπὶ τῇ χρήσει αὐτῶν τῶν ἐμπόρων.“

[ις΄.] „Μηδεὶς βαρβάροις περὶ πρεσβείας γενομένης ὅπλα

---

[1] Heimb. c. 20. [2] Cf. Basil. ed. Heimb. II p. 474 schol. 1 ad l. l. Ibi Cyrillo hoc scholium perperam tribuitur. [3] Cf. Suppl. ed. Basil. Heimb. p. 277. [4] Ibid. p. 279. [5] Hoc et sequentia capita usque ad c. 16 vide in Suppl. ed. Basil. Heimb. p. 260 sq.

πιπρασκέτω ἢ εἰργασμένα ἢ ἀνέργαστα, μηδὲ σίδηρον ὅλως. ὁ δὲ παρὰ ταῦτα ποιήσας καὶ δημεύεται καὶ κεφαλικῇ ὑποβάλλεται τιμωρίᾳ."

[ιζ΄.] Ὅτι[1] ὁ υἱὸς τοῦ πατρικίου βαασακίου ἐλέγετο βίαν πεποιηκέναι, καὶ εἰσελθεῖν εἰς τὴν νῆσον γαζουρὰν μετὰ λαοῦ καὶ ἀφελέσθαι πράγματα διάφορα καὶ ἁρπάσαι. καὶ ἔκρινεν ὁ μάγιστρος, ἀρνουμένου τοῦ μαγκλαβίτου, τοὺς ἐνάγοντας διὰ μαρτύρων συστῆσαι τὴν ἐπενεχθεῖσαν αὐτοῖς βίαν καὶ ἁρπαγήν· καὶ εἰ μὲν οἱ μάρτυρες καὶ τὴν βίαν συστήσαιεν καὶ τὴν ποσότητα τῶν ἀφῃρημένων, κατὰ τὴν μαρτυρίαν γενέσθαι καὶ ἀπόφασιν· εἰ δὲ ἡ μὲν ἐπέλευσις μαρτυρηθείη, ἡ δὲ ποσότης τῶν ἀφαιρεθέντων ἐν ἀδήλῳ μείνοι, τοὺς μάρτυρας ὀμόσαι μόνον ὃ γινώσκουσι καὶ βεβαιῶσαι τὴν ἀπέλευσιν καὶ διαρπαγὴν, τὸν δὲ δικαστὴν ἐρευνῆσαι τὰς προσόδους τῶν κινούντων προσώπων βίαν, καὶ πρὸς ὃ εὕροι αὐτοὺς ὑπόληψιν ἔχοντας εὐπορεῖν, πρὸς τοῦτο τυπῶσαι τὸν μέλλοντα τελεσθῆναι παρὰ τῶν ἐναγόντων ὅρκον[2], κατὰ τὸν λέγοντα νόμον βι. ν΄ τίγ΄ κεφ. νη΄[3]· „ἐάν τις μὴ δύναται δεῖξαι τὰ ἁρπαγέντα αὐτοῦ πράγματα, δείξῃ δὲ ἁρπαγὴν ἢ ἔφοδον αὐτῷ γεγενημένην, διατίμησιν ποιείτω ὁ δικαστὴς τὴν αὐτῷ δοκοῦσαν κατὰ τὴν ποιότητα τῶν προσώπων καὶ τῶν πραγμάτων, καὶ εἰς αὐτὴν τὴν ποσότητα λοιπὸν ὀμνύτω ὁ ἀπολέσας, ὥστε καταδίκην γενέσθαι." οὐκ ἔξεστι δὲ τοῖς ἐνάγουσι πλέον τῆς ὁρισθείσης παρὰ τοῦ δικαστοῦ ὀμνύειν ζημίας. καὶ λογισμὸν τέθεικεν· οὐ γὰρ χρὴ τὸν μαρτυρούμενον διὰ μόνον τὸ ἐπελθεῖν ἀνθρώπους εἰς τὴν οἰκίαν αὐτοῦ μεγάλην ἀναπλάσασθαι ζημίαν, τὴν ὑπερβαίνουσαν τὴν κατάστασιν τῆς περιουσίας αὐτοῦ. καὶ τοὺς συνεληλυθότας δὲ τῷ μαγκλαβίτῃ κατεδίκασεν εὐπορίαν[4] ἔχοντας ἐκτιννύειν ζημίαν, καὶ τοὺς δούλους εἰς νόξαν δοθῆναι.

[ιη΄.] Ὅτι ὁ πρωτοσπαθάριος ῥωμανὸς ὁ σκληρὸς ἐβιάσατο τινὰς χωρίτας καὶ ἐπῆλθε κατὰ τῆς οἰκίας αὐτῶν, εἶτα συνεβιβάσθη μετ᾽ αὐτῶν καὶ ἠσφαλίσατο, ἵνα παράσχῃ αὐτοῖς χρυσίον, καὶ μεταβολὴν ἐποιήσατο. οἱ δὲ χωρῖται μετὰ ταῦτα ἐκίνουν, ὡς καὶ τὴν διάλυσιν κατὰ βίαν ποιήσαντες, τοῦ κριτοῦ βιασαμένου αὐτούς. καὶ ὁ μάγιστρος ἐσημειώσατο, ἵνα εἰ μὲν οὐ δείξουσιν, ὅτι κατὰ βίαν ἐποίησαν τὴν διάλυσιν, ἀπαι-

---

[1] Vide de hac causa tit. XVII c. 18, tit. XXVIII c. 6, tit. LXVI c. 28, tit. LXVIII c. 3. [2] Cod. τὸν ὅρκον. Forte ἔνδικον ὅρκον. [3] Heimb. c. 57. Nonnulla ibi ex hoc nostro loco suppleri debent. [4] Cod. videbatur habere ἀπ.

τηθῇ ὁ σκληρὸς τὸ χρυσίον μετὰ τόκου ἐφ' ἑκάστῃ λίτρᾳ νομίσματα ς' ἀπὸ τοῦ καιροῦ τῆς ἀσφαλείας· εἰ δὲ δείξουσιν, ὅτι ἄκοντες καὶ παρὰ τοῦ κριτοῦ συνωθούμενοι τὴν διάλυσιν ἐποιήσαντο, καταλυθῇ μὲν τὸ ἔγγραφον τῆς διαλύσεως, ἀποδείξωσι δὲ αὐτοὶ τὰ ἀφαιρεθέντα, καὶ ἀπολάβωσι πάντα· εἰ δὲ μὴ δυνηθῶσι δεῖξαι, δι' ὅρκον φανερὸν καταστήσουσι τὸ ποσὸν τῶν ἀφῃρημένων, κατὰ τὸ ζ' κεφ. τοῦ γ' τί. τοῦ νβ' βι.[1] ὅ φησιν· ἐάν τις μὴ δύνηται δεῖξαι τὰ ἁρπαγέντα αὐτοῦ πράγματα, δεῖ τὸν δικαστὴν πολυπραγμονῆσαι καὶ εὑρεῖν ἔκ τε γαμικῶν συμφώνων, κτημάτων ἀποτιμήσεως, καὶ εὑρέσεως προσόδων, καὶ ἑτέρων ἐτησίων ἐμπονημάτων, ὅσον εἰκὸς ἦν τοὺς λέγοντας τὴν βίαν ὑποστῆναι εὐπορεῖν κατὰ τὸν καιρὸν τῆς κατ' αὐτῶν ἐπελεύσεως· καὶ πρὸς τὸ καταλαμβανόμενον τῷ δικαστῇ τυποῦσθαι τὸν ὅρκον, ὃν δικαστικὸν ὅρκον ἀνενεγκὼν[2] ἔχει ὁ ἐνάγων δέξασθαι, καὶ τοῦτον τελεῖν καὶ λαμβάνειν τὰ τυπωθέντα· οὐ γὰρ ἐνδεχόμενόν ἐστι, τὸν φανερῶς ἄπορον διὰ μόνην ἐπέλευσιν μεγάλην ἀναπλάσασθαι ζημίαν ὑπερβαίνουσαν τὴν κατάστασιν τῆς περιουσίας αὐτοῦ καὶ ζημιοῦν ἑτέρους.

[ιθ'.] Ὅτι ὁ τοῦ πρωτοσπαθαρίου ῥωμανοῦ τοῦ σκληροῦ ἐπισκεπτίτης αὐτονόμως παραδέδωκε τόπιά τινων χωριτῶν καὶ ζῶα καὶ κινητὰ πράγματα πρὸς ἑτέρους. καὶ ὁ μάγιστρος ἐσημειώσατο, ἵνα τὰ μὲν ἀκίνητα ἀντιστραφῶσι μετὰ καθαρῶν καρπῶν ψηφιζομένων ἀπὸ τοῦ καιροῦ τῆς παραδόσεως, τῶν δὲ αὐτοκινήτων τὰ μὲν ὄντα εἴτ' οὖν γεννήματα πληθυνόμενα μετὰ τῶν ἐπιγεννημάτων μὴ ὑπερβαινόντων τὴν τῶν πρώτων κεφαλῶν ποσότητα· (διότι μήτε τὰ πρωτότυπα πάντα γεννῶσιν ἐτησίως, μήτε πάντα τὰ γεννώμενα σώζονται· παρομοίωνται δὲ τὰ γεννώμενα τοῖς ἐκ χρυσίου τόκοις, ὅτι καὶ τὴν αὐτὴν κλῆσιν ἔλαχον·) τὰ δὲ ἄλλα τῶν ζώων, ἐργαστικὰ καὶ νωτοφόρα, εἰς τὸ διπλάσιον διὰ τὴν δουλείαν· τῶν δὲ λοιπῶν κινητῶν τὰ μὲν σωζόμενα καὶ μὴ ταῖς χρήσεσιν ἀπομειωθέντα εἰς τὸ ἁπλοῦν, πάντων δὲ τῇ χρήσει ἀπομειωθέντων ἢ καὶ τελείως ἀφανισθέντων ἡ ἀξία τιμὴ δοθῇ τῆς πρώτης ὄψεως. ἐν γὰρ ταῖς τῶν ῥημάτων σημασίαις[3] ἐπὶ τῶν τοιούτων φησὶν ὁ νόμος· „τὸ πλέον ἐν ταῖς χερσὶν εἶναι τοῦ τιμήματος ἤπερ ἐν τῷ πράγματι."

[κ'.] Ὅτι ὁ μάγιστρος εὑρών τινα βιασάμενον ἄλλον ἐκ τῆς οἰκίας αὐτοῦ, τὸν ἄνθρωπον [τὸν] ἐξελάσαντα κατεδίκασε

---

[1] Videtur indicari Bas. L, 3, 57. Cf. c. 17. [2] An ἀπεν. [3] Indicatur Bas. II, 2, 12.

συμπαθῶς εἰς τὸ λαβεῖν τὸν βιασθέντα καὶ τὴν οἰκίαν καὶ τὴν τιμὴν ταύτης, καὶ ἔγραψεν οὕτως· ἐδικαιώθη πρὸς τοῖς ἐξ αὐτοῦ ἀφαιρεθεῖσι καὶ τὴν τούτων τιμὴν ἀπολαβεῖν, συμπαθεῖ λόγῳ καὶ πολλῷ τῆς ἀκριβείας ἥττονι· ἥτε γὰρ τῆς δημοσίας βίας, πρὸς δὲ καὶ τῆς ἰδιωτικῆς ποινὴ μεγάλης αἴσθησιν ζημίας ἐμποιεῖ τῷ καταδικαζομένῳ καὶ μέντοι κἂν τῷ διορθουμένῳ δικαστηρίῳ πᾶν[1], ὅπερ φόβου χάριν εἴη πραττόμενον, ἡ ἐκφερομένη ψῆφος τετραπλασιάζειν οἶδε παντὸς τοῦ διαφέροντος τὴν ἀποκατάστασιν. καὶ τὰ μὲν τῆς ἀκριβείας τοιαῦτα· τῷ δὲ ἀσηκρῆτις οἱ δικάζοντες τὴν καταδίκην λεαίνοντες τὰς διπλασίας ἐτύπωσαν, προσαρμόσαντες τῷ πράγματι κατ᾽ οἰκονομίαν τὸν φράζοντα ὧδε νόμον βι. [ν΄] τί. [γ΄] κεφ. [νε΄][2]· „ἐάν τις ἢ τοῦ δημοσίου ἢ ἄλλου νεμομένου πρᾶγμα δίχα δικαστικῆς κελεύσεως βίᾳ ἀφέληται αὐτὸ, εἰ μὲν δεσπότης ἐστὶν, ἐκπεσεῖται τούτου· εἰ δὲ ἀλλότριον, οὐ μόνον αὐτὸ δίδωσιν ἀλλὰ καὶ τὴν ἀποτίμησιν τῷ τὴν ἁρπαγὴν ὑπομείναντι.“

[κα΄.] Ὅτι πρὸ ια΄ χρόνων διεπώλησεν ὁ δημόσιος οἰκήματά τινος, εἶτα οἱ παῖδες ἐκίνησαν, ὡς ἐβιάσθησαν παρὰ τῶν σεκρετικῶν καὶ τὸ πολλοῦ τιμώμενον ὀλίγου διεπράθη. καὶ ὁ μάγιστρος ἐσημειώσατο οὕτως· οὔτε βίαν κινεῖν ἐπὶ ἀναλύσει τῆς πράσεως μετὰ τοσούτους ἐνιαυτοὺς ἐξῆν αὐτοῖς, οὔτε βίαν ἐπονομάζομεν τὴν ἐπαγομένην τοῖς ὀφειλέταις εἴσπραξιν ἀρχικῷ δικαίῳ. οἱ γὰρ ἐνησχημένοι χρέεσιν, εἰ μὴ διοχλοῖντο καὶ περιέλκοιντο καὶ τέλος βιάζοιντο, οὐκ ἄν ποτε τὰ ὀφειλόμενα ἐκτίσαιεν.

ΤΙΤΛΟΣ μγ΄.

Περὶ λεγάτων.

[α΄.] Ἐὰν καταλειφθῇ μοι λεγάτον ὑπὸ αἵρεσιν, ἵνα μὴ ἐκποιήσωμαι τοῦτο μέχρι τέλους ζωῆς μου, εἰ δὲ ἐκποιήσομαι, ἵνα ἐκπίπτω, οὐ βαρυθῶ δὲ μετὰ θάνατον ὑποκαταστάσει εἰς τοὺς πλησιεστέρους συγγενεῖς, προχωρεῖ τὸ λεγάτον οὐδὲ δυναμένου μου τοῦτο ἐν ζωῇ δωρεῖσθαι ἢ ἐκποιεῖσθαι.

[β΄.] Ὡς ὅταν ἀνωνύμως λεγατευθῇ τινι, οἷον· ἀφίημι τῷ δεῖνι τόδε καὶ τῷ υἱῷ αὐτοῦ λεγατεύω τόδε, ἔχει δὲ υἱοὺς διαφόρους καὶ [οὐ] δηλοῦται τίνι τῶν υἱῶν κετελείφθη τὸ λεγάτον,

---

[1] Legerim περὶ τοῦ. [2] Apud Heimb. nonnulla ex nostro supplenda sunt.

εἰς ἐκεῖνον τοῦτο χωρεῖ, εἰς ὃν εἶχε περισσοτέραν [ὁ] τελευτήσας τὴν διάθεσιν· εἰ δὲ μὴ εἰς ἕνα τῶν παίδων εἶχεν ὁ διαθέμενος τὴν διάθεσιν, πάντες αὐτὸ ἐπίσης μερίσουσιν.

[γ΄.] Ὅτι ἐὰν λεγατευθῇ μοι ἀγρὸς ἁπλῶς καθώς ἐστιν, αὐτὸν λαμβάνω μετὰ τῶν καρπῶν, ὡς ἔχει εὑρεθῆναι κατὰ τὴν ἡμέραν τῆς τελευτῆς τοῦ διαθεμένου, οἱονεὶ μετὰ πάντων τῶν ἱσταμένων καρπῶν. τὸ μέντοι τέλος τοῦ δημοσίου τοῦ χρόνου ἐκείνου ἐγὼ δίδωμι, διότι ἔλαβον τοὺς καρποὺς, καὶ οὐ ψηφίζω, ὅτι τυχὸν ἔλαβον τὸ λεγάτον αὐγούστῳ μηνὶ, καὶ οὐκ ὀφείλω δοῦναι τὸ δημόσιον, διότι ἕνα μῆνα μόνον ἐνεμήθην, ἀλλὰ τους καρποὺς λαμβάνων καταβάλλω τὸ δημόσιον.

[δ΄.] Ὅτι ὁ βέστης εὑρών τινα ἐν τῇ διαθήκῃ γράψαντα πολλὰ λεγάτα, ὀλίγην δὲ ἀφέντα ὕπαρξιν, καὶ γράψαντα, ἵνα καινοτομηθῶσι τὰ λεγάτα, ἐὰν ἔλθῃ ἡ ὑπόστασις εἰς τὸ ἔλαττον· ᾠκονόμησε τοῦτο, καὶ λόγου χάριν εἶπεν· εὗρε περιουσίαν νομισμάτων σις΄[1], καὶ λεγάτα, ἄλλου μὲν λίτρας δύο, ἄλλου δὲ λίτραν α΄, ἄλλου δὲ νομίσματα λς΄· ἐτύπωσεν οὖν, ἵνα λάβῃ ὁ ἔχων τὰς δύο λίτρας ρκγ΄[2] νομίσματα, ὁ δὲ τὴν λίτραν ξα΄[3] νομίσματα, ὁ δὲ τὰ λς΄ νομίσματα λα΄[4], καὶ οὕτω περιέστη ἡ ἀναλογία, καὶ ἔλαβον κατὰ τὸ ἴσον ἀμφότεροι, καὶ ἔδοξε θαυμασία πᾶσιν ἡ διαίρεσις.

[ε΄.] Ὅτι ἐν μεσοποταμίᾳ ἔγραψέ τις διαθήκην, καὶ προσεγράψατο αὐτῇ περὶ λεγάτου ῥητῶς οὕτως· ἀφίημι τῷ αὐθέντῃ μου τῷ κριτῇ λεγάτον τόσων νομισμάτων. ἔτι ζῶντος τοῦ διαθεμένου διεδέχθη ὁ κριτὴς, καὶ προεβλήθη ἕτερος. ἐτελεύτησεν ὁ διαθέμενος, καὶ πρὸ τῆς ἀνοίξεως τῆς διαθήκης ὁ κριτὴς ἔλαβε τὸ λεγάτον. διεδέχθη καὶ οὗτος, καὶ προεβλήθη ἕτερος, ὃς καὶ τὴν ἄνοιξιν τῆς διαθήκης καὶ τὴν ἀπογραφὴν τῆς ὑποστάσεως ἐποιήσατο· καὶ ἔλαβε καὶ οὗτος τὸ λεγάτον. κατεγκαλούμενοι τοίνυν ἀπὸ τῶν κληρονόμων οἱ δύο κριταὶ ὡς δύο λεγάτα ἀπαιτήσαντες, ὁ μὲν εἷς ἔλεγεν, ὅτι ἐμοὶ κατελείφθη τὸ λεγάτον· ἐγὼ γὰρ εὑρέθην ἐν τῷ καιρῷ τῆς τελευτῆς αὐτοῦ· ὁ δὲ ἕτερος ἀντέλεγεν, ὅτι μᾶλλον ἐγὼ ἤνοιξα τὴν διαθήκην καὶ τὴν ἀπογραφὴν ἐποιησάμην, καὶ καλῶς ἔλαβον τὸ λεγάτον. καὶ ἦν τοιαῦτα ζητήματα. ἠρώτησα ἐγὼ τὸν μάγιστρον, καὶ εἶπεν οὕτως· ὅτι ὁ διαθέμενος δοκεῖ τῷ κριτῇ τοῦ θέματος ἀφεῖναι τὸ λεγάτον τῷ εὑρισκομένῳ μετὰ τελευτὴν αὐ-

---

[1] Animadverte in sequentibus, quod, ut alibi auctor ait, *περὶ τῶν λεπτῶν ἄγαν οὐ πολυπραγμονεῖται.* [2] Cod. ρκς΄. [3] An ξβ΄? [4] Cod. λδ΄.

τοῦ καὶ τὰ τῆς ὑπάρξεως διενεργοῦντι· ἐπεὶ γὰρ οὐ προσέθηκεν ὄνομα ῥητῶς τοῦ κριτοῦ, αὕτη ἡ ἔννοια δίδοται ἡμῖν. ἀλλ' ὀφείλομεν σκοπεῖν καὶ τὸν κριτὴν τὸν ἐν τῇ ποιήσει τῆς διαθήκης ὄντα, πῶς εἶχε πρὸς αὐτόν· εἰ γὰρ εὕρομεν, ὅτι σχέσιν εἶχε πρὸς τοῦτον, καὶ ὑπισχνεῖτο πρὸς αὐτὸν περὶ λεγάτου ἢ περὶ ἐπιτρόπου, καὶ μετὰ τὴν διαδοχὴν αὐτοῦ ἐὰν προσήρχετο αὐτῷ καὶ περὶ τῆς ὑποστάσεως αὐτοῦ ἐὰν ἐκοινοῦτο αὐτῷ, τότε ἐκ τούτων τῶν τεκμηρίων μᾶλλον ὁ κριτὴς ὁ ὢν ἐν τῇ γραφῇ τοῦ λεγάτου καὶ τῷ καιρῷ τῆς ποιήσεως τῆς διαθήκης λαμβάνει τὸ λεγάτον.

[ϛ'.] *Βι. κβ' τί. α' κεφ. κ'*[1]· „[Ὁ] λεγατάριος δεικνύει, τὸν διαθέμενον γινώσκειν ἀλλότριον ἢ ὑποκείμενον εἶναι τὸ λεγατευθὲν αὐτῷ.“

[ζ'.] *Καὶ κεφ. ια'*[2]· „Ἐὰν μὴ δυνάμενος πλέον τυχὸν μιᾶς οὐγγίας καταλιπεῖν σοι [ἐν] διαθήκῃ, καταλείπω αὐτὴν, εἰπὼν καὶ ἄλλας διαφόρους ποσότητας ἐποφείλειν σοὶ, τότε λαμβάνεις αὐτὰς, ὅτε περὶ τοῦ χρέους ἀποδείξεις. δοκῶ γὰρ ἐπὶ περιγραφῇ τοῦ νόμου τοῦτο ποιεῖν.“

[η'.] Ὅτι ὁ σαρωνίτης δαυὶδ τελευτῶν ἔγραψε ῥητῶς οὕτως· θέλω τὴν γυναῖκά μου ἔχειν πᾶσαν τὴν ὑπόστασίν μου, καὶ εἶναι ταύτην[3] κυρίαν καὶ ἐξουσιάστριαν καὶ ἀλογαρίαστον καὶ ἀλογοθέτητον, καὶ διοικεῖν πάντα εἰς πρόσωπον τοῦ υἱοῦ μου· μετὰ δὲ τὴν αὐτῆς τελευτὴν, ἵνα ἔχῃ τὰ πάντα ὁ υἱός μου. τοῦ τοιούτου ῥητοῦ ἀναγνωσθέντος ἐν τῷ δικαστηρίῳ οἱ κριταὶ καὶ ὁ πρωτοασηκρῆτις ἔλεγον, εἰς ἐξουσίαν δύνασθαι ἔχειν πάντων τῶν κτημάτων τὴν γυναῖκα τοὺς καρποὺς καὶ τὰς προσόδους, καὶ ὡς βούλεται διοικεῖν αὐτοὺς μὴ λογαριαζομένην παρά τινος, καὶ μόνα διαφυλάττειν ἀναγκάζεσθαι τὰ πρωτότυπα σώματα καὶ μήτε κατὰ δόλον ἐν αὐτοῖς διενεργεῖν, μετὰ δὲ τελευτὴν αὐτῆς λαμβάνειν τὸν υἱὸν τὰ κτήματα, καὶ περὶ τῶν καρπῶν τούτων ἢ τῶν προσόδων μηδεμίαν ἔχειν ἀγωγὴν κατὰ τῆς μητρός· ὁ γὰρ ἀνὴρ κυρίαν εἶπεν αὐτὴν καὶ ἐξουσιάστριαν καὶ ἀλογαρίαστον καὶ ἀλογοθέτητον. ἀλλ' ὁ μάγιστρος οὐκ ἐγκατέθετο[4] πρὸς τοῦτο, λέγων τὴν γυναῖκα δεῖν λόγους ὀφείλειν τῶν προσόδων τῶν κτημάτων καὶ τῶν διοικήσεων, καὶ τοὺς καρποὺς τούτων παραφυλάττειν τῷ υἱῷ, καὶ μὴ ἀναίδην πάντα κατασπαταλεῖν αὐτὴν καὶ εἰς οἰκεῖον κέρδος ποιεῖν. τὸ γὰρ μὴ λογαριάζεσθαι ἔλεγε τὸν νόμον φάσκειν, οὐχὶ

---

1 Heimb. c. 21. 2 Ibid. est c. 27. 3 Malim ταύτης. 4 Cod. ἐκατέθετο (superscript: τε).

τὸ μὴ ὑπέχειν λόγους θεσπίζοντα μηδὲ μὴ φυλάττειν τοὺς καρποὺς τῷ κληρονόμῳ, ἀλλὰ τοῦτο ἀποφαίνεσθαι, ἵνα ἐὰν ὁ διοικητὴς τῶν κτημάτων οὐ πάντα τὸν σπόρον ἐποιήσατο ἢ τὸν ἀγρὸν ὅλον ἐγεώργησεν, ἢ οὐκ ἀπεφύτευσεν ἀμπελῶνα, εἰς τοῦτο μὴ εὐθύνεσθαι παρὰ τοῦ κληρονόμου· ὥσπερ ἄρα μηδὲ τὴν γυναῖκα· ἢ ἐὰν πολλάκις ὀφείλων τελέσαι δέκα νομίσματα ἐτέλεσεν κ', μὴ κατὰ δόλον, μηδὲ εἰς ταῦτα εὐθύνεσθαι, ἀλλ' ἐκχωρεῖν τὰς κατὰ τοῦ ἀπαιτήσαντος τῷ κληρονόμῳ ἀγωγάς· καὶ ἐὰν ζεύγη ἠγόρασε τυχὸν πολλῆς τιμῆς, μὴ ἀξιούμενα τοσαύτης, ἢ καὶ μισθίους δέδωκε πλείονας τῶν τετυπωμένων ῥόγας, μηδὲ εἰς ταῦτα ὑπέχειν λόγους· καὶ ἁπλῶς εἰς ἃ διῴκησεν ἢ εὖ ἢ κακῶς μὴ κατὰ δόλον, μηδαμῶς εἰς ταῦτα λογαριασμῷ καθυπάγεσθαι. τὸ δὲ τὸν διοικητὴν τῆς ὑπάρξεώς μου σωρεῦσαι τυχὸν λίτρας β' ἐκ τῶν τῶν κτημάτων προσόδων καὶ γεννημάτων πλῆθος, καὶ πάντα κερδῆσαι ἐκ τοῦ γράψαι τοῦτον ἀλογαρίαστον, μηδ' ἄν ποτε τοῦτο ἐνθυμηθῆναι τὸν νομοθέτην. προσετίθη δὲ, ὅτι καὶ ῥητῶς ὁ νόμος φησὶ, πῶς ὀφείλει τὶς γράψαι, ὥστε τὸν διοικητὴν κερδῆσαι τὰς λοιπάδας αὐτοῦ. οὕτως ἀντιλέγων ὁ μάγιστρος καὶ τοὺς νόμους προέφερε συνηγοροῦντας αὐτῷ. φησὶ γὰρ τὸ ργ' κεφ. τοῦ α' τί. τοῦ μδ' βι.[1] τῶν βασιλικῶν οὕτως· „ἐὰν κωλυθῇ δοῦλος ἀποδοῦναι τοὺς λογισμοὺς, καὶ τὰ παρ' αὐτῷ ὄντα καὶ τὰ κατὰ δόλον γινόμενα δίδωσι· μόνον γὰρ τοῦ ἐξ ἀμελείας ὑποκεῖσθαι ἀπαλλάττεται. οὐ συνάπτεται[2] δὲ τῷ ἐλευθερουμένῳ διὰ τῶν τοιούτων ῥημάτων τὸ πεκούλιον.“ καὶ τοῦ αὐτοῦ τί. κεφ. ρκη'[3]· „ἐάν τις κελεύσῃ τινὶ μὴ ἀπαιτηθῆναι λόγους, ἰσχύει ἡ βούλησις αὐτοῦ.“ σχόλιον· „οὐδεὶς δύναταί τινα κωλῦσαι λογοθετηθῆναι, ἀλλὰ δοκεῖ λέγειν· εἴ τι λοιπασθῇ, τοῦτο αὐτῷ συγχωρῶ. τῷ γὰρ τοιούτῳ λεγάτῳ οὔτε τὰ ἀπὸ δόλου κέρδη, οὔτε εἴ τι ἐσφετερίσατο, [ὁ] κωλυθεὶς λογοθετηθῆναι συγχωρεῖται.“ καὶ τί. γ' κεφ. ϛβ'· „ἐὰν ἐλευθερώσω τὸν διοικητήν μου, λεγατεύσας αὐτῷ τὰς λοιπάδας αὐτοῦ καὶ τῶν γεωργῶν, τὰ ἐν τῇ τελευτῇ μου χρεωστούμενα λαμβάνει, οὐ μὴν καὶ τὰ ἀνυσθέντα ἐν ζωῇ μου καὶ ἀποκείμενα.“ καὶ τί. ιϛ' κεφ. η' θέ. γ'· „ὁ κελευόμενος λογοποιῆσαι ἐπὶ τῇ ἰδίᾳ διοικήσει, πρότερον ὀφείλει λογοποιεῖσθαι, καὶ οὕτω διδόναι τὰς λοιπάδας· ὁ δὲ κωλυόμενος λόγους δοῦναι, οὐ συγχωρεῖται εἴ τι χρεωστεῖ ἀπὸ δόλου ἢ ἀπάτης.“ καὶ κεφ. θ'· „ὁ

[1] Cod. ιθ' τί. τοῦ μη' βι. Heimb. hunc locum restituit Basil. XLIV, 1, 112.
[2] Heimb. συνέπεται. [3] Ibid. tamquam c. 138 Heimbachius restituit.

κωλυόμενος λογοθετῆσαί τινα οὐκ ἐμποδίζεται τὰς λοιπάδας ἀπαιτεῖν, ἃς αὐτὸς ὁ διοικητὴς ἐλοίπασεν αὐτὸν, καὶ εἴ τι κατὰ δόλον ἥμαρτε. εἰ δὲ ταῦτα θέλω[1] συγχωρῆσαι, οὕτω λεγατεύω· εἴ τι ὁ κληρονόμος ἀπαιτήσει τὸν διοικητήν μου διὰ τῆσδε ἢ τῆσδε τῆς ἀγωγῆς, δότω αὐτῷ, ἢ τῶν ἐπὶ τούτῳ ἀγωγῶν ἐλευθερούτω αὐτόν.“ καὶ κεφ. κβ΄· „ἐὰν τῷ διοικητῇ ἐλευθερίαν λογοθεσίας λεγατεύσω, τὰ χρήματα, ἅπερ ὁ διοικητὴς παρὰ τοῦ ἀργυροπράτου κεχρεώστηται, ἀναγκάζεται ἀποδοῦναι, ἢ τὰς ἐπ᾽ αὐτοῖς ἀγωγὰς ἐκχωρεῖν.“ καὶ κεφ. κζ΄ θέ. θ΄· „ἐκώλυσα τοὺς κληρονόμους ἀπαιτῆσαι πέτρον λόγῳ[2] διοικήσεως τῶν πραγμάτων μου διὰ τῆς αὐτοῦ[3] τραπέζης καὶ ἔξωθεν τῆς τραπέζης χειρισθέντων ἕως τῆς ἐμῆς τελευτῆς. ἐὰν ὁ πέτρος πάντα μέχρι τελευτῆς[4] μου διοικήσῃ διὰ τῆς αὐτοῦ τραπέζης καὶ ἔξωθεν, ὁ δικαστὴς[5] κρίνει, ἐπὶ πόσον χρὴ τὴν ἐλευθερίαν παρασχεθῆναι, ἐκ τῆς ποιότητος τῶν ἀμφιβαλλομένων.“ καὶ κεφ. λ΄· „ἐὰν κωλύσω τὸν ἀπελεύθερόν μου δοῦναι λόγον τῆς αὐτοῦ διοικήσεως, τοὺς χάρτας τῶν λογισμῶν καὶ τὰς λοιπάδας τῆς εἰσόδου καὶ ἐξόδου ἀπαιτεῖται.“ οὕτως τῶν τοιούτων διαλαμψάντων νόμων καὶ διαφωτισθέντων ἐθαυμαστώθη ὁ μάγιστρος παρὰ πάντων, καὶ ἐκράτει ἡ αὐτοῦ γνώμη. ἡ δὲ γραφή ἐστι βι. λζ΄ τί. ε΄[6] καὶ κεφ. ζ΄[7]· „εἰ μὴ πιστῶς διοικήσουσιν οἱ ἐπίτροποι, καταδικάζονται, κἂν εἶπεν ὁ πατὴρ ἀλογοθετήτους αὐτοὺς εἶναι. διὰ γὰρ τῶν τοιούτων οὐκ ἐναλλάσσεται τὸ κοινὸν νόμιμον, οὐδὲ δύναται ἐκ τούτων τῶν ῥημάτων ἀπαιτεῖν τι ὡς ἀπὸ τοῦ λεγαταρίου[8]. δύναται δὲ ῥητῶς αὐτοῖς καταλιμπάνειν τὴν συμβαίνουσαν αὐτοῖς ζημίαν ἐκ τῆς ἐπιτροπῆς.“ καὶ κεφ. νζ΄[9]· „ἐὰν πολλοὺς ἐπιτρόπους ἐσχηκὼς ἑνὶ ἐξ αὐτῶν ἀπείρῳ[10] ὄντι διατιθέμενος συγχωρήσω τὴν λογοποιΐαν τῆς αὐτοῦ διοικήσεως, μόνα τὰ ἐξ ἀμελείας δοκῶ συγχωρεῖν αὐτῷ, οὐ μὴν καὶ εἴ τι ἐκ τῆς ἐπιτροπῆς ἔχει ἢ κατὰ δόλον ἐπλημμέλησεν. ἐπὶ τούτοις οὖν οἱ συνεπίτροποι αὐτοῦ ἐνέχονται, ἀμελήσαντες αὐτὸν ποιῆσαι ὕποπτον.“

---

[1] Cod. θέλει. [2] Heimb. conjecit λόγους. [3] Sic Heimb. Cod. αὐτῆς. [4] Heimb. τῆς ἐμῆς τελ. Perperam et Codice invito. [5] Sic recte Heimb. Cod. διοικητής. [6] Lege ζ΄. Inter τί. ε΄ et καὶ κεφ. ζ΄ Codex locum intercalat, quem ex margine temere huc irrepsisse crediderim. Est autem hic: *Βι. ιθ΄ τί. α΄ κεφ.* [νη΄]· „*κἂν ὁ ἀγοραστὴς λεγατεύῃ μοι τὸ πρᾶγμα, οὐ δύναμαι τῷ πράτῃ παραγγέλλειν, εἰ μὴ τὰς ἀγωγὰς ἐκχωρηθῶ.*“ Cf. Suppl. edit. Basil. Heimb. p. 285. [7] Heimb. habet Basil. XXXVII, 5, 4. [8] Lege *ὡς ἀπὸ τοῦ λεγάτου.* [9] Heimb. ibid. c. 40. — Cf. Harm. V, 11, 49. [10] Emendavit Heimb. *ἀπόρῳ.*

[θ'.] Ὅτι ἔχων τὶς χρεώστην ἐλεγάτευσεν αὐτῷ λεγάτον, καὶ ἀπαιτούμενος ὁ χρεώστης καὶ ἐγγυητὴν παρὰ τῶν ἐπιτρόπων τοῦ δανειστοῦ, τελευτήσαντος δηλονότι, δικαιολογίαν παραγραφικὴν ἀντετίθη[1], ὅτι οὐ χρὴ ἀπαίτησιν γενέσθαι διὰ τὸ τὸν ἐπίτροπον καταβαλεῖν λεγάτον τῷ χρεώστῃ, καὶ νόμον[2] ἀνεγίνωσκε φράζοντα οὕτω· „καὶ ἐὰν κεχρεωστημένος παρά σου λεγάτον καὶ διάφορα παραστήσας[3] σοι καταβάλλω μὴ ἀντιλογισάμενος, κατὰ χάριν δοκῶ αὐτὸ συγχωρεῖν.“ καὶ ὁ μάγιστρος ἀνατρέπων τὴν δικαιολογίαν καὶ ἑρμηνεύων τὸν νόμον ἔγραψεν οὕτως· ἐκ τούτου τοῦ νόμου ἀσυναρτήτως καὶ ἀναρμόστως ἔχοντος πρὸς τὴν ὑπόθεσιν οὐχ οἷός τε γέγονεν ἰσχυρὰν χρωματίσαι παραγραφὴν εἰς ἐκβολὴν τῆς ἀγωγῆς καὶ τοῦ χρέους. ὁ μὲν γὰρ[4] πολλὰ καὶ ἐκ διαφόρων αἰτιῶν συστῆναι λέγει τὰ καταβληθέντα χρέα, καὶ διὰ τοῦτο προκριματίζει τὸν πολλάκις καταβαλόντα καὶ μηδέποτε σπεύδοντα τὸ ἀντιχρεωστούμενον καταλογίσασθαι ἢ ἀντιλογίσασθαι· τὸ δέ γε ζητούμενον ἕν ἐστι χρέος καὶ ἓν λεγάτον. καὶ ὁ μὲν τὸν αὐτὸν θεματίζει χρεωστοῦντα μὲν, οὐ χρεωστούμενον δὲ ὡς[5] κληρονόμον παρὰ τοῦ λεγαταρίου, ἀλλ' ἐξ οἰκείων συναλλαγμάτων· ἡ δὲ παροῦσα δίκη χρεωστούμενον μὲν ἔχει τὸν διαθέμενον, ἀντιχρεωστοῦντα δὲ οὐδαμῶς, ἀλλὰ μᾶλλον εὐεργετοῦντα καὶ λεγατεύοντα, καὶ ὁ καταβαλὼν τὸ λεγάτον οὔτε χρεωστῶν ἦν, οὔτε χρεωστούμενος. πρὸς δὲ τούτοις ὁ λεγατεύσας τοῖς χρεωστοῦσιν αὐτῷ μνείαν καὶ ὧν ὤφειλον ἐποιήσατο, καὶ προστέταχεν ἐαθῆναι τούτοις τὴν ὀφείλην, καὶ μᾶλλον οἱ τὴν διαθήκην δεξάμενοι καὶ τὰ λεγάτα λαβόντες μειζόνως εὐθύνονται· εἰ γὰρ ἐναντιωθέντες ἐφάνησαν τῇ διαθήκῃ, καὶ τῶν λεγάτων ἂν ἐστερέθησαν. εἰ δὲ μὴ τοῦτο τυχὸν ὁ διαθέμενος ἔγραψεν, ἀλλ' ἁπλῶς οὕτως λεγάτον ἀφῆκε τοῖς ὀφειλέταις αὐτοῦ, καὶ οὕτω πρὸς ἀνάγκης ἦν αὐτοῖς ἀποφλῆσαι τὸ χρέος· ὁ γὰρ λεγατεύων[6] καὶ χρεωστῶν τῷ διαθεμένῳ οὐ διὰ τὴν ἀργίαν καὶ ἀγνωμοσύνην ἰσχὺν ἔχει τῷ εὐεργέτῃ καὶ πρὸς τὴν τοῦ χρέους ἀπόδοσιν ἐξυπτιάζειν, ἀλλὰ τὸ μὲν εὐεργέτημα βουλόμενος ἀποφέρεται, τὸ δὲ ὄφλημα καὶ ἄκων εἰσπράττεται.

[ι'.] Ὅτι καὶ ὁ δὶς δανεισάμενος καὶ τοῦ ἑνὸς χρέους ἐλευθερίαν λεγατευθεὶς [οὐ] διὰ τοῦτο καὶ τῆς ἑτέρας ἐνοχῆς ἀπολέλυται. καὶ ὁ νόμος[7]· „καλῶς ὁ δανειστὴς λεγατεύει τῷ χρεώστῃ τὸ

---

[1] Cod. ἀντίθησεν. [2] Basil. XXII, 1, 26. [3] Basil. ἀντιχρεωστήσας.
[4] Sc. νόμος. [5] Cod. οὐχ ὡς. [6] Imo λεγατευόμενος. [7] Basil. XLIV, 16, 1.

ἐνέχειρον, καὶ ἀναλαμβάνει αὐτὸ πρὶν ἢ καταβάλλῃ τὸ χρέος· οὐ δοκεῖ δὲ καὶ τὸ χρέος ἐκ τούτου λεγατεύεσθαι, εἰ μὴ καὶ ἑτέρωθεν δειχθῇ."

[ια'.] Ὅτι[1] ἐλεγατεύθησάν τινι ζῶα καὶ παρακατεσχέθησαν ὑπὸ τῶν ἐπιτρόπων, καὶ ὁ μάγιστρος ἔκρινεν ἀπολαβεῖν τὸ λεγάτον μετὰ καὶ ἐπιγονῆς οὐχ ὑπερβαινούσης τὴν τῶν πρωτοτύπων σωμάτων ποσότητα. καὶ λογισμὸν ἔγραψε· τοῦτο γὰρ οὕτω φιλαγάθως ἐκρίθη διὰ τὴν τοῦ πατρικίου διάταξιν[2] μεγάλως τοῖς ἐπιτρόποις πιστεύσαντος καὶ ἐλευθέραν αὐτοῖς ἀναθέντος λογοθεσίου διοίκησιν.

[ιβ'.] Ὅτι τὸ λεγάτον κατὰ τὰ[3] κληρονομιαῖα μέρη ἀπαιτεῖται ἀπὸ τῶν κληρονόμων.

[ιγ'.] Ὅτι καὶ οἱ ἀποκατάστασιν δεχόμενοι λεγατάριοι κανονίζονται καὶ κληρονόμοι ἀποκαταστατικοὶ, καὶ ταῖς κληρονομίαις[4] οἱ κληρονόμοι κατέχονται, οὐχὶ οἱ λεγατάριοι.

[ιδ'.] Ὅτι λεγάτῳ τιμηθεὶς παρά τινος ἀντείχετο καὶ οἰκήματος τοῦ διαθεμένου, λέγων ὡς ἐδωρήθη αὐτῷ παρὰ τοῦ τελευτήσαντος. ἀλλὰ τῆς διαθήκης ἑτέρῳ παρασχομένης τὸ οἴκημα εἰς λεγάτον, ἐδόθη τῷ ἐνάγοντι παρὰ τοῦ μαγίστρου αἵρεσις, ἢ λαβεῖν τὸ λεγάτον καὶ ἀπέχεσθαι τοῦ οἰκήματος, ἢ ἀπολέσαι τὸ λεγάτον καὶ τότε συνιστάνειν τὴν ἐπὶ τῷ οἰκήματι δωρεάν. ὁ δὲ μᾶλλον εἵλετο λαβεῖν τὸ λεγάτον. ἀλλὰ πάλιν μεταπεισθεὶς καὶ μὴ ὑποχωρῶν τοῦ οἰκήματος κατεδικάσθη, καὶ ἐξέπεσε μόνου τοῦ λεγάτου· ἀτονήσας δὲ καὶ πρὸς σύστασιν τῆς δωρεᾶς ἀφῃρέθη τὸ οἴκημα.

ΤΙΤΛΟΣ μδ'.

Περὶ ἀῤῥαβῶνος.

[α'.] Τινὸς δόντος ἀῤῥαβῶνα καὶ συμφωνήσαντος ἀγοράσαι τὶ, καὶ λαβόντος τὸ πρᾶγμα, εἶτα τελευτήσαντος, οὐ δύνανται οἱ κληρονόμοι τούτου ἀντιστρέφειν τὸ πρᾶγμα καὶ λαμβάνειν τὸν ἀῤῥαβῶνα. τοῦτο γὰρ ἐπιχειροῦντες ποιεῖν τὰ πρόστιμα τῶν συμφώνων ἀπαιτηθήσονται. διδόασιν οὖν πρὸς τὸν πράτην τὸ λεῖπον τοῦ συμφωνηθέντος ὑπὲρ τοῦ πράγματος

---

[1] Harm. V, 10, 18. [2] Similiter Patricii constitutio laudatur tit. II c. 4.
[3] Cod. *καὶ τὰ*. [4] An *τοῖς κληρονομιαίοις δανεισταῖς*?

τιμήματος[1], καὶ κατέχουσιν ἐν βεβαίῳ τὸ πρᾶγμα. καὶ τοῦτο ἐνώπιον τοῦ βασιλέως ἐδίκασεν ὁ μάγιστρος ἔτι ἐξάκτωρ ὢν, καὶ ἐνίκησε τὸν ἔπαρχον λέγοντα, μὴ δεῖν ἀπαιτηθῆναι τὸ πρόστιμον, ἀλλὰ μόνον τὸν ἀῤῥαβῶνα ἀπολέσαι τὸν ἀγοραστήν. ἦν δὲ ἡ κινουμένη δίκη τοῦ κομνηνοῦ, ἀγοράσαντος παρὰ τῆς κανικλίνης τὸ κτῆμα καὶ δόντος ἀῤῥαβῶνα καὶ τελευτήσαντος, εἶτα τῶν κληρονόμων αὐτοῦ δικαζομένων γέγονεν ἡ τοιαύτη ἀπόφασις σημείωσις[2].

[β'.] Ὅτι τὸ χάριν ἀῤῥαβῶνος παρασχόμενον, ὡς ὁ νόμος[3] φησὶν, ἔλεγχός ἐστι καὶ ἀπόδειξις πράσεως καὶ ἀγορασίας συστάσεως, οὐ μὴν αὐτὸ σύστασις.

[γ'.] Βι. κβ' τί. α' κεφ. ος'[4]· „Κελεύει ἡ διάταξις τοὺς ἀῤῥαβῶνας φύσιν ἔχειν σιωπηρῶς τοιαύτην, ἵνα εἰ μὲν ὁ δεδωκὼς μὴ πληροῖ τὸ συνάλλαγμα, πᾶσι τρόποις ἐκπίπτει τῶν ἀῤῥαβώνων· εἰ δὲ ὁ λαβὼν μὴ πληροῖ, πᾶσι τρόποις διπλάσιον ἀποδίδωσιν."

[δ'.] Βι. ιθ' τί. α' κεφ. θ'· „Καὶ χωρὶς ἀῤῥαβῶνος συνίσταται πρᾶσις· ὁ δὲ ἀῤῥαβὼν ἀπόδειξίς ἐστι τοῦ συμφωνηθῆναι τὸ τίμημα."

[ε'.] Τί. γ' κεφ. ε'[5]· „Ἐν τῷ μεταξὺ μὲν οἱ καρποὶ τοῦ ἀγοραστοῦ γίνονται, διὰ δὲ τῆς ἀπαιτήσεως τοῦ τιμήματος δίδωσι[6] τῷ πράτῃ αὐτούς· οὐδὲν γὰρ ἐκ τοῦ πράγματος μένει παρ' αὐτῷ. τὰ δὲ δοθέντα λόγῳ ἀῤῥαβῶνος ἢ ἑτέρας αἰτίας παρακρατεῖ ὁ πράτης καὶ [οὐ] δίδωσι τὴν συμφωνηθεῖσαν προσθήκην."

[ς'.] Ὅτι[7] οὐκ ἔστιν εἰς ἀπέραντον θελήμασιν ἀστηρίκτοις ἰδιωτικοῖς τὸν νόμον ἕπεσθαι, τοὐναντίον δὲ μᾶλλον χρὴ τοῖς νόμοις εἴκειν τὸν ἰδιώτην, καθ' οὓς ὁ ἀγοραστὴς, εἰ μὴ εὐσυνθετεῖν βούλεται τοῖς συνδόξασι μη[δὲ] θέλει τελειοῦν τὸ συνάλλαγμα, τοὺς ἀῤῥαβῶνας ἀπόλλυσιν.

[ζ'.] Βι. ιθ' τί. ιη' κεφ. ιζ'[8]· „Ἐὰν συμφωνήσωμεν ὑπαναχωρῆσαι τῆς πράσεως, ὁ ἀῤῥαβὼν διὰ τῆς ἀγωγῆς τῆς ἀπαιτούσης τὸ πρᾶγμα ἀποδίδοται. κινεῖται γὰρ ἡ τοιαύτη ἀγωγὴ καὶ ἐπὶ τῇ λύσει τῆς πράσεως."

[η'.] Καὶ κεφ. ιθ'[9]· „Τῶν τιμῶν δοθεισῶν ἁρμόζει πρὸς ἀνάληψιν τοῦ δοθέντος εἰς ἀῤῥαβῶνα δακτυλίου ἡ ἀπαιτοῦσα τὸ πρᾶγμα ἀγωγὴ καὶ ἡ χωρὶς αἰτίας ἀγωγή."

---

[1] Cod. τοῦ τιμ. τοῦ πρ. [2] Forte legendum σημείωσαι, ut ad c. 2 pertineat. [3] Theophil. III, 23 pr. [4] Cf. Suppl. ed. Basil. Heimb. p. 258. [5] Ibid. p. 632. [6] Cod. οὐ δίδ. [7] Cf. tit. XXXVIII c. 13. [8] et [9] Cf. Suppl. ed. Basil. Heimb. p. 270.

ΤΙΤΛΟΣ με΄.

Περὶ συμφώνων καὶ προστίμων.

[α΄.] Τῶν[1] συμφώνων ὅσα μὲν ἔχουσι πρόστιμα καὶ ἀνάγκην τοῦ πληροῦσθαι, ταῦτα κρατοῦσι καὶ ψηφίζεται ὁ χρόνος τῆς[2] ποιήσεως τοῦ συμφώνου· ὅσα δὲ οὐκ ἔχουσι πρόστιμον οὐδὲ ἀνάγκην τοῦ πληρωθῆναι, τούτων οὐδὲ ὁ χρόνος τῆς ποιήσεως ψηφίζεται. ὡς ἐπὶ τοῦ τοιούτου θέματος· ἐὰν γένωνται γαμικὰ σύμφωνα, εἶτα γένηται πληναρία ἀπόδειξις, καὶ ἀποδώσει χρέος μετὰ τὸ γενέσθαι τὸ γαμικὸν σύμφωνον πρὸ τῆς πληναρίας, ἐκδικεῖται τὸ τοιοῦτον ἀπὸ τοῦ λαβόντος αὐτὸ, καὶ οὐ δύναται λέγειν ὁ δανειστὴς, ὅτι πρὸ τοῦ δοθῆναι τὴν προῖκα ἀπέλαβον· ἀπὸ γὰρ τοῦ συμφώνου ἔνοχος γέγονεν ὁ ἀνὴρ, καὶ διὰ τοῦτο κρατεῖ ἀπὸ τῆς ποιήσεως τοῦ συμφώνου. ἐὰν δὲ γράψῃ τις οὕτως· ὁμολογῶ δανεῖσαί σοι[3] μετὰ παρέλευσιν δύο μηνῶν, εἰ δὲ οὐ δανείσω μετὰ τοὺς δύο μῆνας, ἵνα παράσχω πρόστιμον· ἐν δὲ τῷ μεταξὺ δανείσηται ὁ αὐτὸς, πρὸς ὃν ἐγένετο τὸ χαρτίον, παρά τινος, μετὰ παρέλευσιν τῶν δύο μηνῶν δανείσῃ καὶ ὁ ὑποσχόμενος, καὶ ἔλθωσιν εἰς ἀπαίτησιν ἀμφότεροι δανεισταὶ, προτιμᾶται ὁ πρώτως δανείσας, καὶ οὐ δύναται λέγειν ὁ δεύτερος· ἀλλὰ συμφωνίαν εἶχον πρὸ σοῦ, ἵνα δανείσω μετὰ παρέλευσιν δύο μηνῶν. ἀντιπεσεῖται γὰρ αὐτῷ· ὅτι σὺ ὤφειλες ἀπαιτηθῆναι τὸ πρόστιμον, ὅτε οὐκ ἐδάνεισας μετὰ παρέλευσιν τῶν δύο μηνῶν, ἐντὸς δὲ τῶν δύο μηνῶν μὴ δανείζων οὐκ εἶχες εὐθύνην· ἐγὼ δὲ ἐντὸς τῶν δύο μηνῶν ἐδάνεισα καὶ εἰμὶ προγενέστερός σου.

[β΄.] Ὅτι τὰ ἐμφερόμενα ἐν τοῖς συμφώνοις· ἵνα πράττω τόδε καὶ τόδε, εἰ δὲ παραβῶ ἓν τούτων, ἵνα παρέχω λόγου χάριν λίτρας ι΄, ἔλεγεν ὁ μάγιστρος ἀπορίαν εἶναι τῶν νομικῶν· μὴ χρῆναι γὰρ διὰ μικρὰν πάνυ παράβασίν τινος πράγματος οὕτω μεγάλοις προστίμοις ὑποβάλλειν τὸν συμφωνήσαντα, ἀλλ' ἐπισκοπεῖν τὴν παράβασιν καὶ οὕτω ποιεῖσθαι καὶ τὴν προστίμωσιν.

[γ΄.] Ὅτι ἐὰν ὑπόσχωμαι τῷ υἱῷ μου κτῆμα ἐν συμφώνῳ, καὶ μεταξὺ καταδικασθῶ ἐγώ τινι, καὶ μὴ γνοὺς ὁ δικάζων, ὡς ὑπεσχημένον ἦν τὸ κτῆμα, ἀφελέσθαι τοῦτο [προστάξῃ], καὶ παράσχοιτο ᾧ κατεδικάσθην, κινεῖ ὕστερον ὁ υἱός μου καὶ

---

[1] Harm. I, 9, 6. [2] Harm. ἀπὸ τῆς. [3] Cod. μοι.

λαμβάνει τὸ κτῆμα τὸ ὑπεσχημένον. ὁ δὲ λαβὼν τὸ κτῆμα ὑπὲρ τοῦ ἱκανοῦ, εἰ μὲν περίειμι ἐγώ, λαμβάνει τὸ ἱκανὸν ἐξ ἐμοῦ· εἰ δὲ ἀπῆλθον, ἐκ τῆς ἄλλης μου ὑποστάσεως.

[δ′.] Ὅτι εἰ δανείσας ἐγὼ εἴπω, κοινὸν εἶναι τὸ χρυσίον ἐμοῦ καὶ τοῦ ἀδελφοῦ μου, οὐ καλῶς κινεῖ ὁ ἀδελφός μου ἀπαιτῆσαι[1] τὸ μέρος· ὅτι τὰ μεταξὺ ἑτέρων γινόμενα ἑτέρους οὐ βλάπτουσιν οὔτε ὠφελοῦσιν. καὶ ὅτι ὅτε ἐπερωτῶ ἐμαυτῷ ἢ πέτρῳ, οὔτε μεταφέρειν ἐνοχὴν οὔτε ἀπαιτεῖν οὔτε ἐνοχὴν ποιεῖν ὁ πέτρος δύναται. καὶ ὅτι ἐὰν ἐπερωτήσω ἐμοὶ ἢ πέτρῳ, οὐ καλῶς τῷ κληρονόμῳ αὐτοῦ καταβάλλεται.

[ε′.] Ὅτι ὁ μάγιστρος ἔλεγεν· αἴτιος ὁ πατὴρ ἄνω, αἰτιατὸς δὲ ὁ υἱός, καὶ δοκεῖ πρῶτος ὁ πατὴρ αἰτίῳ, εἰ καὶ σύγχρονος ἐστὶν ὁ υἱός. τοῦτο δὲ τὸ αἴτιον καὶ τὸ αἰτιατὸν ἐπὶ πολιτικῶν πραγμάτων τὸ ἐναντίον ἔχει. πρῶτον γὰρ ἐστὶν αἰτιατὸν παρὰ τὸ αἴτιον. καὶ πῶς; ἐπεθύμησέ τις ἀγρὸν κτήσασθαι, χρυσίον οὐκ εἶχεν, ἀπελθὼν ἐδανείσατο, γράψας ἐν τῷ χρεωστικῷ, ὅτι ἐπεὶ ἤθελον ἀγοράσαι ἀγρὸν καὶ οὐκ εἶχον χρυσίον, δανείζομαι νῦν παρὰ σοῦ, ἵνα ἀγοράσω τὸν ἀγρόν· ἐὰν τυχὸν οὗτος ὁ δανειζόμενος εἴπῃ ὕστερον μὴ λαβεῖν τὸ χρυσίον, τότε σκοπεῖται εἰ ἠγοράσθη ὁ ἀγρὸς, καὶ ἐὰν ἠγοράσθη, ἀναγκάζεται ὁ λέγων μὴ δανείσασθαι στοιχεῖν τῷ συμφώνῳ καὶ δεικνύειν, ὅτι οὐκ ἔλαβε τὸ χρυσίον. καὶ οὕτως ὑστεροφανὲς τὸ αἴτιον ἐφάνη· διὰ γὰρ τὸν ἀγρὸν ἐδανείσθη. εἰ δὲ μὴ ἠγοράσθη ὁ ἀγρὸς, καὶ οὐκ ἐφάνη τὸ αἴτιον, τότε ἀναγκάζεται ὁ λέγων δανεῖσαι δεικνύειν, ὅτι ἀπηρίθμησε. καὶ πάλιν αἴτιος λέγεται ὁ πατὴρ ἐμοῦ καὶ δοκεῖ πρῶτος, ἀλλ᾽ οὐκ ἐστὶν, ἀλλὰ τὸ αἰτιατὸν ἐστὶ πρῶτον. καὶ γὰρ ἔσχεν ἐπιθυμίαν παιδοποιΐας, καὶ διὰ ταῦτα ἠγάγετο γυναῖκα καὶ ἐπαιδοποιήσατο, ὥστε τὸ αἰτιατὸν φαίνεσθαι πρῶτον[2] παρὰ τὸ αἴτιον, εἰ καὶ ὑστεροφανὲς εὑρίσκεται. ἐπὶ δὲ μόνων τῶν ἀϊδίων καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων πρῶτον ἐστὶ τὸ αἴτιον τοῦ αἰτιατοῦ.

[ϛ′.] Ὅτι μητροπολίτης ποιήσας σύμφωνον καὶ θεὶς πρόστιμον ἐκ παραβασίας ἐπεχείρει ἀνατρέψαι τὸ σύμφωνον. ὁ δὲ ἀντιδικῶν αὐτῷ ἔλεγεν, ἵνα καθαιρεθῇ παραβαίνων τὸ σύμφωνον. καὶ οὕτως ἐδόκει πολλοῖς τῶν κριτῶν· ὁ δὲ δρουγγάριος ἔλεγεν, ὅτι ἐπειδὴ ἐτέθη ἐκ παραβασίας τῶν γεγραμμένων πρόστιμον, τὸ πρόστιμον χρὴ ἀπαιτηθῆναι, καὶ μὴ καθαιρεθῆναι τὸν μητροπολίτην. εἰδὼς γὰρ οὗτος, ὡς

---

[1] Malim ἀπαιτήσας. [2] Cod. addit ἐστί.

εἰ τολμήσει παραβῆναι τὸ σύμφωνον, ἐπέρχεται αὐτῷ ἡ τῆς ἱερωσύνης ἔκπτωσις, διὰ τοῦτο προστίμοις ἑαυτὸν ἐδέσμευσεν, ἵνα παραβαίνων δῷ τὸ πρόστιμον καὶ ἀπαλλαγῇ. εἰ μὲν γὰρ μὴ ἐγγέγραπτο πρόστιμον, ἀλλὰ ἁπλῶς ἦν ἡ συμφωνία, τότε ἔμελλε καθαιρεῖσθαι ὁ μητροπολίτης ἐκ παραβασίας· ἐπεὶ δὲ προσεγράφη ὁ τοῦ προστίμου λόγος, ἰσχύει. καὶ ἐπὶ τῶν ἐγγράφων γὰρ πράσεων πρόστιμον οὐ προστίθεται, ἀλλ' ἁπλῶς συμφωνεῖται ἡ πρᾶσις καὶ ἰσχύει, καὶ οὐκ ἀνατρέπεται παρά τινος, εἰ μὴ παραχθῶσιν[1], ἃ περὶ πράσεως καὶ συμφώνων παραβασίας περιέχεται. ἴσχυσεν οὖν ἡ τοιαύτη γνώμη τοῦ δρουγγαρίου, καὶ ἐξέτισε τὸ πρόστιμον ὁ μητροπολίτης καὶ οὐκ ἐκαθηρέθη.

[ζ.] Ὅτι τοῦ πατρικίου νάσαρα ποιήσαντος σύμφωνον εἰς ἐπαύξησιν προικός, καὶ ἐναγομένου παρὰ τοῦ δεξαμένου τὴν ὑπόσχεσιν, καὶ ὁμολογοῦντος μὲν τὸ σύμφωνον, προβαλλομένου [δὲ] τὴν ὑπόσχεσιν ὡς ἁπλοϊκότερον ταύτην ἐξέθετο καὶ ἄτοπον· εἶτα τελευτήσαντος μὲν ἐκείνου, τῆς δὲ γαμετῆς τούτου ἐναγομένης καὶ αἰτησάσης τὴν διὰ τῶν μαρτύρων πίστιν τοῦ συμφώνου ἐναγομέν..[2], οἱ δικασταὶ οὐκ ἐδέξαντο μὲν τοῦτο, ὡς ἤδη ὁμολογηθὲν παρὰ τοῦ πατρικίου· πλὴν οἰκονομητοτέρῳ λόγῳ τὴν μὲν διαβολὴν τῶν μαρτύρων οὐ δεδώκασι τῇ γυναικί, εἰπόντες πρὸς τοῖς ἄλλοις καὶ τόνδε τὸν λογισμόν· ὅτι εἰ διαβληθήσονται οἱ μάρτυρες, εἰς τὸ ἄτοπον περιστήσεται τὸ πρᾶγμα· πεσεῖται γὰρ τὸ σύμφωνον, καὶ εὑρεθήσεται ὡς ψευδῶς ὁμολογήσας τοῦτο ὁ πατρίκιος ἢ ἕτερον εἶναι σύμφωνον ὃ κατέθετο ἐκθέσθαι. ᾠκονόμηται οὖν, ὡς εἴρηται, μόνον ὅρκον ὑποσχεῖν τοὺς μάρτυρας, ὡς ἐνώπιον αὐτῶν ὑπέγραψεν ὁ πατρίκιος καὶ ὡς κατεδέξατο τοῦτο.

[η'.] Ὅτι γυνὴ αὐτεξουσία καὶ ἐνήλιξ, καὶ ἐκ πρώτου συνοικεσίου ἐρχομένη εἰς δεύτερον, συνεφώνησε μετὰ τοῦ ἀνδρός, οὕτως εἰπόντος αὐτοῦ· φαίνομαι ἐγὼ ὁ δεῖνα πρὸ χρόνων γ' μνηστευσάμενος σὲ τὴν δεῖνα, καὶ ὑπέσχου μοι δοῦναι εἰς προῖκα καὶ πρόσωπόν σου λίτρας τόσας, ἃς καὶ ἐπέλαβες μετὰ ἀποβίωσιν τοῦ σοῦ ἀνδρός, καὶ δι' ἀναγκαίας αἰτίας μέχρι τοῦ νῦν μὴ γενομένου τοῦ γάμου ἔμελλες ἔγκλησιν ποιήσασθαι κατ' ἐμοῦ μετὰ τοῦ πατρός σου, ἐγὼ [δὲ] ᾑρετισάμην πληρῶσαι τὸν γάμον, τὴν δὲ προῖκα, ἣν ἐπηγγείλω μοι δοῦναι, οὐκ ἠθέλησα ἐντεῦθεν ἤδη παραλαβεῖν διὰ τὸ μέλλειν μὲ[3] μετὰ τοῦ πατρός

---

[1] An *πραχθῶσιν*? [2] Haec corrupta sunt. Forte: *αἰτ. τὴν διαβολὴν τῶν μαρτ. τῶν πίστιν τῷ συμφ. παρεχόντων*. [3] Cod. *μὲν*.

σου συνοικεῖν καὶ συνομοζωεῖν καὶ διοικεῖσθαι παρ' αὐτοῦ χρόνον ἕνα· συμφωνεῖς δὲ σὺ[1] ὁ πατὴρ, ὅτι τὸν ὅλον τῆς ζωῆς σου χρόνον συνομοζωῶ μετὰ σοῦ καὶ τῆς θυγατρός σου, καὶ ὑπάρχωμεν ὁμοδίαιτοι καὶ ἀχώριστοι, καὶ τὸν πρῶτον χρόνον οἴκοθέν σου τὰ διαρκῆ ἐπιχορηγεῖς ἡμῖν, ἔπειτα ὡς συμφωνήσομεν· εἰ δὲ οὐ θελήσω συνοικεῖν σοι, κομίζεσθαί με τὴν γυναικεῖάν μου προῖκα κατὰ τὴν ἀνωτέρω διάστιξιν. ταῦτα τοῦ συμφώνου παριστῶντος, καὶ τοῦ γαμβροῦ ἐνοχοποιοῦντος τὸν πατέρα πρὸς ἀπόδοσιν τῆς προικὸς, ἔκρινεν ὁ δικαστὴς, μὴ εὐθύνεσθαι τὸν πατέρα, πρὸς οὐδὲν ἕτερον ὑποπεσόντα ἢ πρὸς τὴν τοῦ ἑνὸς χρόνου ἀποτροφήν· τὸ γὰρ εἰπεῖν τὸν γαμβρὸν κομίζεσθαι τὴν προῖκα κατὰ τὴν ἀνωτέρω διάστιξιν, οὐχ ὑπὸ δίκην ἄγει τὸν πατέρα· οὐ γὰρ αὐτὸς ἦν ὁ συμφωνήσας, ἀλλ' ἡ θυγάτηρ· ὁ δὲ πατὴρ ἁπλῆν συναίνεσιν ἐποιήσατο· ἡ δὲ ἁπλῆ συναίνεσις πρόκριμα οὐκ ἐπάγει τινί.

[θ'.] Ὅτι σύμφωνον γέγονε γάμου ἔχον ὑπόσχεσιν προικὸς, εἶτα ὁ γαμβρὸς ἔλεγεν, ὅτι ὑπέσχου τιμῆσαί με, καὶ ἐὰν μὴ προβῇ ἡ τιμὴ, τὸν γάμον οὐ τελῶ. καὶ ὁ δικάζων ἔκρινε, μὴ ἐμποδισθῆναι τὸν γάμον· τοῦ γὰρ συμφώνου τοῦτο μὴ ἔχοντος, ἀλλ' ἔξωθεν λεγομένου ὑποσχεθῆναι, οὐκ ἐδέχθη πρὸς ἐμποδισμὸν τοῦ γάμου. τῷ δὲ γαμβρῷ ἐξεχώρισεν ἀγωγὴν, ἀποδεικνύοντι τὴν ὑπόσχεσιν τὸ διαφέρον ἐκ τοῦ πενθεροῦ λαβεῖν.

[ι'.] Ὅτι ἀδελφὸς ὑπέγραψεν ἐν γαμικῷ συμφώνῳ ἀδελφοῦ, καὶ ὕστερον βλαβεὶς περὶ τὸν κλῆρον ἐκίνει, καὶ ἀντετίθετο αὐτῷ, ὅτι ὑπέγραψας καὶ ὀφείλεις στοιχεῖν τοῖς γραφεῖσιν. ἀλλ' ὁ δικαστὴς ἔκρινεν, ὅτι εἰ μὲν πρόσκειται τῇ ὑπογραφῇ· „συναινῶν καὶ ἀποδεχόμενος,“ ἐκβάλλεται· εἰ δὲ ὡς μάρτυς ὑπέγραψε· „παρήμην τῇ γραφῇ,“ οὐδὲν βλάπτεται· εἰπὼν, ὅτι καὶ ἐπὶ χρέους ὁ ὑπογράψας πρὸς ἔκτισιν τούτου οὐχ ὑπάγεται. φησὶ γὰρ ὁ νόμος[2]· „ἐάν τις ἄλλου δανειζομένου αὐτὸς ὑπογράψῃ μὴ ἐπερωτηθεὶς, οὐ κατέχεται.“ καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἐπὶ τοῦ βλέποντος τὸ ἴδιον λεγατευόμενον καὶ ὑπογράψαντος χώρα τῷ νόμῳ. φησὶ γάρ[3]· „ὑποθέμενός σοι ἀγρὸν συνεφώνησα νεμηθῆναί σε αὐτὸν ἐπί τινα χρόνον καὶ τοὺς καρποὺς αὐτοῦ λογίσασθαι εἰς τὸ χρέος· σὺ δὲ διαθέμενος ἐλεγάτευσας αὐτὸν, εἰπὼν ἠγορακέναι αὐτὸν παρ' ἐμοῦ, καὶ τὴν διαθήκην ἐγὼ μεθ' ἑτέρων ἐσφράγισα· πρόκριμα ἐκ τούτου μὴ πωλήσας οὐχ ὑφίσταμαι.“

---

[1] Cod. σοὶ. [2] Basil. XXIII, 1, 58. [3] Basil. XXV, 1, 38.

[ια΄.] Ὅτι τὰ σύμφωνα τῶν διαθηκῶν ἰσχυρότερά εἰσι. τοῦτο ὁ δρουγγάριος ἔκρινεν οὕτως· ὁ μορορέων[1] πάκτον[2] ἐποιήσατο εἰς ἐγγόνην, καὶ συνεφώνησαν, ἵνα ἡ ὑπόστασις μετὰ θάνατον αὐτοῦ γένηται εἰς μερίδας γ΄, καὶ ἡ μὲν μία δίδοται εἰς ψυχικὸν, τὴν δὲ ἑτέραν λαμβάνῃ ἡ δευτέρα αὐτοῦ γαμετὴ, καὶ τὴν ἑτέραν λαμβάνῃ ἡ ἐγγόνη μετὰ τῆς μητρὸς αὐτῆς καὶ τῶν παιδίων, ὅσα ποιήσει ἡ μήτηρ αὐτῆς. οὕτω γράψας τὸ σύμφωνον ἐποίησε καὶ τὴν θυγατέρα αὐτοῦ τουτέστι τὴν μητέρα τῆς ἐγγόνης ὑπογράψαι ἐν τῷ συμφώνῳ. χρόνοις ὕστερον τελευτῶν ἐποίησε διαθήκην καὶ κατέλιπε πολλὰ τῇ ἐγγόνῃ, καὶ πρὸς ἐναντίωσιν ἦλθε τοῦ συμφώνου, καὶ ἐδικαιώθη παρὰ τοῦ ξηροῦ ἡ ἐγγόνη κατὰ τὴν διαθήκην κληρονομῆσαι. ἀλλ' ἡ θυγάτηρ ἐκείνου, ἢ καὶ μήτηρ τῆς ἐγγόνης, ἐλθοῦσα ἐκίνει τὴν διαθήκην[3]. καὶ πρῶτα μὲν ἐκρίθη, μὴ ἰσχύειν τὴν διαθήκην εἰς ἐναντίωσιν ἐρχομένην τοῦ συμφώνου, ἀλλὰ προτιμότερον εἶναι τὸ σύμφωνον. ἀντέλεγον δέ τινες, ὅτι πάντως, εἰ μὲν ἐβλάπτετο ἡ ἐγγόνη ἡ λαβοῦσα τὸ σύμφωνον, καλῶς λέγεις μὴ ἰσχύειν τὴν διαθήκην· ἐπεὶ δὲ αὕτη ὠφελεῖται, τίνος ἕνεκε τὴν διαθήκην οὐ δέχῃ; ποῖον γὰρ ἔχει δίκαιον ἡ θυγάτηρ, ἡ μήτηρ τῆς ἐγγόνης, ἀπὸ ξένου συμφώνου ἤγουν τῆς θυγατρὸς αὐτῆς γεγενημένου παρὰ τοῦ πάππου πρὸς τὴν διαθήκην φιλονεικεῖν; καὶ ἔλεγεν ὁ δρουγγάριος· εἰ μὲν οὐχ ὑπέγραψε καὶ ἡ θυγάτηρ, ἡ μήτηρ τῆς ἐγγόνης, ἐν τῷ συμφώνῳ, καὶ [ἡ] ὑφὴ πᾶσα τῆς γραφῆς πρὸς ἐκείνην διελέγετο καὶ τὰ παιδία αὐτῆς[4], εἶχε χώραν ἡ ἀντίθεσις ὑμῶν[5] κατὰ τὸν κανόνα τὸν λέγοντα· ὅτι τὰ μεταξὺ ἑτέρων συμφωνούμενα ἑτέρους οὔτε ὠφελοῦσιν οὔτε βλάπτουσιν. ἐπεὶ δὲ ἡ μήτηρ ὑπέγραψεν ἐν τῷ συμφώνῳ τῆς θυγατρὸς τῷ γενομένῳ παρὰ τοῦ πάππου, καὶ πρὸς αὐτὴν διαλέγεται καὶ τὸν πάππον καὶ τὴν ἐγγόνην ἡ ὑφὴ τῆς γραφῆς, αὐτὴ δοκεῖ συμφωνεῖν καὶ λαμβάνειν τὰς ὑποσχέσεις, καὶ οὐ δύναται ὁ συμφωνήσας ἐναλλάσσειν τὴν γνώμην αὐτοῦ εἰς βλάβην τῶν λαβόντων τὴν ὑπόσχεσιν διὰ τελευταίας βουλήσεως. καὶ οὕτω κρίνας ἀνέτρεψε καὶ τὴν κρίσιν τοῦ ξηροῦ. εἶτα ἐτέθη καὶ ἄλλο κεφάλαιον, ὅτι ἔγραψεν ὁ συμφωνήσας ἤγουν ὁ πάππος, ὅτι τὴν μὲν μίαν μερίδα ἵνα λαμβάνῃ ἡ ἐγγόνη μου καὶ ἡ θυγάτηρ μου μετὰ τῶν παίδων αὐτῆς πάντων, ὅσους τε νῦν ἔχει καὶ οὓς μέλλει γεννῆσαι. καὶ πῶς ὀφεί-

---

[1] Cod. μōρορε̄΄. [2] Cod videbatur habere γαμβρὸν. [3] An κατὰ τῆς διαθήκης? [4] Cod. αὐτοῦ. [5] Cod. ἡμῶν.

λει μεριασθῆναι; καὶ οἱ μὲν συνήγοροι ἐνίσταντο, ἵνα λάβῃ τὸ ἥμισυ ἡ ἐγγόνη μόνον[1], τὸ δὲ ἥμισυ ἡ μήτηρ μετὰ τῶν παίδων αὐτῆς. ὁ δὲ δρουγγάριος κατὰ κεφαλὴν ὥρισε διαιρεθῆναι τὴν μερίδα, τουτέστιν εἰς τὴν ἐγγόνην καὶ εἰς τὴν θυγατέρα καὶ εἰς τὰ παιδία ζῶντα ἤγουν εἰς θ'. προετέθη καὶ ἕτερον κεφάλαιον, ὅτι ἐκεῖνος ἔγραψεν ἐν τῷ συμφώνῳ, τὴν μίαν μερίδα δίδοσθαι εἰς ψυχικὸν αὐτοῦ. ἐκ ταύτης δὲ ἐν τῇ διαθήκῃ πολλοὺς[2] ἐλεγάτευσε. καὶ εἶπεν ὁ δρουγγάριος, ἐξουσίαν ἔχειν τοῦτον ἐν τοῖς οἰκείοις ὃ βούλεται ποιεῖν. τὴν μὲν γὰρ δεσμευθεῖσαν μερίδα ἐν τῷ συμφώνῳ οὐ δύναται ἐναλλάσσειν, τὴν δὲ ἑαυτῷ παρακρατηθεῖσαν ὡς βούλεται διοικεῖ. ἐτέθη καὶ ἕτερον κεφάλαιον· ὁ γὰρ ὑποσχόμενος πάππος πολλὰ μετὰ ταῦτα ἐχάρισε τῷ γαμβρῷ[3], καὶ ἡ πενθερὰ[4] ἐπεχείρει πάντα ἀνατρέπειν, καὶ ὁ δρουγγάριος ἔκρινεν, ὅσα μὲν εἶχεν ἐν τῷ καιρῷ τῆς ὑποσχέσεως, ταῦτα συμβάλλεσθαι καὶ μερίζεσθαι· εἰ δέ τινα μετὰ ταῦτα ἐκτήσατο, ταῦτα χαρίζειν τῷ γαμβρῷ οὐ κωλύεται.

[ιβ'.] Ὅτι[5] τὸ ψιλὸν σύμφωνον οὐ τίκτει ἀγωγὴν ἀλλὰ παραγραφήν. ἐν ἀρχῇ δὲ γινόμενεν τυποῖ τὴν ἀγωγὴν ἐπὶ τῶν πράσεων καὶ τῶν ἀγορασιῶν καὶ τῶν καλῇ πίστει δικαστηρίων[6]. καὶ ψιλὸν σύμφωνον λέγεται τὸ ἄνευ ποιήσεως ἢ δόσεως γεγενημένον, ἐπὶ ποιήσει δὲ ἢ δόσει πραχθέν. οἷον ὁ ἀγοραστὴς εἰ μὲν ἐν ἀρχῇ συμφωνήσει δοῦναι τὸ τίμημα καὶ λαβεῖν ἐγγυητήν, τοῦτο οὐκ ἐστὶ ψιλὸν σύμφωνον, ἀλλ' ἰσχυρὸν καὶ παντὸς τρόπου ἀπαιτεῖται ὁ ἐγγυητής. εἰ δὲ γένηται χάρτης μετὰ τὴν πρᾶσιν, ἵνα σοι δώσω ἐγγυητὴν ἐπὶ τῷ τιμήματι, τότε ψιλόν ἐστι σύμφωνον, καὶ καταβληθέντος [τοῦ] τιμήματος οὐκ ἀναγκάζεται ὁ πράτης παρασχεῖν[7] τὸν ἐγγυητήν· παραγράφεται γὰρ τὸν ἀγοραστὴν ὡς ψιλὸν ἔχοντα σύμφωνον. ἐὰν δὲ μήπω κατέβαλε τὸ ὅλον τίμημα, ἀλλὰ τὸ ἥμισυ παρέσχε, τότε [οὐκ] ἐνάγει ὁ ἀγοραστὴς κατὰ τοῦ πράτου ὡς ἀπὸ τοῦ ψιλοῦ συμφώνου, ὁ δὲ ἀγοραστὴς οὐ καταβάλλει ἄλλως τίμημα τὸ λεῖπον, εἰ μὴ λάβῃ τὸν ἐγγυητήν, καὶ ἐναγόμενος παρὰ τοῦ πράτου κέχρηται τῇ τοῦ ψιλοῦ συμφώνου δυνάμει καὶ νικᾷ. καὶ καθόλου, ὅτε μὲν οὐδὲν ἐπωφελεῖται[8] ὁ πράτης, παραγράφεται ἐκ τοῦ τοιούτου συμφώνου τὸν ἀγοραστήν· ὅτε δέ τι κεχρεώστηται

---

[1] Cod. *μου*. [2] Legerim *πολλοῖς* aut *πολλά*. [3] Nempe marito neptis. [4] Nempe filia ejus. [5] Cf. Eustathii *μελέτην περὶ ψιλῶν συμφώνων* in Leunclavii IGR. II p. 192 sqq. [6] Cod. *ἐν δικαστηρίῳ*. [7] Cod. *κατασχεῖν*. [8] Legerim *ἐποφείλεται*.

τῷ πράτῃ, ἀγωγὴν ἔχει ὁ ἀγοραστὴς κατ' αὐτοῦ ἐκ τούτου δὲ τοῦ ψιλοῦ συμφώνου[1]. ταῦτα δὲ πάντα ἐφ' ὧν ἐξεφωνήθη τίτλων κρατοῦσι καὶ μόνον, οἷον ἐπὶ πράσεως ἀγορασίας συναλλαγμάτων καὶ τῶν καλῇ πίσει δικαστηρίων. φησὶ γὰρ βι. ιθ' τί. ια' [κεφ. νε'][2]· „ἐὰν συμφωνηθῇ ὁμολογηθῆναι τὸ τριπλοῦν ἢ διπλοῦν ἢ τετραπλοῦν, ἁρμόζει ἡ ἐπὶ τῇ πράσει ἀγωγὴ διηνεκῶς, οὐκ ἐπὶ τῷ δοθῆναι ἐγγυητὰς, εἰ μὴ καὶ τοῦτο συνέδοξεν, ἀλλ' ἐπὶ τῷ ψιλῶς ὁμολογῆσαι.“ καὶ τί. α' κεφ. ζ'[3]· „τὰ ὡρισμένα ἐπὶ μειώσει συμφώνου ἡνωμένα ἐστὶ τῷ συναλλάγματι, οἷον ἵνα[4] ἐγγυητὴς ἐπὶ τῷ διπλασιασμῷ δοθῇ. ἔνθα δὲ μὴ τίκτει τῷ ἀγοραστῇ ἀγωγὴν, συμβάλλεται αὐτῷ εἰς παραγραφὴν ἐναγομένῳ παρὰ τοῦ πράτου. εἰ δὲ πάντων ἀκεραίων ὄντων δόξει αὐξηνθῆναι ἢ μειωθῆναι τὸ τίμημα, δοκοῦσι λύειν τὴν προτέραν πρᾶσιν καὶ νέαν ποιεῖν.“

[ιγ'.] Ὅτι δανειστὴς καὶ χρεώστης ἐλθόντες εἰς δικαστήριον συνεφώνησαν πρὸς ἀλλήλους, καὶ ὁ δικάζων ἔγραψεν οὕτως· ἐπὶ τούτοις οὖν τοῦ ἐγγράφου γεγονότος καὶ τὰ συνδόξαντα διατρανοῦντος, καὶ τῆς ἀρεσκείας τοῦ δανειστοῦ καὶ τοῦ ὀφειλέτου διαφανοῦς γεγονυίας, προσήκατο τὴν συμφωνίαν ὁ δικάζων, καὶ κατὰ ταύτην τὴν συμφωνίαν ἀπόφασιν ἤνεγκε νόμοις στοιχῶν, οἵ φασιν, εἰ συμφωνήσουσιν δικαζόμενοι ποῖαν δεῖ γενέσθαι ψῆφον, αὕτη ἐκφωνείσθω· κατὰ τοῦτον οὖν τὸν νόμον τῆς συμφωνίας ἐπισκεφθείσης, καὶ μηδὲν ἐχούσης ἢ μαχόμενον νόμῳ ἢ κατὰ τῶν καλῶν τρόπων ἐκπεφωνημένον, ἀλλ' ἁπλῆς καὶ ἀπεριεργοῦ καὶ λυσιτελοῦς τῷ ἐναγομένῳ φανείσης, πρὸς τὰ συνδόξαντα καὶ ἀπόφασις ἀπιθύνθη[5].

[ιδ'.] Ὅτι ἐξ ἑτέρου γραφῆς ἕτερος οὐ βοηθεῖται. καὶ γὰρ δωρεὰν πεποίηκέ τις κτήματος πρός τινα ἐπί τισιν αἱρέσεσιν, ὁ δὲ τὴν δωρεὰν λαβὼν διαπεπώληκε τὸ κτῆμα πρὸς ἕτερον· ὁ δὲ τῶν δυνατῶν ὢν ἠνάγκασε τὸν ποιησάμενον τὴν δωρεὰν λαβεῖν παρ' αὐτοῦ καὶ ὀλίγον ποσὸν χρυσίου καὶ ἐπιβεβαιώσασθαι καὶ τὴν πρᾶσιν καὶ τὴν δωρεάν· εἶτα κινήσας ὁ τὴν δωρεὰν πεποιηκὼς κατὰ τοῦ κτήματος, καὶ λέγων μηδὲ τὴν δωρεὰν ἐῤῥῶσθαι διὰ τὸ μὴ πληρωθῆναι τὰς ἐν αὐτῇ αἱρέσεις, τὸ παρ' αὐτοῦ γεγονὸς πρὸς τὸν ἀγοραστὴν ἐπικυρω-

[1] Legerim ἀγ. μὲν οὐκ ἔχει ὁ ἀγ. κατ' αὐτοῦ, ἐκ τούτου δὲ τοῦ ψιλοῦ συμφώνου παραγράφεται αὐτόν. [2] Cf. Suppl. ed. Basil. Heimb. p. 284. [3] Ibid. p. 260. [4] Ex Tipucito supple: μὴ ἐπερωτηθῶ ἐπὶ διπλασιασμῷ· τὰ δὲ ἐπὶ προσθήκῃ οὐχ ἥνωνται τῷ συναλλάγματι, οἷον ἵνα. Haec nimirum propter ὁμοιοτέλευτα exciderunt. [5] Cod. ἀπηθ.

τικὸν ἔγγραφον τῆς δωρεᾶς ἐναντιούμενον εἶχεν αὐτῷ· ἀλλ' ὁ δικαστὴς ἔκρινε, μηδεμίαν ἔχειν ἰσχὺν τὸ τοιοῦτον ἔγγραφον εἰς τὸ βεβαίαν ποιεῖν τὴν δωρεὰν, εἰπὼν, ὡς εἰ μὲν πρὸς τὸν λαβόντα τὴν δωρεὰν γέγονε τὸ ἐπικυρωτικὸν, ἰσχυρὸν ἂν ἦν· ἐπεὶ δὲ πρὸς ἕτερον γέγονεν, οὐδὲν ὠφελεῖ πρὸς τὴν πρώτην δωρεάν· ἐλευθέρῳ γὰρ προσώπῳ δι' ἐλευθέρου προσώπου ἀγωγὴ οὐ προσπορίζεται. καὶ οὕτω μὲν ἀσθενὲς ἐποιήσατο τὸ ἐπικυρωτικὸν ἔγγραφον, ὅσον πρὸς τὴν δωρεὰν, τυπώσας καὶ ἀργεῖν[1] αὐτὴν, εἴγε μὴ τὰ ἐμφερόμενα ἐν αὐτῇ ἐξεπληρώθησαν. πρὸς δὲ τὸν λαβόντα τὸ ἐπικυρωτικὸν καὶ δόντα τὸ χρυσίον ἰσχυρὸν ἔδοξε τὸ ἔγγραφον πρὸς τὴν τοῦ χρυσίου ἀνάληψιν, ἀντιλογιζόμενον πρότερον τοὺς τόκους καὶ τὰς γεγοννίας ἐν τῷ κτήματι καινοτομίας, καὶ τότε τὸ περιττὸν ἀπαιτοῦντα.

[ιε'.] Βι. κγ' τί. γ' κεφ. νς'[2]· „Οὐ δύναταί τις πρόστιμον ἐπερωτᾶν ὑπὲρ τὴν τῶν νομίμων[3] ποσότητα."

[ις'.] Καὶ βι. ιθ' τί. α' κεφ. ιη'[4]· „Ἑστῶτα σῖτον πιπράσκων συνεφώνησας ἐπιγινώσκειν τὴν ἀπὸ τοῦ χειμῶνος βλάβην. οὐ δοκεῖς περὶ τοῦ συνήθους, ἀλλὰ τοῦ ἀμέτρου χειμῶνος λέγειν."

[ιζ'.] Καὶ κεφ. π'[5]· „Ὁ συμφωνήσας ἀναλύεσθαι τὴν πρᾶσιν, εἰ μὴ ἐντὸς τοῦδε τοῦ χρόνου καταβληθῇ τὸ τίμημα, εἰ[6] διαδραμούσης τῆς προθεσμίας καὶ τοῦ τιμήματος μὴ καταβληθέντος μὴ ὡς ἀπὸ τοιούτου συμφώνου κινήσει τὴν περὶ πράγματος ἀγωγὴν, ἀλλ' ὡς ἐκ τῆς περὶ τοῦ τιμήματος ἀγωγῆς τόκους ἀπαιτήσει, οὐκέτι δύναται ἐκ μεταμελείας τῷ εἰρημένῳ συμφώνῳ χρῆσθαι."

[ιη'.] Τί. ε' κεφ. ς' πρὸς τὸ μέσα[7]· „τὰ ἐπὶ βλάβῃ τοῦ ἑνὸς μέρους σύμφωνα ἡ ἀγαθὴ πίστις οὐ προσίεται, καὶ μάλιστα εἰ εὐλόγως τις ἠπατήθη."

[ιθ'.] Καὶ τί. ζ' κεφ. τελευταῖον[8]· Ὅτι „ἐάν τις πωλήσῃ κόρην ἐπὶ τῷ ἐλευθερωθῆναι ἐμπροθέσμως, μετὰ τὴν προθεσμίαν καὶ ἡ κόρη ἐλευθεροῦται, καὶ τὰ πρόστιμα οὐκ ἀπαιτεῖται, ἐπειδὴ ἡ τοῦ συμφώνου δύναμις τὴν ὀφείλουσαν παρὰ τοῦ πράτου δοθῆναι ἐλευθερίαν ἐπιτίθησιν."

---

[1] Cod. ἀργήν. [2] Heimb. c. 63. [3] Adde τόκων. [4] Cf. Suppl. ed. Basil. Heimb. p. 260. [5] Ibid. p. 261. [6] Cod. δὲ addit. [7] Cf. Suppl. ed. Basil. Heimb. p. 265. [8] Ibid. p. 269.

ΤΙΤΛΟΣ μϛ′.

Περὶ χρήσεως.

[α′.] Ἐὰν[1] ἔχῃ τὶς χρῆσιν πράγματός τινος, καὶ βουληθῇ ὁ δεσπότης ἐκποιήσασθαι τὸ πρᾶγμα, ἐνέχεται παρασχεῖν τῷ τὴν χρῆσιν ἔχοντι τὸ τρίτον τῆς τιμῆς.

[β′.] Ὅτι ἐπὶ ἀποτιμήσεως ἀγρῶν ἢ οἴκων προσώπῳ τινὶ καταλιμπανομένης ἐν διαθήκῃ οἱ χρόνοι ψηφίζονται τοῖς πρὸς οὓς κατελείφθη ἡ χρῆσις, ἄλλως μὲν ἐπὶ νέου, ἄλλως δὲ ἐπὶ πρεσβύτου, καὶ ἄλλως ἐπὶ ἀνήβου, καὶ καθεξῆς ὁμοίως, μὴ ὑπερβαινομένου τοῦ λ′ χρόνου. ἡ γὰρ μακρότης τοῦ χρόνου, ἣ καὶ ἐπὶ ἐμφυτεύσεως λαμβάνεται, ἡ τῆς τριακονταετηρίδος ἐστίν. ἐπὶ δὲ τῆς ἀϊδίου χρήσεως, οἷον ὡς ὅταν ἐκκλησίᾳ καταλειφθῇ χρῆσίς τινος ἢ ἱερῷ οἴκῳ ἢ ὡς ὅταν ...[2] οὔπερ ἔχω οἰκήματος ἢ τοῦ πράγματος, καὶ πρὸς τὸ τρίτον τυποῦται τὸ τίμημα. θὲς γάρ, γ′ νομισμάτων οὔσης τῆς πράσεως[3] ἓν νόμισμα ἀποτιμᾶται, ἤτοι νομίσματα κδ′[4].

[γ′.] Ὅτι[5] ὅτε λεγατεύσω ἀγρὸν, οὕτως εἰπών· ἐχέτω τὴν χρῆσιν τοῦ ἀγροῦ ὁ δεῖνα καὶ τὴν δεσποτείαν ὁ δεῖνα, καὶ λάβωσι τοῦτον, πολλάκις δὲ ἐκνικωμένου τοῦ ἀγροῦ θελήσωσιν ἀμφότεροι δοῦναι τὴν τιμὴν καὶ ἔχειν αὐτὸν, τότε ὁ μὲν τὴν χρῆσιν ἔχων δίδωσι τὸ τρίτον τοῦ τιμήματος, ὁ δὲ τὴν δεσποτείαν τὸ δίμοιρον. ἐὰν δὲ λεγατεύσω ἀγρὸν καὶ εἴπω· ἐχέτω τὴν χρῆσιν ὧδε καὶ τὴν δεσποτείαν ἄλλος, καὶ μὴ προσθήσω ῥητῶς ἐξαιρουμένης τῆς χρήσεως, ἀπαιτεῖ ὁ τὴν δεσποτείαν ἔχων παρὰ τοῦ χρῆσιν ἔχοντος τὸ ἥμισυ τῆς χρήσεως.

[δ′.] Ὅτι ἂν καταλείψῃ τὶς τὸν οἶκον αὐτοῦ, ἄλλῳ μὲν τὴν χρῆσιν ἄλλῳ δὲ τὴν δεσποτείαν, δεῖ ὑποδιαιρεῖν οὕτως· εἰ μὲν ἔγραψεν, ἀφίημι τῷ δεῖνι τὴν τοῦ οἴκου χρῆσιν, ἑτέρῳ δὲ γυμνὴν τὴν δεσποτείαν, οὐδεμίαν ἔχει ἀγωγὴν κινεῖν κατὰ τοῦ ἔχοντος τὴν χρῆσιν ὁ λαβὼν τὴν δεσποτείαν τοῦ οἴκου μου. εἰ δὲ γράψει οὕτως· ἀφίημι τῷ δεῖνι τὴν δεσποτείαν τοῦ οἴκου μου, τῷ δὲ δεῖνι τὴν χρῆσιν, ἀναγκάζεται ὁ ἔχων τὴν χρῆσιν δοῦναι μέρος τῆς χρήσεως καὶ τῷ ἔχοντι τὴν δεσποτείαν. ποιεῖ γὰρ δεσπότην ἄνευ χρήσεως, ἢ ποῦ μείνει ὁ τὴν κυρίαν ἔχων τοῦ οἴκου; οὕτω τοῦτο ἔκρινεν ὁ μάγιστρος.

---

[1] Harm. II, 10, 12. [2] Lacuna in Cod. non est conspicua, sed excidisse quaedam manifestum est. Cf. Harm. l. l. [3] Legerim προσόδου. [4] Imo κε′. [5] Harm. II, 10, 12.

[ε΄.] Ὅτι δίκης κινηθείσης παρὰ τῷ βέστῃ περὶ ἀποτιμήσεως χρήσεως τοιαύτην αὐτὸς ἐποιήσατο τὴν ἀπόφασιν. μητρὸς γὰρ ἐχούσης τὴν χρῆσιν τοῦ ὑποβόλου καὶ ὡς δευτερογαμησάσης πᾶσαν τὴν χρῆσιν παραχωρησάσης τῷ υἱῷ ἐν προικὶ, εἶτα τοῦ υἱοῦ πρὸς τὴν μνηστὴν[1], ἀντιτέθεικεν ἡ μήτηρ τὴν παραχώρησιν τῆς χρήσεως τοῦ ὑποβόλου πρὸς τὸν παῖδα, λέγουσα μηδαμῶς χρῆναι ζημιωθῆναι ἃ ἦσαν ἐξ αὐτοῦ, ἀλλὰ δοθῆναι τὸ πρόστιμον. εὑρέθη οὖν ὅτι τὸ ὑπόβολον λίτραι δ΄ ἦσαν χρυσίου, καὶ ἐτιμήσατο ὁ μάγιστρος[2] τὴν χρῆσιν τῶν δ΄ λιτρῶν λίτρας β΄. ἔλεγε γὰρ, ὅτι ἡ χρῆσις πολύμορφον δέχεται τὴν ἀποτίμησιν· εἰ μὲν γὰρ ἐστὶν ὁμαδιαία, ἔχει καὶ πρόσοδον πολλὴν, ἐπειδὴ οὐδὲν εἰς αὐτὴν ἐξοδιάζει ὁ ἔχων τὴν χρῆσιν, οὐ γὰρ φυτεύει οὔτε ἀεροῖ, ἡ χρῆσις τούτου πολλοῦ τιμᾶται· εἰ δὲ οἶκος ἐστὶν ἔχων ὀρθομαρμαρώσεις καὶ ποικιλίας διαφόρους καὶ πλήθη οἰκημάτων καὶ κεραμωμάτων, ἐνοίκιον δὲ μηδὲ ἓν ἢ ὀλίγον σωρεύεται, τούτου ἡ χρῆσις οὐδὲν ἀξιοῦται, εἰ μὴ καὶ μᾶλλον ἐπιζήμιός ἐστι τῷ ἔχοντι ταύτην. οὕτως οὖν διῄρει ὁ πατρίκιος[3], καὶ ἐποίησε τὴν χρῆσιν τῶν δ΄ λιτρῶν τοῦ χρυσίου λίτρας β΄, καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλ᾽ ἠρευνήθη ἡ χρῆσις τῆς μητρὸς, καὶ εὑρέθη οὖσα χρόνων ν΄, καὶ πάλιν διῄρησε κατὰ τὸν νόμον οὕτως εἰπών· ὅτι[4] ὁ τέλειος χρόνος τῆς χρήσεως ὁ τριακοστός ἐστιν· ἐὰν καταλειφθῇ διετεῖ ἢ τριετεῖ ἢ κ΄ ἢ κθ΄ ἄγοντι χρόνον, πρὸς λ΄ χρόνους ψηφίζεται ἡ χρῆσις μέχρι τοὺς κλιμακτῆρας καὶ τὰς μεθηλικιώσεις· ὑπὲρ δὲ τὰ λ΄ ἔτη ὄντι ἐὰν καταλειφθῇ τινι χρῆσις, μέχρι τῶν ξ΄ ψηφίζεται, καὶ ὅσου ἂν χρόνου ἐστὶν ὁ ἄνθρωπος, τὸ λεῖπον πρὸς ξ΄ λαμβάνει· τυχὸν ἐὰν εὑρέθη μ΄ ὢν, οὐ λαμβάνει πρὸς λ΄, ἀλλὰ πρὸς κ΄, καὶ ἐφεξῆς ὁμοίως· ἐὰν δὲ ξ΄ καταλειφθῇ χρῆσις, μόνον ε΄ ἐνιαυτῶν οὗτος λαμβάνει. ταῦτα δὲ ἀπὸ τοῦ νόμου τοῦ περὶ φαλκιδίου διῄρει ὁ πατρίκιος, ἔνθα πλατύτερον τὰ τοιαῦτα κεῖνται, ἤγουν εἰς βι. μα΄ τί. α΄. εὑρὼν[5] οὖν ὡς εἴρηται τὴν μητέρα ν΄ οὖσαν χρόνων δέδωκεν αὐτῇ ι΄ ἐτῶν χρῆσιν, πρὸς λ΄ διελὼν τὰς β΄ λίτρας τῆς χρήσεως τὸ τρίτον τούτων ἤτοι νομίσματα μη΄ δέδωκε τῇ μητρὶ, τὰ δὲ λοιπὰ ἀφῆκε τῷ υἱῷ.

[ς΄.] Ἐὰν πολλῶν ἀγρῶν ὑπεξέλῃς τῶν καρπῶν τὴν χρῆ-

---

[1] Nempe hic nonnulla exciderunt. [2] Cf. tit. XXV c. 28 not. 3. [3] Nempe Eustathius, qui supra ὁ μάγιστρος. [4] Harm. II, 10, 13. [5] Cf. Harm. II, 10, 14. Quamquam is locus potius indicare videatur, in nostro aliquid excidisse.

σιν, ἣν σὺ ὤφειλες ἔχειν, εἰπὼν αὐτὴν πέτρου εἶναι, οὖσαν παύλου ἢ μηδενὸς, οὐκ ἐνάγω σοι, ἕως ἂν ἀποθάνῃ πέτρος ἢ καὶ[1] ἐναλλαγὴν τῆς καταστάσεως ὑποστῇ.

ΤΙΤΛΟΣ μζʹ.

Περὶ ἀποκρυβῆς δικαιωμάτων καὶ πίστεως αὐτῶν καὶ λοιπῶν.

[αʹ.] Ὁ δικαίωμα κτήματος τινὸς ἀποκρύπτων καὶ δίκης κινουμένης μὴ ἀποδιδοὺς τοῦτο, ἐκνικωμένου τοῦ κτήματος ἀναγκάζεται τὸ διαφέρον δοῦναι τῆς δίκης ἤγουν τὸ τίμημα τοῦ κτήματος· καὶ μάλιστα εἰ δεφένσωρ εἴη ἢ κληρονόμος ἐγκάτοχος, οἵτινες ἀναγκάζονται διεκδικεῖν τὰ παρ᾿ αὐτῶν ἢ τῶν διαθεμένων ἀποδεδομένα ἢ ὑπεσχημένα. μόνος γὰρ ἐκεῖνος οὐκ ἀναγκάζεται καθ᾿ ἑαυτοῦ προφέρειν δικαιώματα κατὰ τὴν τοῦ νόμου διάστιξιν, ὁ λέγων καὶ διαβεβαιούμενος μεγάλα βλάπτεσθαι ἐκ τῆς προκομιδῆς αὐτῶν καὶ ὅρκῳ τοῦτο πιστούμενος, καὶ ἁπλῶς τὰ ἐπίλοιπα τούτων προβαίνει, καθὼς οἱ νόμοι διορίζονται. διαθήκην δὲ καὶ κωδίκελλον οὐ δύναταί τις κατέχειν, ἀλλὰ πάντες ἀναγκάζονται προφέρειν αὐτά· κοινὰ γάρ εἰσι δικαιώματα.

[βʹ.] Βι. κβʹ τί. αʹ κεφ. κθʹ[2]· „Τῷ ὀνόματι τῶν δικαιωμάτων δηλοῦνται πάντα τὰ τὴν ὑπόθεσιν δεικνύοντα. διὸ καὶ τὰ μαρτύρια καὶ οἱ μάρτυρες τάξιν δικαιωμάτων ἐπέχουσιν."

[γʹ.] Κεφ. ξγʹ· „Ἐὰν ὁ τῶν δημοσίων φροντιστὴς ἐποίησεν ἀπόδειξιν τῷ τοῦ δημοσίου χρεώστῃ, καὶ συμβῇ ταύτην ἀπολέσθαι, χρὴ πρὸς ἀπόδειξιν τοὺς λόγους τοῦ δημοσίου προσφέρεσθαι."

[δʹ.] „Εἴ[3] τις διάφορα ὑπὲρ αὐτοῦ προφέρει δικαιώματα, μάχονται δὲ ἀλλήλοις, ταῦτα ἀνίσχυρα αὐτῷ ἔσται καὶ ἀνωφελῆ."

[εʹ.] „Ἡ[4] διάταξις κελεύει τὰς πράσεις καὶ ἐναλλαγὰς καὶ δωρεὰς ἐλάττονας τῶν φʹ νομισμάτων καὶ δόσεις ἀῤῥαβώνων καὶ πάντα τὰ ἔγγραφα καὶ συναλλάγματα καὶ τὰς ἐγγράφους διαλύσεις μὴ ἄλλως ἐῤῥῶσθαι, ἐὰν μὴ εἰς καθαρὸν ἐνεχθῶσι καὶ ὑπογραφῶσι παρὰ τῶν μερῶν· καὶ εἰ διὰ συμβολαιογράφων γίνονται, καὶ τούτου δέξωνται ἀποτέλεσμα." λέγει τὸ κόμβλωμα.

---

[1] Cod. καὶ ἡ. [2] Heimb. c. 30. [3] Basil. XXII, 1, 73. [4] Basil. XXII, 1, 76.

[ϛ'.] „Ἡνίκα[1] περὶ τῆς πίστεως συμβολαίων γένηται ζήτησις, [καὶ] ὁ ἕτερος τῶν δικαζομένων φησὶν ἐν ἑτέροις τόποις ἔχειν τοὺς μάρτυρας· ὁ δικαστὴς εἰ συνίδοι, πέμπονται οἱ πρωτότυποι ἢ οἱ ἐντολεῖς αὐτῶν ἐν τοῖς τόποις, ἐν οἷς οἱ μάρτυρες διάγουσιν, ἵνα ἢ βεβαιουμένου τοῦ γράμματος ἢ μὴ βεβαιουμένου ὑποστρέψωσι, καὶ τότε γίνεται ἡ περὶ τοῦ πράγματος ἀπόφασις."

[ζ'.] Ὅτι ὁ προφέρων τινὰ γραφὴν καὶ μὴ ἀποδεικνὺς αὐτὴν ἀληθῆ[2], ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει οὕτως ἐσημειώσατο ὁ μάγιστρος· ἐπεὶ τὰ πολλὰ τῶν ἐγγράφων κακότητ.. μαρτύρ.. ἢ λανθανούσης τῆς αὐτῶν ὑπολήψεως ὅλως παραλαμβάνονται τὴν ἀρχὴν εἰς μαρτύριον ἢ μεταβληθέντες ὕστερον, τρεπτὸν γὰρ ὡς ἐπίπαν ὁ ἄνθρωπος, ἀτονοῦσιν αἱ πίστεις τῶν ἐγγράφων, ἀλλ' οὐ τοῦ πάντα σκαιότητι διαβάλλεσθαι τὰ ἔγγραφα τῶν χρωμένων αὐτοῖς διὰ τὸ φιλάγαθον καὶ φιλάνθρωπον ....[3] πολλάκις παρέχουσιν.

ΤΙΤΛΟΣ μη'.

Περὶ τῶν ἀδιαθέτως τελευτώντων καὶ πῶς κληρονομεῖται.

[α'.] Ὅτι[4] ἐπὶ τῶν ἀδιαθέτως τελευτησάντων ἐκ πλαγίου συγγενεῖς ἐχόντων [καὶ μὴ] παῖδας ἐλευθεροῦνται οἱ δοῦλοι, καὶ οὐ δύνανται οἱ κληρονόμοι ἢ ἐξ ἀδιαθέτου συγγενεῖς ἕλκειν τούτους εἰς δουλείαν. δίδοται δὲ τὸ τρίτον τῆς ὑποστάσεως εἰς ψυχικὸν μισθὸν ἐκ συνηθείας, καὶ τὸ τίμημα δὲ τῶν ἐλευθερουμένων οἰκετῶν καταλογίζεται τὸ τρίτον[5].

[β'.] Ὅτι[6] οἱ νόθοι παῖδες ἐξ ἀδιαθέτου κληρονομοῦσι τοῦ πατρὸς, μὴ ὄντων γνησίων παίδων, εἰς οὐγγίας β' μετὰ τῆς μητρός. ὁ δὲ πατὴρ ἐνδιαθήκως, ἔχων μὲν παῖδας γνησίους, γράφει τούτους κληρονόμους μετὰ τῆς μητρὸς εἰς οὐγγίαν μίαν· μὴ ἔχων δὲ παῖδας ἢ ἀνιόντας ἢ ἐγγόνους, καὶ εἰς ιβ' οὐγγίας δύναται γράφειν αὐτούς. ἀνιόντας[7] δὲ ἔχων ἢ ἑτέρους, οἷς[8] ὁ νόμος ἀναγκάζει τὸ τρίτον καταλιμπάνειν τῆς ἰδίας οὐσίας,

---

[1] Basil. XXII, 1, 77. [2] Videntur quaedam deesse, v. g. πλαστογραφίας δίκην ὑφέξει. Cf. Basil. XXII, 1, 58. Etiam quae sequuntur ita corrupta sunt, ut vix sanari possint. [3] In Cod. haec lacuna conspicua est. [4] Harm. I, 18, 22. V, 8, 78. [5] Harm. λογίζεται εἰς τὸ τρίτον. Malim καταλ. τῷ τρίτῳ. [6] Cf. infra tit. LIV c. 4. [7] Harm. V, 9, 12. [8] Cod. οὗς.

καὶ εἰς τὸ δίμοιρον τῆς ὑπάρξεως γράφει τοὺς νόθους κληρονόμους.

[γ΄.] Βι. με΄ τί. ε΄ κεφ. ρκζ΄[1]. Ὅτι τελευτῶντός τινος ἀδιαθέτου, ἐὰν ὦσιν ἀδελφοὶ δύο καὶ ἀδελφόπαιδες ε΄, εἰς γ΄ μερίδας γίνεται ἡ κληρονομία· ὅσοι γὰρ ἂν ὦσι παῖδες, τῷ τοῦ οἰκείου πατρὸς ὑπεισέρχονται προσώπῳ καὶ τοσοῦτον λαμβάνουσιν, ὅσον ὁ πατὴρ αὐτῶν ἔμελλε λαμβάνειν. καὶ ἐὰν ὕπεστι καὶ ἐκ τῶν ἀνιόντων τὶς, κληρονομεῖ ὁμοίως. εἰ[2] δὲ οὐκ εἰσὶν ἀδελφοὶ, ἀλλ' ἀδελφόπαιδες προτελευτησάντων τῶν ἀδελφῶν, κατὰ πρόσωπα καὶ κεφαλὴν γίνεται ἡ κληρονομία, τουτέστιν ὅσοι εἰσὶν, [ἐξίσου εἰς τὴν κληρονομίαν καλοῦνται.] εἰ δὲ οὐκ εἰσὶν ἀδελφοὶ, ἀλλ' ἀδελφόπαιδες καὶ θεῖοι, οἱ ἀδελφόπαιδες προτιμηθήσονται. καὶ τοῦτο τὸ προνόμιον τοῖς ἀδελφόπαισι δίδοται· ἀδελφοπαίδων γὰρ μὴ ὄντων, τότε ὁ ἐγγύτερος τῷ βαθμῷ κληρονομεῖ.

[δ΄.] Ὅτι οἱ τρεῖς ἐξάδελφοι προαπελθόντες αὐτοῦ[3], δήπου καὶ ἡ ἐν τῇ ἄκρᾳ τῆς συγγενείας προσληφθεῖσα εἰς τὴν κληρονομίαν κληθήσεται· ἐπεὶ τῷ νόμῳ[4] τοῦτο δοκεῖ, ὃς οὕτως· „ἀνὴρ καὶ γυνὴ ἐξ ἀδιαθέτου[5] ἀμοιβαδὸν ἑαυτοῖς εἰς ὁλόκληρον κατὰ τὸ ἀρχαῖον νόμιμον ὑπεισερχέσθωσαν, ὁσάκις ἀργεῖ πᾶσα ἀνιόντων ἢ κατιόντων νόμιμος ἢ φυσικὴ διαδοχὴ, τοῦ δημοσίου ἀποκλειομένου.“

[ε΄.] Ὅτι εἴ τις ἀνὴρ καὶ γυνὴ μηδένα ἔχοντες συγγενῆ συνέλθοιεν ἀλλήλοις εἰς γάμου κοινωνίαν, πρῶτοι καὶ μόνοι ἐκ τῆς δοκούσης τῷ νόμῳ συγγενείας ἀλλήλους διαδέχονται.

[ϛ΄.] Ὅτι[6] ὀγδόου βαθμοῦ συγγενὴς, κἂν μὴ ὑπεισέλθῃ τὴν κληρονομίαν, ἔχει τὴν ἐκ τοῦ νόμου βοήθειαν.

[ζ΄.] Ὅτι γυνὴ καὶ μοιχείαν πλημμελήσασα κληρονομεῖ τὸν υἱὸν ἐξ ἀδιαθέτου.

[η΄.] Ὅτι τῆς μοιχαλίδος τὴν περιουσίαν λαμβάνει τὸ μοναστήριον, οὐ μὴν καὶ τὰς κληρονομίας τῶν ἀδιαθέτων τελευτώντων παίδων αὐτῆς.

[θ΄.] Ὅτι ἀδιαθέτου τελευτησάσης μητρὸς ἐχούσης παῖδας ἐκ δύο γάμων τῆς προικὸς ταύτης ὁ μάγιστρος οὕτως ἀπήτησε καὶ ἐμέρισε κατὰ τὸν νόμον τὸν λέγοντα, μητρὸς ἀδιαθέτου θανούσης ἐπὶ παισὶν ἐκ δύο γάμων τὰ μὲν αὐτῆς οἰκεῖα

---

[1] Allegari videtur Nov. 127, quae tamen lib. XLV tit. 5 Basil. non extat.
[2] Harm. V, 8, 15. [3] Ἀνακόλουθον, nisi forte plura exciderint. [4] Basil. XLV, 5, 2. [5] Cod. videbatur habere ἔχει. [6] Harm. V, 8, 17. Cf. infra tit. XLIX c. 30, tit. LIV c. 9.

πράγματα τοὺς ἐξ ἀμφοτέρων τῶν γάμων παῖδας κληρονομεῖν, τὴν δὲ προγαμιαίαν δωρεὰν [τοὺς] ἑκατέρας γονῆς τὴν τοῦ οἰκείου πατρὸς λαμβάνειν. .... οὖσαν[1] λίτρας θ' ἔφθασε ποιεῖν δωρεὰν πρὸς ἕνα τῶν υἱῶν ἡ μήτηρ λίτρας β', καὶ τὰ ἐπὶ τῇ δίκῃ ἀναλώματα νομίσματα κδ' καὶ ἡ ἔξοδος τῆς κηδείας καὶ τὰ λοιπὰ ἐμέρισεν ἐπίσης. ἐπεὶ δὲ ὁ εἷς τῶν ἀδελφῶν ἀφήλιξ ἦν, ἐφάνησαν δὲ οἱ ἄλλοι ἐλευθερῶσαι μητρῷα ἀνδράποδα, οὐκ ἐδέξατο τοῦτο διὰ τὸ μὴ περιγραφῆναι τὸν ἀφήλικα, ἀλλὰ τὸ ἐπιβάλλον αὐτῷ ἐκ τῆς τιμῆς τῶν ἐλευθερωθέντων ἀπήτησε τοὺς ἄλλους ἀδελφούς.

[ι'.] Ὅτι ἀδιαθέτου τινὸς τελευτήσαντος καὶ δύο ἀδελφὰς καταλιπόντος καὶ παῖδας ὀκτὼ τριῶν ἀδελφῶν, εἰς ε' μερίδας ὥρισε γενέσθαι τὴν κληρονομίαν ὁ μ ά γ ι σ τ ρ ο ς, γράψας· ἐκρίθη τὸν κλῆρον εἰς ε' διαιρεθῆναι κατατομάς, καὶ ἀνὰ μίαν μὲν λαβεῖν τὰς δύο ἀδελφάς, μίαν δὲ τοὺς παῖδας τοῦδε[2] καὶ μίαν τοῦδε καὶ ἑτέραν τοῦδε. εἰ μὲν γὰρ οὐκ ἦσαν ἀδελφοὶ τῷ τελευτήσαντι ἀλλ' ἀδελφόπαιδες μόνοι, προσωπικῶς εἴτ' οὖν κατὰ κεφαλήν, ὥσπερ ὁ νόμος φησί, διανέμησις γέγονεν ἄν· ἐπεὶ δὲ δύο μὲν εὑρέθησαν ἀδελφαί, τριῶν δὲ παῖδες ἀδελφῶν, κατὰ σειρὰν ἡ κληρονομία προέβη πέντε δεξαμένη τομάς.

[ια'.] Ὅτι[3] ἀδιαθέτου τινὸς τελευτήσαντος, καὶ ἔχοντος ἀπὸ πατρὸς πρώτας ἐξαδέλφας δύο καὶ ἐκ μητρὸς ὁμοίως δύο, ὁ μ ά γ ι σ τ ρ ο ς ἔγραψεν οὕτως· ἐκ τριῶν οὖν θείων τοῦ ἀπελθόντος τέσσαρες ἐκφυεῖσαι γυναῖκες, ἃς ἐξαδέλφας τούτου ἡ συνήθεια κατονομάζει, οὐχὶ κατὰ σειρὰν ἤχθησαν εἰς τὴν κληρονομίαν, ἀλλὰ κατὰ κεφαλήν, ὅπερ ὁ ῥωμαῖος ἴν κάπητα καλεῖ. τὸν κλῆρον διαλαχεῖν ἐκρίθη εἰς δ' διαιρούμενον, ἐφ' ᾧ πρότερον ἐξαιρεθῆναι τὸ τρίτον τῆς περιουσίας εἰς ψυχικὴν ὠφέλειαν τοῦ μεταστάντος.

[ιβ'.] Ὅτι τὸ ἀσσάριον, ὡς ὁ δ ι ο ν ύ σ ι ο ς[4] γράφει, χαλκοῦν ἐστι νόμισμα βάρος λιτριαῖον, τὸ δὲ τάλαντον ρκε'[5] λιτρῶν χαλκοῦν. γράφει γὰρ οὕτως· ἐτιμήσαντο τὸν ἄνδρα δισχιλίων ἀσσαρίων. ἦν μὲν[6] ἀσσάριον τότε νόμισμα βάρος λιτριαῖον, ὥστε τὸ σύμπαν ὄφλημα ταλάντων ις' γενέσθαι εἰς ὁλκὴν χαλκοῦ.

---

[1] Nonnulla exciderunt, licet in Cod. lacuna non appareat. [2] Cod. *τούτων*. [3] Harm. V, 8, 16. [4] Dionysius Halicarnass. Antiquit. Rom. IX, 27. ed. Reiske tom. III p. 1818 lin. 12. [5] Cod. *λεγάτον εἰς ε'*. [6] Cod. *ἢ μή*.

Τ Ι Τ Λ Ο Σ μθ'.

Περὶ γάμων θεμιτῶν[1] καὶ φθορᾶς παρθένων καὶ λοιπῶν καὶ περὶ ἐκθέσεως.

[α'.] Οὐ κωλύονται δύο ἀδελφοὶ συνέρχεσθαι εἰς γάμον δευτέραις ἐξαδέλφαις ἐξ ἑτέρου γένους. καὶ ὅτι πολλάκις τὸ παράνομον ἀναιρεῖ τὸ ἔννομον. ἐὰν γὰρ ἀδελφῶν δύο ὄντων φθάσῃ τούτων ὁ εἷς μοιχεῦσαί τινα γυναῖκα, εἶτα ὁ ἀδελφὸς τούτου ποιήσῃ τινὰ μνηστείαν πρὸς τὴν ἀδελφὴν τῆς μοιχαλίδος, διαλύεται ἡ μνηστεία· τὸ δὲ ἐναντίον, ἐὰν ὁ εἷς τῶν ἀδελφῶν ἔχῃ γυναῖκα, καὶ ὁ ἕτερος μοιχεύσῃ τὴν ἀδελφὴν τῆς γυναικὸς τοῦ ἀδελφοῦ, οὐ λύει τὸν γάμον τοῦ ἀδελφοῦ, ἀλλ' ἐκεῖνος τιμωρεῖται.

[β'.] Ὅτι ὅταν μὲν γένηται ἔννομος μνηστεία, εἶτα ἀτελὴς ἱερολογία, πληρώσῃ δὲ τὰ ιβ' ἔτη ἡ γυνὴ παρὰ τῷ ἀνδρί, μὴ μεμψαμένου τοῦ ἀνδρὸς ἐντὸς τῶν ιβ' ἐνιαυτῶν, συνίσταται ὁ γάμος, καὶ οὐδὲ διὰ δόσεως προστίμων λύεται. καὶ ὁ μάγιστρος τοιαύτην ἔκρινεν ὑπόθεσιν· ὁ παρασκότομος[2] γαμβρὸς ἀγαγόμενος ἔννομον μνηστείαν ἐποιήσατο, εἶτα ἀτελῆ ἱερολογίαν· μετὰ ταῦτα ἐξῆκεν ὁ ιβ' χρόνος τῆς κόρης, καὶ μεταμελον λαβὼν αὐτὸς ἐπειρᾶτο ἀνατρέπειν τὸν γάμον· ἀλλ' οὐ προσεδέξατο τοῦτον κινοῦντα ὁ πατρίκιος ἥπερ αἰτίαν προβαλλόμενον, ὡς ἀπολειφθῇ τοῦ οἴκου πολλάκις ὁ γαμβρός, καὶ ὡς οὐκ εὐσχημόνως εἴη βιοῦσα, ἀλλ' ἔκρινεν, ἐπεὶ ἡ μνηστεία ἐννόμως προέβη καὶ ἱεροτελεστία γέγονεν, εἰ καὶ ἐν ἀτελεῖ χρόνῳ ἐτελέσθη, ἐξεῤῥύει δὲ ὁ δωδεκαετὴς χρόνος μὴ μεμψαμένου αὐτοῦ τὸν γάμον καὶ μὴ διὰ προστίμου δόσεως λύσαντος, τοῦτον εἶναι ἀῤῥαγῆ καὶ ἄλυτον. καὶ τέθεικε τῇ κρίσει νόμον[3]· „ὁ κόρην ἥττονα τῶν ιβ' ἐτῶν ἀγαγόμενος“ καὶ ἑξῆς, καὶ ἥρμοσε τὸ ῥητὸν[4] τὸ λέγον· „ἡ ἥττων τῶν ιβ' ἐτῶν γαμηθεῖσα τότε γίνεται ἔννομος γαμετή, ὅταν παρὰ τῷ ἀνδρὶ πληρώσῃ τὰ ιβ' ἔτη,“ ἑρμηνεύων, ὅτι τὸ παρὰ τῷ ἀνδρὶ τὸ εἰρημένον τῷ νόμῳ οὐ τὸ δι' ὑπνομάχης[5] ἔχειν αὐτὴν τοῦτον ἢ εἰς μίαν κατακεκλεῖσθαι οἰκίαν σημαίνει, ἀλλὰ τὸ τὴν γαμικὴν διάθεσιν φυλάττεσθαι παρίστησι· τοῦτο δὲ δείκνυται ἐκ τοῦ μὴ ἐντὸς τῶν ιβ' χρόνων πεμφθῆναι παρά τινος τῶν μερῶν διαζύγιον διὰ μαρ-

---

[1] Index: *γάμου ἀθεμίτου,* quod praestare crediderim. [2] Cod. *παρασκο*$^{\tau\mu}$. [3] Basil. XXVIII, 1, 7. [4] Basil. XXVIII, 4, 3. [5] Cod. videbatur habere *ὑπομάχης*.

τύρων ζ' ἐφήβων ῥωμαίων, κατὰ τὸν λέγοντα νόμον[1]· „καὶ ἐπὶ τῇ διαλύσει τῆς μνηστείας δεῖ τελεῖσθαι διαζύγιον.“ ὡς εἰ μὲν ἐντὸς τοῦ ιβ' ἐνιαυτοῦ γενομένης ἐννόμου μνηστείας καὶ ἱερολογίας μέμψεταί τις τῶν μερῶν τὸν γάμον, τότε διὰ προστίμου δόσεως λύειν δύναται τὸν γάμον· εἰ δὲ διέλθῃ ὁ ιβ' χρόνος, οὐ δεῖ νόμους ἀπηριθμημένους προβάλοιτο[2]. τὸ δὲ ἐννόμου γενομένης μνηστείας καὶ ἱεροτελεστίας ἐν ἀτελεῖ χρόνῳ διὰ προστίμου δόσεως λύεσθαι τὸν γάμον, δείκνυται ἐκ τοῦ λέγειν τῶν μερῶν[3]· τὸ γὰρ μετὰ τὴν εὐλογίαν διΐστασθαι, τοῦτο ἂν εἴη μνηστείας ἀληθῶς[4] λύσις. ὅπερ καὶ ὁ κανὼν[5] τῆς ς' συνόδου φησὶν, ὅτι „δύναται ἡ μνηστὴ τοῦ μνηστῆρος ἐν τοῖς ζῶσιν ὄντος“ καὶ τὰ ἑξῆς.

[γ'.] Ὅτι ἐπὶ τῶν ἐκ πλαγίου συγγενῶν ἄχρις τοῦ[6] ἑβδόμου βαθμοῦ κωλύεται ὁ γάμος, καὶ οὐ δύναται λαβεῖν ὁ δισεξάδελφος τὴν τρίτην ἐξαδέλφην[7]. ἐπὶ δὲ τῶν ἐξ ἀγχιστείας ὁ ἕβδομος βαθμὸς οὐ κωλύεται[8]. ἐπὶ μέντοι κληρονομίας καὶ ὁ ὀγδόου βαθμοῦ συγγενὴς καλεῖται.

[δ'.] Ὅτι[9] ὁ τοῦ σολομῶντος υἱὸς ἱμέριος πρωτοσπαθάριος ἠράσθη συγκλητικῆς, θυγατρὸς [τοῦ] πρωτοσπαθαρίου τειχιώτου, καὶ ἐμίγη καὶ διεπαρθένευσεν αὐτὴν λάθρα παραγνώμην τοῦ πατρός. εἶτα ἐγκύου γενομένης τῆς κόρης ἔγνω τοῦτο ὁ πατὴρ, καὶ ὁ ἱμέριος μετὰ τῆς κόρης τῇ τοῦ θεοῦ προσέδραμον ἐκκλησίᾳ, καὶ ὡμολόγησε τὴν διάθεσιν τοῦ γάμου, ἀλλὰ τοῦ πρωτοσπαθαρίου σολομῶντος ἔτι περιόντος διὰ τὴν ὑπεξουσιότητα τὸν γάμον ὑπερετίθετο. τελευτᾷ ὁ σολομῶν, καὶ ὁ ἱμέριος τὸν τῆς γυναικὸς ἀπαρνεῖται γάμον, καὶ πρὸς ἕτερον ἀποκλίνειν ἐπείγετο. κινεῖται ἐπὶ τοῦ ἱπποδρομίου ἡ δίκη, καὶ δικάζει πρότερον ὁ μακαρίτης ἀργυρόπουλος[10], ὃς οὐ μετὰ μακρὸν ἐβασίλευσε, καὶ ὁ τορνίκιος καὶ οἱ λοιποὶ δικασταὶ, μὴ παρόντος τοῦ πατρικίου εὐσταθίου, καὶ γίνεται τρίβη μεγάλη τῆς δίκης μὴ δυναμένων τῶν κρινόντων περατῶσαι τὴν δίκην διὰ

---

[1] Basil. XXVIII, 7, 9. [2] Sic Codex. Legerim: *οὐ δύναται, ἵνα μὴ νόμους τοὺς ἀπηρ. παραβαίνῃ.* [3] Excidisse quaedam crediderim. [4] Cod. videbatur habere: *μνηστεία ἀληθοῖς.* [5] Hunc canonem non invenio, nisi forte can. 98 intelligatur. [6] Cod. *οὐκ ἄχρηστο.* [7] Ita decreverat Alexius patriarcha initio saec. XI. Leunclavii IGR. I p. 204. [8] Cod. *οὐκ ἐκωλύεται.*
[9] Cf. Basil. ed. Heimbach. V p. 756, ubi hic locus sub inscriptione: *τοῦ ῥωμανοῦ* habetur, sed in brevius contractus. [10] Sc. Romanus, qui imperavit ab a. 1029—1034.

τὸ πολύπλοκον καὶ τὰς διενέξεις. τέλος γραφὴ βασιλικὴ κατεπέμφθη κελεύουσα τὸν ἱμέριον ἀγαγέσθαι πρὸς γάμον τὴν τοῦ πρωτοσπαθαρίου γρηγορίου τοῦ σολομῶντος θυγατέρα, καὶ ἑτέρα γραφὴ προστάσσουσα τὴν τῆς θυγατρὸς τοῦ τειχιώτου τηρηθῆναι δίκην καὶ κατὰ νόμους κριθῆναι. ἐντεῦθεν τῶν δικαστῶν μεγάλαι διαστάσεις καὶ ἀμφιβολίαι ἀνεῤῥιπίζοντο. ὁ μὲν γὰρ ἀργυρόπουλος καὶ σωματικῶς τὸν ἱμέριον τιμωρηθῆναι ὡς φθορέα καὶ χρηματικῶς διενίστατο, οἱ δὲ ἕτεροι εἰς μίαν λίτραν τὴν ποινὴν συνεκεφαλαίωσαν διὰ τὸν λέγοντα νόμον[1]· „ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης εἰ μὲν θέλει αὐτὴν λαβεῖν εἰς γυναῖκα καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἓν μέρος τῶν γονέων, τουτέστιν ἑκατέρου προσώπου, οὐ θελήσει, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεὺς, διδότω τῇ φθαρείσῃ κόρῃ λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς εἴη ἄπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.“ οὕτως οὖν διενέξεως ἐχόντων τῶν δικαστῶν ἐπέστη ὁ πατρίκιος εὐστάθιος ἐκ τῆς ἀναγραφῆς[2], καὶ τῆς ὑποθέσεως ἀκροασάμενος οὐδετέραν τῶν κρίσεων προσήκατο, ἀλλὰ τὴν μὲν ποιναλίαν ὡς σκληρὰν καὶ ἀπηνῆ καὶ μεσολαβούσας ἔχουσαν τὰς βασιλικὰς γραφὰς κελευομένας καὶ ἕτερον γάμον γίνεσθαι ἀπεπέμψατο, τὴν δὲ ὡς εὐτελῆ καὶ μικρολόγον ἀπώσατο, ἑτέραν δὲ πάνυ θαυμασίαν καὶ τοιούτῳ ἀνδρὶ πρέπουσαν ἀπόφασιν ἐξενήνοχε. καὶ γὰρ τὸ πρᾶγμα ἐτύπωσεν ὡς ὕβριν, καὶ καθ' ὃ μὲν καὶ προαγωγοὺς ἐξέπεμπεν ὁ ἱμέριος εἰς τὸν οἶκον τοῦ τειχιώτου, καὶ αὐτὸς δὲ εἰσήρχετο καὶ ὑπέφθειρε τοὺς ἐν τῇ οἰκίᾳ αὐτοῦ, ὑβρίζεσθαι τὸν πρωτοσπαθάριον τὸν τειχιώτην εἶπε, καὶ ἐτύπωσε τὰ τῆς ὕβρεως ρν´[3] κατὰ τὸν νόμον· καθ' ὃ δὲ ἡ θυγάτηρ τοῦ τειχιώτου ἐφθάρη καὶ διεπαρθενεύθη, τὴν εἰς αὐτὴν ποινὴν ἐτύπωσε νομίσματα σι´[4], καὶ παρήγαγε νόμον τὸν λέγοντα τὰς φθορὰς καὶ τὰς ὑποφθορὰς ὀφφικίῳ τοῦ δικαστοῦ ἀποτιμᾶσθαι, καὶ περιέστησε τὴν ὅλην ποινὴν εἰς λίτρας ε´, καὶ ἀνήγαγε τὴν ἀπόφασιν τῷ βασιλεῖ[5] καὶ ἐδέχθη. καὶ ἐποίησεν ὑπόμνημα παγκαλόν τι καὶ χάριεν, βάθος ἔχον νοημάτων καὶ χάριν λόγων ἡδέων καὶ σχημάτων, καὶ ἑρμηνείας λόγων[6] οὐκ ὀλίγων. καὶ γὰρ ἡρμήνευσε

[1] Basil. LX, 37, 79. [2] Forte ἀντιγρ. [3] Sc. νομίσματα. [4] Sic Basil. Cod. σ´. [5] Basil. addunt κυρῷ ῥωμανῷ. [6] Lege νόμων.

τὸν περὶ ὕβρεως νόμον πῶς φθαρείσης τῆς θυγατρὸς δέδωκε καὶ τῷ πατρὶ τὴν περὶ ὕβρεως ἀγωγὴν, καὶ τέθεικε νόμον[1] τὸν λέγοντα· „καὶ ἐπὶ ἑνὶ πράγματι τρισὶ προσώποις ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. τῆς γὰρ γυναικός μου ὑβρισθείσης, καὶ αὐτὴ καὶ ὁ πατὴρ αὐτῆς κἀγὼ ἔχομεν τὴν περὶ ὕβρεως ἀγωγήν· καὶ οὐκ ἀναιρεῖται διὰ τοῦ ἑνὸς ἡ τοῦ ἑτέρου.“ καὶ ἐπεχείρησεν ἐκ τοῦ ἐλάττονος θέλων δεῖξαι τὸ ἁμάρτημα μεῖζον, εἰπὼν νόμον[2] τὸν λέγοντα· „εἰ καὶ ἐπὶ τῷ καλέσαι πρὸς δίκην εἰς ἀλλότριον οἶκον εἰσέλθῃ τὶς ἄκοντος τοῦ δεσπότου, ὑπόκειται τῇ περὶ ὕβρεως ἀγωγῇ“· εἶτα τέθεικε καὶ ἐδείνωσε τὸ ἐπιχείρημα· ὁ μὴ ἐπὶ τοιούτῳ σκοπῷ, ἀλλ' ἐπὶ διαφθορᾷ οἰκίας ὅλης καὶ βίου συγχύσει καὶ διαπαρθενεύσει ἁπλῶς νεάνιδος νυκτὸς παρεισδὺς, εἰς ὅσον ἐκτραχύνει τὴν ὕβριν; δεινώσας δὲ τὸ ἁμάρτημα καὶ δεῖξας αὐτὸ μείζονος κολάσεως ἄξιον, προστέθεικε νόμον τὸν πραΰνεσθαι μᾶλλον ἢ τραχύνεσθαι τὰς τιμωρίας βουλόμενον· καὶ ὅτι πολλάκις ἐπὶ τῷ ἑνὶ ἁμαρτήματι ἁρμόζουσιν ἀγωγαὶ πολλαὶ καὶ οὐ πᾶσαι κινοῦνται, καὶ αἱ μὲν ἀλλήλας ἀναιροῦσιν αἱ δὲ οὐδαμῶς· καὶ ὅτι ἐπὶ τῶν τοιούτων μιᾷ χρῶνται [οἱ] δικάζοντες, καὶ διὰ τοῦτο ἐπὶ τῆς τοιαύτης ὑποθέσεως ἐκλέξασθαι τὴν περὶ ὕβρεως ἀγωγὴν ἔδοξεν ἀνωτέρω. καὶ ἡρμήνευσε, διὰ τί οὐκ ἐχρήσατο τῷ νόμῳ τῷ τυποῦντι λίτραν μίαν ἐπὶ τῶν φθειρομένων γυναικῶν, εἰπὼν, ὅτι ὁ τοιοῦτος νόμος ἀπεριστάτως ἐκπεφώνηται καὶ συνδρομὴν παρίστησι[3] θελημάτων δύο, ὥσπερ ἂν εἴποι τὶς ἐκ συναντήματος, καὶ οὐχ ὑπεξήρηται τούτου ἢ σκηνικὸς ἢ ἄπορος ἢ ἀπελεύθερος· ἀλλὰ τούτους πάντως καταναγκάζει ἢ γαμεῖν τὴν διαπαρθενευθεῖσαν ἢ διδόναι τῆς αὐτῶν ὑπάρξεως τὸ ἥμισυ, εἰ μὴ εὐποροῖεν [λίτραν μίαν χρυσοῦ. καὶ μὴν σκηνικῷ ἢ ἀπελευθέρῳ οὐκ ἐφεῖται] θυγατέρα συγκλητικοῦ γαμεῖν οὐδὲ λίαν ἐθέλοντι· ἐνταῦθα δὲ συγκλητικοῦ θυγατέρα ἡ φθαρεῖσα. καὶ ἁρμόζουσι πολλαὶ ἀγωγαὶ, οἷον ἡ περὶ φθορᾶς ἢ περὶ ὕβρεως καὶ ἕτεραι· εἰ οὖν τὴν ἐλάττονα δώσει τὶς, οὐκ ἀναιρήσει τὴν μείζονα; εἶπε δὲ τοῦτο, ὅτι ἕως οὗ μὲν ὁ ἱμέριος ὑπεξούσιος ἦν τῷ πατρὶ, πολλάκις ἠδύνατο προβάλλειν τὸν τῆς ὑπεξουσιότητος λόγον πρὸς ἀποφυγὴν τοῦ γάμου καὶ τοῦ κατηγορήματος. καὶ ἐπήγαγε ῥητῶς οὕτως· εἰ μήπου παρ' ἀνδρῶν ἐκλάβοι τούτους κακοθελῶν, κρυπτομένων καὶ ὥσπερ ἐκ σκότους ἐκσφενδονούν-

[1] Basil. LX, 21, 1 in fine et 2. [2] Basil. LX, 21, 22. [3] Cod. περίστ. Basil. περιίστ.

των λογχάριά τινα, οἳ μικρόσοφοί τε ὄντες καὶ μεγαλόφθονοι καρποφορῆσαι μὲν οὐ δεδύνηνται, τοὺς ἑτέρων δὲ πόνους βλάπτειν ἐπιθυμοῦσιν, ὥσπερ τὰ φθαρτικὰ τῶν καρπῶν ζωΐφια δρόσου[1] καὶ πάχναι τὰ καλὰ τῶν γεννημάτων ἐκκαίουσαι. τοιοῦτον ἐξέθετο ὑπόμνημα ὁ θαυμάσιος ἀνὴρ καὶ ἕτερα μύρια ἔχον θαυμασιώτερα, καὶ ἐθαυμαστώθη παρὰ πάντων, ὥσπερ ἦν ἄξιος, καίπερ καὶ εἰς τὰ ἄλλα πάντα θαυμαζόμενος.

[ε΄.] Ὅτι[2] ἐκίνησέ τις δίκην, ὡς εὗρε τὴν γυναῖκα αὐτοῦ ἐφθαρμένην ἐν τῷ καιρῷ τῶν γάμων, καὶ διὰ τοῦτο ἀποδιώκει αὐτήν· ἡ δὲ ἐνίστατο καὶ ἠρνεῖτο. καὶ ὁ πατρίκιος[3] ἐψηφίσατο οὕτως· εἰ μὲν ἐν αὐτῇ τῇ νυκτὶ εὐθὺς ἐξέθορε τοῦ κοιτῶνος ὁ ἀνήρ, καὶ διεμαρτύρατο τοὺς οἰκείους καὶ συγγενεῖς τῆς γυναικὸς διεφθαρμένην εἶναι αὐτήν, κρίνεσθαι ἄλλως τὸ πρᾶγμα· εἰ δὲ μὴ ἐν τῷ καιρῷ τοῦ γάμου τοῦτο ἐποίει, οὐδὲ τότε περὶ τῆς φθορᾶς εἶπεν, ἀλλ᾿ ἐσιώπησεν, μὴ ἔχειν αὐτὸν ἐξουσίαν ἐκδιώκειν τὴν γυναῖκα. εἰ δὲ τοῦτο τολμήσει ποιῆσαι, ὑποκεῖσθαι αὐτὸν τῇ ποινῇ τῇ τοὺς κατηγοροῦντας τῶν γυναικῶν μοιχείας καὶ μὴ ἐλεγχοῦντας ὑποβαλούσῃ καταδίκῃ ὅσον τὸ τρίτον τῆς προγάμου δωρεᾶς ποιεῖ παρέχοντας. καὶ γραφὴν περὶ τούτου πεποίηκε, τέως δὲ ἔλεγεν, ὅτι εἰ κατ᾿ αὐτὸν τὸν καιρὸν τοῦ γάμου ἐξανέστη τοῦ κοιτῶνος ὁ ἀνὴρ καὶ δῆλον τὸ εἶναι τὴν γυναῖκα ἐφθαρμένην ἐποίει διὰ βεβαίων καὶ ἐγνωσμένων τεκμηρίων, ἀνάγκη λύεσθαι τὸν γάμον, μὴ[4] κατακρινομένης τῆς γυναικὸς ἐπὶ μοιχείᾳ διὰ τὸ πρὸ τοῦ γάμου πλημμεληκέναι τὸ ἁμάρτημα. ἠρώτησα· εἰ γέγονέ ποτε τοιοῦτον, καὶ ἐλύθη ὁ γάμος; καὶ εἶπε· μὴ κριθῆναι ἢ εἰς δίκην ἐλθεῖν τὸ τοιοῦτον πρᾶγμα, τέως δὲ ἀνάγκη οὕτω κρίνεσθαι.

[ς΄.] Ὅτι ἡ ἀπελευθέρα οὐδὲ τῷ εὐτελεῖ αὐτῆς πάτρωνι οἵα τέ ἐστι συνάπτεσθαι, εἰ μὴ καὶ γαμικὰ συμβόλαια παρακολουθήσειεν, ὡς τῆς εὐτελείας τῆς ἀπελευθερότητος οὐκ εὐχερῶς ἐπιδεχομένης γαμικὴν διάθεσιν πάτρωνος.

[ζ΄.] Ὅτι ἐὰν ὁ πατὴρ ἐξέθετο τὴν θυγατέρα, ὁ δὲ ἀναδεχόμενος[5] ἁρμόσαι ταύτην βούληται τῷ ἰδίῳ υἱϊδίῳ[6], ὀφείλει ὁ πατὴρ συναινεῖν, ἤ, ἐὰν ἀντιλέγῃ[7], δοῦναι τὰ περὶ αὐτὴν δαπανήματα.

[η΄.] Ὅτι οὔτε ἡ ἔκθεσις οὔτε ἡ πρὸς ἐξωτικὸν θέσις οὔτε

---

[1] Cod. δρόσοι. [2] Cf. Basil. Heimb. V p. 758. [3] In Basil. est ῥωμανός. [4] Harm. IV, 12, 10. [5] Cod. ἀνελόμενος. [6] Cod. πατρὶ ἰδίᾳ. [7] Cod. ἐάν τι λέγῃ.

ἡ πρὸς γάμον ἔκδοσις παραντίκα τὴν ὑπεξουσίαν εἰς αὐτεξουσίαν καθιστᾷ.

[θ΄.] Ὅτι ἄλογόν ἐστι τὸ συμφωνεῖν, ἔχειν καὶ μετὰ τὸν γάμον ὑπεξουσίαν τὴν θυγατέρα· οὐδαμοῦ γὰρ τοῦτο προέβη.

[ι΄.] Ὅτι ὁ ἀροτρᾶς εἶχεν υἱὸν χρόνων κβ΄· οὗτος παρὰ γνώμην τοῦ πατρὸς ἔλαβε γυναῖκα· καὶ ἐγκαλέσαντος τοῦ πατρὸς ὥρισεν ὁ δρουγγάριος καὶ ὁ βασιλεὺς, ἵνα ὁ μὲν γάμος μὴ ἀνατραπῇ διὰ τὸ ἤδη γενέσθαι συνάφειαν καὶ ἱερολογίαν καὶ χρόνων εἶναι κβ΄ τὸν υἱὸν, διὰ καὶ τοὺς πατέρας μὴ ὀφείλειν ἐᾶν οὕτω τοὺς οἰκείους παῖδας, ἀλλὰ σπεύδειν προσομιλεῖν γάμοις αὐτούς· τὸν δὲ πενθερὸν τούτου ὡς μὴ γνωρίσαντα τῷ πατρὶ τὸν γάμον, ἀλλὰ κατασπουδάσαντα τοῦτον, προσέταξε μαγκλαβίοις καὶ τῇ ἐν χρῷ κουρᾷ σωφρονισθῆναι. ἐπεὶ δὲ ἡ σύμβιος τοῦ ἀροτρᾶ διετάξατο τοὺς παῖδας αὐτῆς ὑποτάττεσθαι τῷ πατρὶ καὶ ὡς ἂν εἴη ἐκείνῳ βουλομένῳ τούτους κληροδοτεῖσθαι, παρεκελεύσατο θεωρηθῆναι τὴν διαθήκην καὶ τὰ διατεταγμένα ὑπὸ τῆς μητρὸς φυλαχθῆναι τῷ ἀροτρᾷ ἐξ ἀνυποταξίας τῶν παίδων, εἰ μήγε λίαν σκληρὸς ᾖ καὶ αὐτοῦ τοῦ μητρῴου κλήρου παρὰ τὸν νόμον ἁπτόμενος.

[ια΄.] Αἱ ἀδελφοποιήσεις προσώπων εἰσὶ, καὶ ἐκεῖνα μόνα κωλύονται εἰς γάμον, οὐχὶ δὲ τὰ λοιπὰ τῆς συγγενείας πρόσωπα.

[ιβ΄.] Ὅτι πατὴρ θυγάτριον ἄνηβον πρὸς γάμον βουλόμενος ἐκδοῦναι, εἰσῳκήσατο γαμβρὸν, μὴ ποιήσας μνηστείαν, ἀλλ' αὐτίκα ἱερολογήσας αὐτούς. εἶτα ἐκίνησε καταμεμφόμενος τὸν γάμον, καὶ ἔκρινεν ὁ δικαστὴς καταλυθῆναι τὸν γάμον, εἰπὼν, ὅτι οὐ δεχόμεθα τὸν γάμον ἀντὶ μνηστείας οὐδὲ τὴν ἱερολογίαν, πρὶν ἂν ὁ νόμιμος χρόνος τοῦ γάμου συμφθάσῃ, ὃς ἐπὶ μὲν ἀνδρὸς ιε΄ περιμένει ἔτος, ἐπὶ δὲ γυναικὸς τῷ ιγ΄ περιγράφεται. εἰ μὲν γὰρ τὴν κόρην ἐν τῷ ἰδίῳ οἴκῳ ἐν τάξει γαμετῆς γυναικὸς ὁ ἀνὴρ εἴληφε καὶ ἄνηβον οὖσαν, καὶ παρ' αὐτῷ τὸν ιβ΄ χρόνον τῆς ἡλικίας ἐπλήρωσεν, ἀπήτει ἂν καὶ τὰ λοιπὰ τελεσθῆναι τῶν γάμων· νῦν δὲ τῆς κόρης ἐν τῷ τοῦ πατρὸς οἴκῳ διαγούσης, [οὐ] δύναται παρανόμως οὕτως ἐκζητεῖν ἰσχὺν τὸν ἀτελῆ δέξασθαι γάμον.

[ιγ΄.] Ὅτι ἀγαγόμενός τις γυναῖκα καὶ τελευτῇ ταύτην ἀποβαλὼν, εἶτα κατὰ β΄ γάμον λαβὼν τὴν θυγατέρα τοῦ ἐξαδέλφου τῆς πρώτης γυναικὸς, οὐκ ἐκρίθη ἀθέμιτον συστῆσαι γάμον, ἀλλ' ἀπρεπῆ. ἀθέμιτον γὰρ τὸν γάμον ἐπὶ τῶν ἐκ τοῦ αὐτοῦ αἵματος ἐχόντων τὴν συγγένειαν κεκανόνισται, ἐπὶ δὲ τῶν ἐξ ἀγχιστείας κώλυσιν ἐπί τινων προσώπων θεματίζει,

λέγων[1]· „εἰσὶ δὲ καὶ ἕτεροι μὴ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν οὐ προβαίνοντες γάμοι“ καὶ ἑξῆς. ἀλλ᾽ οὐδὲ κεκωλυμένος ἐκρίθη ὁ τοιοῦτος γάμος, ὅτι ὁ νόμος ἀπαρίθμησιν ποιεῖται τῶν ἐξ ἀγχιστείας κεκωλυμένων, καὶ ἔξωθεν τούτων εὑρίσκεται τὰ συμφωνηθέντα πρόσωπα. φησὶ γὰρ βι. κη′ τί. ε′ κεφ. γ′[2]· εἰ δὲ λέγει τὶς ὅτι ἀπρεπής ἐστιν ὁ γάμος, ἀλλ᾽ ἐκ τούτου οὐ δύναται τινὰ ἐπαγαγεῖν τιμωρίαν τοῖς συναφθεῖσι· τὸ γὰρ μὴ ἐκ τοῦ νόμου ῥητῶς εἰργόμενον, οὐκ ἔχει τινὰ κώλυσιν καὶ τιμωρίαν, ἀλλὰ διὰ τὸ ἀπρεπὲς μόνον διάστασιν.

[ιδ′.] Ὅτι ὁ ἀθέμιτος γάμος πρὸ κατηγορίας λυθεὶς οὐκ ἐπιδέχεται ποινήν. λέγει γὰρ ὁ νόμος[3]· „ἀθέμιτος γάμος οὐ βεβαιοῦται· καὶ διὰ τοῦτο ἐὰν πρὸ κατηγορίας λυθῇ, συγχωρεῖται ἡ ποινὴ αὐτοῦ.“ καὶ αὖθις[4]· „ἐπὶ τοῦ ἀθεμίτου γάμου δίδωσι συγγνώμην ἡ φύσις, καὶ ἡ ἡλικία, καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτήματος, καὶ μάλιστα εἰ μήπω τὶς αὐτῶν κατηγορήσει.“

[ιε′.] Ὅτι ἀθέμιτος κυρίως λέγεται γάμος ὁ μεταξὺ ἀνιόντων καὶ κατιόντων γινόμενος, ἔνθα καὶ ἡ τοῦ ἁμαρτήματος πονηρία τὸ αὐστηρὸν ἔχει διὰ τὸ μήτινα δύνασθαι λέγειν κατὰ πλάνην καὶ ἄγνοιαν συναφθῆναι νόμου[5]. φησὶ γὰρ βι. κη′ τί. ε′ κεφ. λδ′· „ἀθέμιτος γάμος ἐστὶν ὁ μεταξὺ τῶν ἀνιόντων καὶ ἑξῆς[6]. ἐπὶ δὲ τῶν κεκωλυμένων ἐκ πλαγίου καὶ δι᾽ ἀγχιστείαν ὁ λαθραίως πλημμελῶν πλέον τιμωρεῖται τοῦ φανερῶς ἁμαρτάνοντος. ὁ μὲν ἀγνοῶν δοκεῖ ποιεῖν, ὁ δὲ λάθρα ποιῶν καταφρονεῖ τῆς διαφθορᾶς.“ καὶ ὁ λογισμὸς δῆλος· οἱ μὲν γὰρ φανερῶς ἡμαρτηκότες περὶ τὸν γάμον πρός τινα τῶν ἐκ πλαγίου μὴ δεόντως συναφθέντες, ὡς πλανηθέντες περὶ τοῦ τοιούτου (οὐ γὰρ ἂν ἐδημοσίευσαν, εἰ κεκωλυμένον αὐτὸν παρὰ τῶν νόμων ἐγίνωσκον) τῆς μείζονος ἑαυτοὺς ἐλευθεροῦσι ποινῆς· ὅσοι δὲ λαθραίως ἐπλημμέλησαν, ὡς κουντούμακες τιμωροῦνται. καὶ οὐ χρὴ καὶ τοὺς τοιούτους γάμους ἀθεμίτους καλεῖν, ὅτι τὸ ἀθέμιτον ἐπὶ μόνων τῶν ἀνιόντων καὶ κατιόντων λέγεται.

[ις′.] Ὅτι καὶ οἱ ἱεροὶ κανόνες κωλύουσι τὸν τῶν ἀνιόντων γάμον, λέγοντες· μὴ ὅσιον τὸ αἴτιον τῆς γεννήσεως ὑποβαίνειν τῷ γεννωμένῳ.

[ιζ′.] Βι. ξ′ τί. λζ′ κεφ. ς′[7] θέ. β′. Ὅτι παρανόμου γάμου γενομένου μεταξὺ τῶν ἐκ πλαγίου συγγινώσκεται ἡ γυνή· „ἔνθα γὰρ καὶ φύσει καὶ νόμῳ μεμισημένος ἁμαρτάνεται γά-

---

[1] Basil. XXVIII, 5, 1. [2] Verba legis desunt. [3] Basil. LX, 37, 39. [4] Basil. ibid. [5] An *γάμῳ*. [6] Lege *κατιόντων*. [7] Heimb. c. 39.

μος, ὁμοίως τῷ ἀνδρὶ τιμωρεῖται ἡ γυνή· εἰ δὲ τῷ νόμῳ μόνῳ κεκώλυται ὁ γάμος, συγγινώσκεται.“

[ιη΄.] *Ὅτι ἐπὶ τοῦ κεκωλυμένου γάμου διὰ τὸ ἀπρεπὲς οὐ παρακρατεῖται ἡ προῖξ τῆς γυναικός.*

[ιθ΄.] *Ὅτι τὸν κεκωλυμένον γάμον καὶ φύσις καὶ νόμος καὶ παίδων ἀπογέννησις καὶ ἁμαρτήματος ἐπιστροφὴ ἀτιμώρητον ἐᾷ. φησὶ γὰρ ὁ νόμος*[1]*· „τερτοῦλλά τις τῷ [πρὸς] μητρὸς θείῳ συνήφθη συναινέσει τῆς οἰκείας μάμμης μὴ νομίζουσα παράνομον εἶναι τὸν γάμον· παίδων δὲ γινομένων καὶ μ΄ ἐνιαυτῶν παραδραμόντων ἡ γυνὴ μαθοῦσα τὴν πλάνην ἐδεήθη βασιλέως, καὶ ἐδέξατο λόγον· κινούμεθα καὶ τῷ μήκει τοῦ χρόνου, καθ᾿ ὃν ἐν ἀγνοίᾳ τῷ πρὸς μητρὸς θείῳ συνήφθης, καὶ ὅτι συναινέσει τῆς μάμμης τὸν γάμον συνήλλαξας, οὐ μόνον δὲ ἀλλὰ καὶ τῷ πλήθει τῶν ὑμετέρων παίδων τῶν ἐκ τοῦ τοιούτου συνοικεσίου· ὥστε ἐπειδὴ ταῦτα συνέδραμε, βεβαίαν εἶναι τὴν κατάστασιν τῶν ὑμετέρων ψηφιζόμεθα παίδων τῶν ἐκ τοιούτου συνελθόντων συνοικεσίου.“ εἰ δὲ τὸν τοιοῦτον γάμον χρόνου μῆκος καὶ συναίνεσις μάμμης καὶ ἄγνοια μάμμης*[2] *ἐβεβαίωσε, πολλῷ μᾶλλον τὸν ἐξ ἀγχιστείας, ὃν μηδὲ ῥητῶς ὁ νόμος ἐκώλυσεν, ὃν μήτηρ συνήλλαξε καὶ τελευτὴ ἀνδρὸς πρὸ δίκης διέλυσε, καὶ χρόνου παράτασις τὴν κατηγορίαν ἔσβεσε.*

[κ΄.] *Βι. κθ΄ τί. α΄ κεφ. θ΄*[3]. *Ὅτι ἐπὶ τῶν κεκωλυμένων γάμων καὶ ἔνθα γυνὴ ὑποπίπτει ποινῇ καὶ ἀφαιρεῖται ἐξ αὐτῆς ἡ προῖξ, πρὸς τὸν δόντα ταύτην ἀναδίδοται. φησὶ γὰρ ὁ νόμος· „ἐὰν παράσχω γυναικὶ πράγματα, ἐφ᾿ ᾧ παρασχεῖν ὑπὲρ αὐτῆς ἐν προικὶ, αὐτῆς γίνονται, κἂν μὴ παρακολουθήσῃ ὁ γάμος· ἐνέχεται δὲ τῇ ἀπαιτήσει. εἰ δὲ ὑπὲρ αὐτῆς ἐγὼ δώσω, εἰ μὲν ὥστε παραχρῆμα γενέσθαι τοῦ λαμβάνοντος, καὶ πεμφθῇ διαζύγιον, τὴν ἀπαίτησιν ἔχω· εἰ δὲ ὥστε τοῦ γάμου γενομένου ταῦτα γενέσθαι τοῦ ἀνδρὸς, καὶ ἢ διαζύγιον σταλῇ ἢ κεκωλυμένος ὁ γάμος εὑρεθῇ, ἐκδικῶ αὐτά.“*

[κα΄.] *Ὅτι ἐπὶ τῶν ἀθεμίτων γάμων τὴν ἐν γνώσει ἁμαρτάνουσαν ὑποβάλλει ποινῇ, τὴν δὲ ἄγνοιαν συγγνώμης ἀξιοῖ.*

[κβ΄.] *Ὅτι ζ΄ ἐτῶν οὖσαν κόρην ἐκδιδοὺς ὁ πατὴρ εἶπε ι΄ ἐτῶν εἶναι καὶ συνεστήσατο μνηστείαν. εἶτα μετὰ χρόνον γέγονεν ἱερολογία, καὶ ὁ μνηστὴρ ἐβιάσατο τὴν κόρην, καὶ ἀπειθοῦσαν κατέσχε καὶ ἐνέφραξε τὸ στόμα αὐτῆς, καὶ τῇ ἀνάγκῃ*

---

[1] In Basilicis nostris non invenio. Est autem ex l. 57 §. 1 D. XXIII, 2.
[2] Lege *γυναικός*. [3] Apud Heimb. est c. 5.

αἷμα διὰ τῶν ὤτων ἐῤῥύει, καὶ ἐβλάβη ἡ κόρη· καὶ γὰρ ἐδειματοῦτο καὶ πρὸς μόνην ὄψιν ἀνδρός. ἔκρινεν οὖν ὁ δικαστὴς, καὶ ἔλυσε τὸν γάμον φθορὰν τοῦτο ὀνομάσας, καὶ εἰπών[1]· „ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ῥινοκοπείσθω, καὶ τὸ ἥμισυ τῆς οὐσίας αὐτοῦ παρεχέτω ταύτῃ." καὶ τὴν μὲν ποινὴν οὐκ ἐποίησε, τὸ δὲ ἥμισυ τῆς οὐσίας ἀφείλατο, καὶ δέδωκε τῇ βιασθείσῃ, τύψας τὸν φθορέα σφοδρῶς διὰ τὸ μὴ τετιμῆσθαι βασιλικῷ ἀξιώματι καὶ τῇ ἐν χρῷ κουρᾷ σωφρονίσας.

[κγ'.] Ὅτι[2] ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα κωλύεται γάμῳ προσελθεῖν· ἡ δὲ ἐν τῷ πενθίμῳ χρόνῳ τεκοῦσα οὐ κωλύεται γαμεῖν. οὐκ ἐναντία δὲ ἡ τῶν νόμων διάνοια, ἀλλὰ καὶ λίαν σύμφωνος κατ' ἄλλο καὶ ἄλλο συμφωνούμενον[3]. ὅρα γὰρ τοῦ πρώτου τὸν νοῦν· ἡ ἐν τῷ πενθεῖν τεκοῦσα κωλύεται γαμεῖν. τῶν γὰρ ἀξίων πενθεῖσθαι αἱ γυναῖκες ἤτοι τῶν ἀνεπιλήπτως βιούντων καὶ ἁπλῶς μὴ τῷ νόμῳ μεμισημένων καὶ τεκοῦσαι κωλύονται, ἕως ἂν ὁ τοῦ πένθους καιρὸς πληρωθῇ. κατὰ[4] γὰρ δύο τρόπους ὁ πένθιμος καιρὸς εἴωθε τυποῦσθαι, διά τε τὸ μὴ σύγχυσιν γενέσθαι τῆς γονῆς καὶ διὰ τὴν ὀφειλομένην τιμὴν τοῖς ἀνδράσι, ὧν ἡ μὲν μία λέλυται διὰ τοῦ τοκετοῦ, ἡ δὲ ἑτέρα ἐπιφέρεται διὰ τὴν τιμὴν[5], ἥτις καίπερ λυθεῖσα τῷ τοκετῷ μένει δι' αἰδῶ καὶ τιμὴν τοῦ ἀνδρός. ἡ[6] δὲ τοῦ ἑτέρου οὕτως· ἡ ἐν τῷ πενθίμῳ τεκοῦσα οὐ κωλύεται γαμεῖν, οὐ γὰρ ἄξιοι τοῦ πενθεῖσθαι οἱ ἄνδρες, οἷον αὐτόμολοι, προδόται, ἀπαγχόμενοι καὶ οἱ λοιποὶ, οὓς ὁ νόμος ἀνατάττεται διὰ τὸ μὴ εἶναι ἀξίους πένθους· τούτων γὰρ παραυτίκα τέξασαι αἱ γυναῖκες γαμοῦσι. τοῦ γὰρ χρόνου τοῦ τῆς συγχύσεως τῆς γονῆς λυθέντος ἀκωλύτως γαμοῦσι τῆς παρὰ τῶν νόμων νομῆς[7] ὑπεξαιρουμένων τῶν αὐτομόλων καὶ τῶν ἄλλων τῶν μὴ πενθουμένων. ὁ γὰρ νομοθέτης ἐπὶ τὸν νόμον τρέψας τὸ πένθος ἀναξίους τοῦ πενθεῖσθαι παρεδήλωσεν.

[κδ'.] Ὅτι γυνὴ ἀπέδειξεν ἄνδρα τινὰ διάθεσιν[8] ἔχοντα πρὸς αὐτὴν, καὶ παῖδας ἐξ αὐτοῦ γεννησαμένην, καὶ τοῦτον ὡς οἰκείους ἔχοντα τούτους καὶ βαπτίζοντα. εἶτα ἀποστάντος τοῦ ἀνδρὸς ἐκίνησεν ἡ γυνὴ τὸν ἐκ διαθέσεως γάμον, καὶ φανερωθέντος τοῦ πράγματος καὶ τοῦ ἀνδρὸς ἀναγκαζομένου παρὰ τῶν νόμων ἀγαγέσθαι ταύτην γαμετὴν καὶ ἱερολογηθῆναι μὴ

---

[1] Basil. LX, 37, 81. [2] Cf. Basil. XXI, 2, 11 et XXVIII, 5, 12. [3] Legerim ἐκφωνουμένων. [4] Cf. Schol. ad Harm. ed. Reitz. p. 238 sqq. ed. Heimb. p. 506 sq. [5] Aliquid corruptum est. [6] Sc. ἔννοια. [7] Lege τιμῆς. [8] Cod. ἀδιάθ.

κωλυομένου[1] παρὰ τοῦ νόμου (οὐ γὰρ τῶν συγκλητικῶν ἦν), μὴ πειθομένου [δὲ], ἠρωτήθη ὁ μάγιστρος, τί χρὴ γενέσθαι ἐπὶ τῷ ἀνδρί; ποίαν δώσει τὴν ποινήν; καὶ εἶπε μὴ περιέχεσθαι τοῦτο τοῖς νόμοις, μηδὲ πεσεῖν ποτε τοιοῦτον ζήτημα. τέως δὲ ἔλεγε χρῆναι τὸν ἄνδρα πρὸς τὴν γυναῖκα τὸ δ΄ τῆς περιουσίας αὐτοῦ[2]· εἰ δὲ ὁ δικαστὴς καὶ εἰς πλείονα βούλεται τιμωρήσασθαι αὐτὸν, χρήσεται τῷ λέγοντι νόμῳ[3]· „ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παλλακευόμενος, καὶ μὴ ποιῶν τοῦτο ἐν ἐκμαρτυρίῳ [κατάδηλον], ἢ γυναῖκα αὐτὴν λαμβανέτω ἢ μὴ βουλόμενος μοιχείαν πλημμελεῖ." ἀλλὰ τοῦτο ἐπὶ τῷ προτεθέντι ζητήματι βαρὺ εἶναι ἔδοξεν.

[κε΄.] Ὅτι ὁ καμηλαυκᾶς πρωτοσπαθάριος γυναῖκα νομίμην ἠγάγετο καὶ ἐπαιδοποίει, μετὰ δὲ τελευτὴν ἐκείνης συνῆλθε θεραπαίνῃ οἰκείᾳ καὶ ἐγέννησε παῖδας, εἶτα ἠλευθέρωσε τὴν θεράπαιναν καὶ γαμικὰ συμβόλαια [ἐποίησε] καὶ ἱερολογήθη μετ᾽ αὐτῆς, καὶ τὴν ἐκ ταύτης γεννηθεῖσαν θυγατέρα ἀνδρὶ συνάψας προῖκα παρέσχε· καὶ ὁ ἐκ τῆς εὐγενοῦς γυναικὸς υἱὸς ἐφιλονείκει, μὴ χρῆναι τὴν ἀπὸ τῆς δούλης θυγατέρα νόμιμον γενέσθαι. ὁ δὲ μάγιστρος πρὸς τοῦτο ἔγραψε, συγχωρῶν τὴν γνησιότητα τῇ ἐκ τῆς δούλης γεννηθείσῃ παιδὶ, καὶ τέθεικε νόμους βι. λβ΄ τί. α΄ κεφ. ιβ΄[4]· „θεσπίζομεν, εἴ τις γαμετὴν οὐκ ἔχων γνησίαν πρὸς θεράπαιναν οἰκείαν σχοίη κατά τινα βελτίονα γνώμην, καὶ δὴ καὶ παιδοποιήσειεν ἐξ αὐτῆς ἐν δουλείᾳ καθεστώσης, ὕστερον δὲ ἐλευθερίᾳ τιμήσειε τὴν θεράπαιναν, καὶ τὸν γάμον βεβαιώσειεν, ἔπειτα δὲ καὶ γαμικὰ γράψειε συμβόλαια, καὶ γένοιντο παῖδες μετὰ ταῦτα ἢ καὶ μὴ γένοιντο, (ἵνα τὰ ἑκατέρας ἡμῶν [δια]τάξεως συλλάβωμεν θέματα,) ἔσται καὶ ἡ γυνὴ γνησία, καὶ οἱ παῖδες ὑπεξούσιοι καὶ γνήσιοι καὶ ἐξ ἀδιαθέτου κληρονόμοι τῷ γεγεννηκότι (φαμὲν δὲ τοὺς πρὸ τῶν προικῴων τεχθέντας), τῶν ὁδῶν, δι᾽ ὧν εἰς εὐγένειαν κατὰ τὸ προειρημένον ἀφίκοντο, καὶ τῆς μετὰ ταῦτα τῶν προικῴων ποιήσεως τὸ γνήσιον αὐτοῖς χαριζομένων." καὶ βι. τὸ αὐτὸ καὶ τί. ὁμοίως κεφ. γ΄ νεαρὰ σῃ΄[5]· „εἴ τις ἀπελευθέραν ἀγαγέσθαι βουληθείη καὶ γνησίαν ποιήσασθαι γαμετὴν, ὁποιασοῦν ἀξίας ὢν, γαμικὰ συνταττέσθω συμβόλαια. ταύτην γὰρ μόνην ἀπαιτοῦμεν μετὰ τὴν ἐλευθερίαν τὴν παρατήρησιν. καὶ ἔστωσαν καὶ οἱ προλαβόντες παῖδες καὶ οἱ μετὰ τὰ προικῷα

---

[1] Cod. κωλυόμενος. [2] Sc. διδόναι. [3] Basil. LX, 37, 2. [4] Lege β΄.
[5] Locus in Basil. restituendus.

τεχθέντες ἐλεύθεροί τε καὶ εὐγενεῖς καὶ γνήσιοι τῷ πατρὶ διάδοχοι. καὶ οὕτω τῶν πραγμάτων ὅλοι γινόμεθα, ὥστε εἴ τινι καὶ δουλευσάσης τῆς γυναικὸς ἐξ αὐτῆς γένοιντο παῖδες, βουληθείη δὲ ἐκεῖνος ὕστερον τὴν γαμετὴν ἐλευθερῶσαι καὶ προικῷα συντάξαι συμβόλαια, ἅμα τῇ τῶν προικῴων γραφῇ τοῖς παισὶν ἁρμόσει τό τε τῆς ἐλευθερίας ὁμοῦ καὶ τὸ τῆς γνησιότητος δίκαιον· οὐκ ἐπιζητούντων ἡμῶν ἰδιάζουσαν ἐλευθερίαν ἐπὶ τοῖς παισὶ γενέσθαι, ὥστε ἢ καὶ συνελευθερωθῆναι τῇ μητρὶ, ἢ καὶ μετ' αὐτὴν ἢ καὶ πρὸ αὐτῆς ἴσως τὴν ἐλευθερίαν λαβεῖν, ἀλλὰ τῇ γραφῇ τῶν γαμικῶν συμβολαίων εὐθὺς αὐτοῖς καὶ τὴν ἐλευθερίαν χαριζόμεθα." καὶ βι. κη' τί. δ' κεφ. νδ'[1] νεαρὰ πθ'· „εἴ τις προικῷα γράφειε πρὸς ἐλευθέραν τὴν ἀρχὴν ἢ καὶ ἀπελευθέραν γυναῖκα, ἧπερ ὅλως ἔξεστι συνοικεῖν ἐν παλλακῆς σχήματι, ἢ νομίμων παίδων ἤδη πατὴρ καθεστὼς ἢ καὶ παίδων οὐ γενόμενος τοιούτων πατὴρ, γνήσιον εἶναι τὸν γάμον, καὶ τοὺς παῖδας τούς τε προειληφότας τούς τε κυοφορουμένους γνησίους αὐτῷ καθεστᾶναι θεσπίζομεν."

[κς'.] Ὅτι μήτηρ ἔχουσα υἱὸν ἐτῶν θ' μνηστείαν ἐτέλεσεν ἐπὶ νύμφῃ ζ' οὔσῃ ἐτῶν· διῆλθε γ' ἔτη. καὶ ἀπορίας ἀναφανείσης τῆς νύμφης καὶ σκεπτομένης[2] τῆς πενθερᾶς περὶ τοῦ γάμου καὶ τοῦτον ὀκνούσης, ὁ δικαστὴς τὸ ἐκ παραβασίας ἀπαιτεῖ πρόστιμον τὴν πενθερὰν καὶ προτρέπεται τὴν νύμφην ἑτέρῳ συναφθῆναι. ἀλλὰ τῆς μητρὸς τοῦ νέου κινησάσης ἔκρινεν ὁ μάγιστρος, καὶ ἀνέτρεψε τὴν σημείωσιν, γράψας οὕτως· „ἐννόμους γάμους συνιστῶσι ῥωμαῖοι" καὶ τὰ λοιπὰ τοῦ νόμου[3]· καὶ πάλιν ἕτερος νόμος[4]· „ὁ μνηστευσάμενος καὶ μὴ συμφωνήσας κόρην[5] ἐν τῇ μνηστείᾳ[6] συμφωνίᾳ" καὶ τὰ ἑξῆς. τούτων τῶν νόμων οὕτως ἐχόντων ὁ χρόνος τῶν ἀπόπων[7] ἤλεγχε· μετὰ γὰρ τὸ σύμφωνον ἄχρι τῆς ἀπαιτήσεως τοῦ προστίμου ἐνιαυτοὶ παρῆλθον δ' καὶ μῆνες ε', τὴν δὲ μνηστὴν ἐνιαυτῶν ιβ'[8] καὶ μηνῶν ε'[9], καὶ μὴ ἀνάγκην ἐπικεῖσθαι τῇ μητρὶ τελεῖν τοὺς γάμους τῶν ἀνήβων, ἀλλ' ἐχρῆν αὐτὴν τὸ παράπαν ἐρωτᾶσθαι, ἄδειαν παρὰ τοῦ νόμου λαμβάνουσαν μετὰ τὴν ἥβην τοῦ υἱοῦ δύο παρέλκειν ἐνιαυτοὺς ἀπροφασίστους· καὶ τῷ δικάζοντι οὐκ ἐξῆν ἐπιτρέπειν ἀνήβων γάμον, καὶ διὰ τοῦτο τὸ κατεσπουδασμένον τῆς ἀποφάσεως αὐτὸ ἑαυτοῦ ἀναιρετικόν ἐστιν·

[1] Heimb. c. 48. [2] An σκωπτ.? [3] Basil. XXVIII, 4, 46. [4] Basil. XXVIII, 1, 16. [5] Lege χρόνον vel καιρόν. [6] Lege μνηστείας. [7] Haec corrupta sunt, inque iis nomen judicis (forte τὸν ἀλωπὸν) latere crediderim. [8] Lege ια'. [9] Adde εἶναι.

οὐκοῦν οὐδὲ προσηκόντως προστίμου ἀπαίτησις γέγονε καὶ τῇ μητρὶ τῆς μνηστῆς ἐπετράπη ἑτέρῳ συνάψαι τὴν θυγατέρα. ἀλλὰ καὶ ἡ ἀπορία διέλυσε τὴν μνηστείαν· τῇ γὰρ πατρικίᾳ ἐξῆν παρελκομένων δύο ἐνιαυτῶν μετὰ τὸ ἡβῆσαι τὸν μνηστῆρα προῖκα τῆς νύμφης ἐπιζητεῖν, καὶ μὴ παρασχομένης εὔλογον αἰτίαν εἰς ἀνάκλησιν[1] μνηστείας προβάλλεσθαι. ποῦ γὰρ δίκαιον τὴν ἀπόρως ἔχουσαν πρὸς δόσιν προικὸς γάμον αἰτεῖν, καὶ μὴ τυγχάνουσαν τῆς αἰτίας πρόστιμον ἀπαιτεῖν; τούτῳ γὰρ τῷ τρόπῳ ἕτοιμοι μὲν πάντες ἔσονται εἰς τὸ μεγάλην ἐπαγγελίαν ποιεῖν καὶ πλουτίζειν τοὺς ἑαυτῶν παῖδας, ἑτέρους δὲ μεγάλοις περιβάλλειν κακοῖς. οὕτως ἀποφαινόμενος ὁ μάγιστρος ἔσχε καὶ τὸν βασιλέα ἐπικυροῦντα τὴν αὐτοῦ ἀπόφασιν.

[κζ'.] Ὅτι[2] ἡ τοῦ ἀδελφοῦ γαμετὴ δευτέρου μοι ἐστὶ βαθμοῦ, ἰσχναῖς ἐπινοίαις διὰ τὴν ἐντολὴν ἑνουμένη· ἡ δὲ ἀδελφὴ τῆς νύμφης δ' μοι ἐστὶ βαθμοῦ· καὶ ἡ θεία τῆς νύμφης πρὸς μὲν τὴν νύμφην [τρίτου ἐστὶ βαθμοῦ, πρὸς δὲ ἐμὲ πέμπτου· καὶ ἡ ἐξαδέλφη τῆς νύμφης πρὸς μὲν τὴν νύμφην] τετάρτου ἐστὶ βαθμοῦ, πρὸς δὲ ἐμὲ ἕκτου· καὶ τούτων τῶν τριῶν οὐδεμίαν δύναμαι πρὸς γάμον ἀγαγέσθαι. τὴν δὲ δισεξαδέλφην τῆς νύμφης δύναμαι γαμεῖν ἀκωλύτως, διότι πρὸς μὲν τὴν νύμφην μου ἤγουν τὴν τοῦ ἀδελφοῦ γαμετὴν αὕτη βαθμοῦ ἐστὶν ἕκτου, πρὸς δὲ ἐμὲ ὀγδόου. οὕτω πάσας [τὶς] ἀριθμῶν τὰς γεννήσεις πρὸς ἑαυτὸν καὶ ὀγδόου περιτυγχάνων βαθμοῦ οὐ κωλύεται τούτῳ πρὸς γάμου συνάφειαν· καὶ τὰ τοιαῦτα τῶν συνοικεσίων οὔτε τοῖς νόμοις οὔτε τῶν ἱερῶν κανόνων ἐπιτιμήσει καθυποβάλλονται. καὶ οὕτως ἀναπλεκομένη ἡ τῆς συγγενείας σειρὰ τῷ δ' καὶ ς' βαθμῷ λύεται πρὸς τὸν τῆς ἐξαδέλφης ἀνδράδελφον ἢ ἐξάδελφον τοῦ ταύτης ἀνδρός· οὐ γὰρ τῶν ἐνδεχομένων, ὥσπερ τὸν ἄνδρα οὕτω δὴ καὶ τὸν τούτου ἀδελφὸν τυπῶσαι σάρκα μίαν μετὰ τῆς νύμφης καὶ δι' ἐπινοίας ἐπίνοιαν συνάψαι καὶ ταῦτα τὴν κατὰ συναγόμενον[3]. εἰ γὰρ ὁ ἀδελφὸς δευτέρου ἐστὶ βαθμοῦ, πῶς οὐδενὸς ἀποστήσεται βαθμοῦ τῆς νύμφης ὁ διὰ μέσου τοῦ ἀδελφοῦ ταύτην προσοικειούμενος, ἀλλ'

---

[1] Cod. *ἀνάμνησιν*. [2] Hoc caput passim in Codicibus MSS. quasi *ἐκ τῆς πείρας* haustum legitur: e. g. cf. *Ὁ πρόχειρος νόμος* p. 316. Idem habetur inter scholia Harmenopuli ed. Reitz. p. 232. Est autem exceptum e commentario Eustathii Romani, edito apud Leunclav. IGR. I p. 416 sq. [3] Apud Harm. est: *καὶ ταῦτα μωμητὴν κατὰ τὸ συναγ.* Eustathius: *καὶ ταῦτα θέσθαι μωμητῶς κατὰ τὸ συναγ.*

εἷς ἔσται μετ᾽ αὐτῆς[1] καὶ ἀπ᾽ αὐτῆς ἄρξεται τὴν συγγένειαν ἀριθμεῖν παρὰ τὴν τοῦ νόμου δύναμιν; τοῦτο οὖν φησίν· οἱ ἐκ πλαγίου πρῶτον βαθμὸν οὐκ ἔχουσιν, ἀλλ᾽ ἀπὸ δευτέρου ἔρχονται. τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ τοῦ ἐξαδέλφου λέγειν ἀκόλουθον. ὁ γὰρ ἐξάδελφος δ' ἀποδιεστὼς βαθμοῖς τοῦ ἐξαδέλφου τὴν αὐτὴν ἕξει πρὸς τὴν τοῦ ἐξαδέλφου [γαμετὴν διάστασιν, καὶ τὴν ἐξαδέλφην] αὐτῆς ὡς τετάρτου βαθμοῦ ἀσφαλῶς λέξεται εἰς τὸν ὄγδοον ἀποκεχωρισμένην τόπον. ἐπεὶ γὰρ τοῖς τῆς αὐτῆς γονῆς καὶ ῥίζης κεκοινωνηκόσι προσώποις, εἰτοῦν τοῖς παισὶ τῶν δισεξαδέλφων, διὰ τὸ ἀπεσχισμένον τοῦ η' βαθμοῦ ὁ γάμος οὐκ ἀπηγόρευται, τίς ἂν ὀρθῶς εἴποι τὸν ἐξ ἀγχιστείας συγγενῆ οἰκειοτέρου εἶναι τοῦ αἵματος καὶ πρὸς τοὺς περαιτέρω ἀπελαύνεσθαι ὅρους;

[κη'.] Ὅτι νεαρὸς νόμος[2] τοῦ κυροῦ σισινίου τοῦ πατριάρχου μόνον τὸν τῶν ἀδελφῶν πρὸς πρώτας ἐξαδέλφας γάμον κωλύει, καὶ τὰ ἑξῆς διὰ μόνης τῆς κωλύσεως παριστᾷ ἀκώλυτα εἶναι, καὶ τελευταῖον καὶ ἔλαττον ἁμάρτημα[3] τὸν τοιοῦτον γάμον καλεῖ. καὶ τὴν σύγχυσιν γὰρ τῶν γενικῶν[4] ὀνομάτων διεξιὼν φησὶ, τοὺς αὐτοὺς ἀδελφοὺς ὀνομάζεσθαι καὶ συγγάμβρους, καὶ τοὺς ἐκ τούτων φύντας ἀπὸ μὲν τῶν πατέρων πρώτους ἐξαδέλφους, ἀπὸ δὲ τῶν μητέρων δευτέρους[5], ἅπερ ὀνόματα ἀδελφῶν συνερχομένων ἐξαδέλφαις πρώταις ἀποτελεῖται.

[κθ'.] Ὅτι[6] φησὶ βι. κη' τί. ε'[7]· „Τὴν τοῦ ἀδελφοῦ μου ἢ τοῦ πατρός μου μνηστὴν οὐ δύναμαι λαμβάνειν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασι· ἡ μὲν γὰρ μητρυᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει.“ καὶ ἐκ τούτου οὔτε ἡ μνηστὴ ἢ μνηστευσαμένη τὸν ἀδελφὸν δύναται λαμβάνεσθαι, οὐθ᾽ ὁ μνηστὴρ τῆς μνηστευθείσης αὐτῷ τὴν ἀδελφὴν γαμήσει, ἵνα τῆς μὲν μνήστωρ, τῆς δὲ γαμέτης ἀναφανῇ.

[λ'.] Ὅτι[8] ὁ εἰς τὴν τρισεξαδέλφην γάμος συνέμπτωσιν ὀνόματος δέχεται, καὶ διὰ τοῦτο οὐκ ἐκωλύθησαν. καὶ γὰρ τελευτώσης τῆς γυναικὸς ἀδιαθέτου καὶ ἄπαιδος, καὶ ὁ ἀνὴρ μετὰ τῶν λοιπῶν τρισεξαδέλφων ὑπεισέρχεται εἰς μέρος, σύν τε τῷ αὐτοῦ ἀδελφῷ, ὡς ἴσον βαθμὸν [ἔχων] διακατοχῆς, κατὰ τὸ κη'

---

[1] Cod. *αὐτοῦ*. [2] Forte *τόμος*. Tomus Sisinnii extat in Leuncl. IGR. I p. 197 sqq. — Caeterum etiam hoc caput haustum est ex commentario Eustathii edito ibid. p. 417 sq. [3] Cod. *ἁμαρτάνειν*. [4] Eustathius: *συγγενικῶν*. [5] Apud Eustathium est *τρίτους*. [6] Etiam hoc est ex commentario Eustathii l. l. p. 419. [7] Cap. 1 th. ult. [8] Item ex commentario Eustathii l. l. p. 420.

βι.[1] λέγον· „ὀγδόου βαθμοῦ συγγενὴς, κἂν μὴ ὑπεισέλθῃ τὴν κληρονομίαν, ἔχει τὴν ἐκ τοῦ νόμου βοήθειαν.“ κἀντεῦθεν ἀποδείκνυται ὁ αὐτὸς καὶ σύζυγος ὠνομασμένος τῆς γυναικὸς καὶ ἐξάδελφος.

[λα'.] Ὅτι[2] ὅσα μὲν τῶν συνοικεσίων ὑπό τινος νομικῆς κωλύσεως περιλαμβάνεται, ταῦτα καὶ[3] τῆς ἐπιφυομένης τῶν ὀνομάτων συγχύσεως ἀποσειόμεθα μυσαττόμενοι· τὰ δὲ διαφεύγοντά τινα κώλυσιν, διὰ μόνην τὴν τῶν ὀνομάτων σύγχυσιν οὐκ ἀκυροῦνται. οὐ γὰρ αἱ προσηγορίαι καὶ κλήσεις γεννῶσι τὰ πράγματα, ἀλλὰ παρὰ τῶν πραγμάτων σχηματίζονται τὰ ὀνόματα.

[λβ'.] Ὅτι[4] οὐ γίνεται σύγχυσις ὀνομάτων τοῖς γενομένοις[5] ἐκ τῶν γάμων, οὓς ὁ λόγος κυροῖ. οἱ γὰρ δύο πρῶτοι ἐξάδελφοι πρώταις ἐξαδέλφαις εἰς γάμον συνιόντες ἐκγόνους φύουσιν ἀφ' ἑκατέρου μέρους δευτέρους ἐξαδέλφους ὀνομαζομένους. οἱ δὲ δύο ἀδελφοὶ[6] πρώτους ἐξαδέλφους ἀπογεννῶσι· παρὰ γὰρ τῶν μητέρων οὐκ ἔστι τούτοις συγγενικὴ κλῆσις. εἰς γὰρ τρίτης ἐξαδελφότητος πίπτουσι τόπον, ὅστις ὅσαγε πρὸς γάμον αἵματος ἀνάκρασιν οὐκ ἐφέλκεται, ὃ δὴ μάλιστα συμβαίνει παρὰ τοῖς ἀμέμπτοις τῶν γάμων. δύο γὰρ ἀδελφοὶ πρὸς δύο γυναῖκας συνερχόμενοι μηδὲν ἀλλήλαις οἰκειουμένας, πρώτους ἐξαδέλφους ἀφ' ἑαυτῶν γεννῶσιν, ἀπὸ τοῦ τῶν μητέρων μέρους μηδεμίαν λαμβάνοντας κλῆσιν. τὸ δ' αὐτὸ καὶ δύο ἀδελφοὶ δρῶσιν ἐς[7] ἀνδρῶν ἑτερογενῶν ἀπιοῦσαι.

[λγ'.] Βι. κη' τί. ε'[8]· „Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν.“ οὗτος δὲ ὁ νόμος οὐ τοῖς δικάζουσιν ὕλην χορηγεῖ ζητοῦσι, ποῖος ἐκ τῶν κειμένων νόμων περὶ γάμων [κεκωλυμένων] καὶ ἐπιτετραμμένων εὐπρεπής ἐστι καὶ σεμνὸς καὶ ποῖος οὐχὶ, καὶ τὸν μὲν δέχεσθαι τὸν δὲ κωλύειν. καὶ πῶς ἄν τις τοῖς ἐπιτετραμμένοις τὸ ἀπρεπὲς ἢ ἄσεμνον προσεῖναι εἴποι, ἢ πῶς ὁ νομοθέτης οὐκ ἐξεφυλοφόρησεν[9] ἐκ τοῦ νομικοῦ συντάγματος τοὺς ἀπρεπεῖς καὶ ἀσέμνους γάμους, ἀλλ' ἑτέροις περὶ τῶν αὐτῶν καὶ ζητεῖν ἀφῆκεν; οὐκ ἔστι τοῦτο. ἀλλὰ κωλῦσαι βουληθεὶς ὁ

---

[1] Imo Basil. XLV, 2, 14. [2] Cf. Eustathii ὑπόμνημα l. l. [3] Leuncl. emendat μετά. [4] Cf. Eustathii commentarium l. l. p. 421. [5] Lege γεννωμ. [6] Adde δύο δισεξαδέλφας γαμοῦντες. [7] Sic ex Eustathio. Cod. αἷς. [8] Cap. 6. — Etiam hoc caput ex Eustathii commentario l. l. haustum est. [9] Lexicographi scribunt ἐκφυλλοφορεῖν. Apud Eustathium l. l. est ἐξυλοφόρησεν.

νομοθέτης καὶ ἐκ τῶν ἐπιτετραμμένων γάμων τινάς, οἳ μὴ[1] συγγενείας αἵματι κωλύονται, ὡς ἀπρεπεῖς, τὸν τοιοῦτον νόμον ἐξεφώνει. καὶ ἐπιφέρει εὐθύς[2]· „οὐκ ἔῤῥωται ὁ γάμος τῆς θυγατρὸς ἢ ἐγγόνης τῆς ἀξιωματικῆς πρὸς ἀπελεύθερον ἢ σκηνικὸν ἢ υἱὸν σκηνικοῦ ἢ καὶ σκηνικῆς.“ ὁ γοῦν τοιοῦτος νόμος οὐχ αἵματος μίξιν ἀλλὰ σεμνοπρέπειαν τῷ συγκλητικῷ γένει περιποιεῖ. καὶ βι. [κη΄] τί. [ε΄ κεφ. β΄]· „ὁ θετὸς υἱὸς καὶ αὐτεξούσιος γενόμενος οὐ δύναται τὴν γενομένην τοῦ θετοῦ πατρὸς γαμετὴν λαμβάνειν πρὸς γάμον· ὥσπερ οὐδ᾽ αὐτοῦ τοῦ υἱοῦ τὴν γαμετὴν ὁ αὐτεξούσιον αὐτὸν ποιήσας θετὸς πατήρ, κἂν ἡ θέσις λυθῇ· εἰ καὶ μὴ ἅπτεται τοῦ γένους αὐτῶν, ἡ μὲν γὰρ μητρυᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει. καὶ ὁ φυσικὸς πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα. τὸ φύσει γὰρ δίκαιον καὶ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται.“

[λδ΄.] Ὅτι δίκη ἐκινήθη παρὰ τῷ μαγίστρῳ τοιαύτη. εὐθύμιος καὶ γεώργιος δισεξάδελφοι. τούτων ὁ μὲν γεώργιος μεθ᾽ ἱερολογίας ἠγάγετο θεοδότην ὄνομα, οὐ μόνον οὐ γάμου ἀλλ᾽ οὐδὲ μνηστείας ὡραίαν. ἐπιζήσασα δὲ ἡ κόρη ἐνιαυτὸν ἕνα θνήσκει. ἔπειτα ὁ εὐθύμιος μαρίαν τὴν ταύτης μητέρα γαμεῖ. τὸν τοιοῦτον γάμον ὑπὸ κατηγορίαν ἐποίουν, καὶ ὁ μάγιστρος ἔγραψεν οὕτως· ἐπεὶ εὑρέθη διὰ τῶν μαρτύρων, ὡς ἡ θεοδότη ὑπερβᾶσα τὸν ε΄ ἐνιαυτὸν καὶ τοῦ ἕκτου ἀνυοῦσα συναφθείη πρὸς γάμον τῷ γεωργίῳ, ἐρευνηθῆναι εἰ προϋπῆρξε μνηστεία κατ᾽ αὐτὴν τὴν ἡμέραν οὐδὲν ἦν προσιστάμενον τῇ ἀποφάσει. εἰ μὲν γὰρ ὑπερβᾶσα ᾖ ἡ κόρη τὸν ζ΄ ἐνιαυτὸν, ὅτε τὰ τῆς ἱερολογίας ὑπεθιάζετο[3], προσῆκον ἦν ἄρα τοῦ γάμου ἐντὸς τοῦ ιβ΄ χρόνου γεγονότος πολυπραγμονεῖσθαι, εἰ συνέστη πρὸ τοῦ γάμου ἔννομος μνηστεία μετὰ τὸν ζ΄ ἐνιαυτὸν, ἵνα τοῦ γάμου μὴ λαμβάνοντος ὑπόστασιν, τέως γοῦν, εἰ νόμιμον ἰσχὺν ἔσχεν ἡ μνηστεία, καταστῇ δῆλον. ἐπεὶ δ᾽ ὁ χρόνος τῆς ὥσπερ ἐν σκηνῇ παιχθείσης[4] ἱερολογίας συνωμολόγητο καὶ παρ᾽ αὐτοῦ τοῦ κατηγόρου μὴ μνηστείας εἶναι δεκτικὸς, ἡ ἀμφισβήτησις πάλιν περιαιρεῖται[5] τῆς ἐναργοῦς παρανομίας πᾶσιν εἰς ὄψιν ὑποπιπτούσης. μνηστείαις μὲν γὰρ ζ΄ ἐνιαυτὸν εἶναι παρεληλυθότα, γάμοις δὲ γυναικῶν ιβ΄ θεσπιζόντων τῶν νόμων, εἰ μὴ καθάπερ νενόμισται συσταίη συνάλλαγμα, οὐδεὶς ἐπιτρίβεται τῷ πραχθέντι μῶμος· εἰ δέ τις ἐπακολουθήσει,

---

[1] Cod. οἷς. [2] Basil. XXVIII, 5, 6. [3] Vox lexicographis incognita.
[4] Cod. πεχθ. [5] Cod. περιείρηται.

περιπέσ..[1] φησὶ βι. [κη' τί. α' κεφ. ζ']· „ὁ κόρην ἥττονα τῶν ιβ' ἐνιαυτῶν ἀγαγόμενος πρὸς γάμον, οὐ συνίστησι γάμον· ἀλλ' εἰ μὲν προηγήσατο μνηστεία, μένει φυλαττομένη, κἂν τὰ μάλιστα τὴν μνηστευθεῖσαν ἐν τάξει γαμετῆς εἰς τὸν οἶκον αὐτοῦ ἀνήνεγκεν. εἰ δὲ μὴ προηγήσατο μνηστεία, μηδὲ τοιαύτην ἐξ ἀρχῆς ἔσχε διάθεσιν, οὐ διὰ τοῦτο μνηστεία νῦν γίνεσθαι δοκεῖ.“ οὕτως τοῦ νόμου θεσπίζοντος πάρεστιν ἐννοεῖν, ὅτι γάμου καὶ μνηστείας τὸ μεταξὺ τοῦ γεωργίου καὶ τῆς θεοδότης ἀπεστέρηται συνάλλαγμα, μήτε τὸν τοῦ γάμου τηρῆσαν καιρὸν καὶ τὸν τῆς μνηστείας λωβησάμενον. καὶ εἴωθεν ὁ νόμος τὴν φύσιν μιμεῖσθαι, καὶ ὃ μὲν οἶδεν αὕτη προσίεσθαι, τὸ δ' ἠγνοημένον ἐκείνῃ ἀποπέμπεσθαι. εἰ τοίνυν ἡ μὲν μὴ ἡβάσκουσα κόρη γονῆς ἐστιν ἀνεπίδεκτος, διὰ δὲ παιδογονίαν ὁ γάμῳ συνερχόμενος τῇ μὴ γεγονυίᾳ ιβ' ἐνιαυτοῦ φθορεύς ἐστιν, ἀλλ' οὐ γαμέτης· καὶ ὁ ἥττων τῶν ζ ἐτῶν διακρίσεως ἐντελοῦς ἀπορεῖ, ὁ δὲ μὴ διακρίνων οὐδὲ λελογισμένως δύναται συναινεῖν, συναινέσεως δὲ χωρὶς [σύμφωνον οὐκ ἐστὶ, καὶ γὰρ] σύμφωνόν ἐστι δύο ἢ καὶ πλειόνων ἀρεστὸν εἰς ταὐτὸν καὶ συναίνεσις· οὐκοῦν ἐπεὶ τὸ τοῦ γεωργίου καὶ τῆς θεοδότης συνάλλαγμα οὔτε τοῖς νόμοις οὔτε τῇ φύσει γνώριμόν ἐστιν, ἀκωλύτως ὁ τοῦ γεωργίου δισεξάδελφος εὐθύμιος τὴν τῆς θεοδότης μητέρα πρὸς γάμον ἠγάγετο. ὃ γὰρ ἀντ' οὐδενὸς δοκεῖ, τοῦτο πῶς ἔσται τῷ καλῶς καὶ ἐννόμως γεγονότι κώλυμα;

[λε'.] Ὅτι ὁ ἱερολογῶν τὸν ἥττονα τῶν ιβ' ἐτῶν γάμον ἐπὶ θήλει, ἐπὶ δὲ τῶν ἀῤῥένων τῶν ιδ' ὑπὸ αἰτίασιν καθυπάγεται.

[λς'.] Ὅτι ὁ θεῖος τὴν μνηστὴν τοῦ ἀνεψιοῦ ἥρπασε, ὁ δὲ νέος ἐμμένων τοῖς μνήστροις τὴν γυναῖκα ἠγάγετο, καὶ κατηγορεῖτο ὁ γάμος ὡς τοῦ θείου συνελθόντος τῇ γυναικὶ καὶ τοῦ ἀνεψιοῦ ἐπιβάψαντος μίξιν ἀθέμιτον. ἀλλ' ἠλέχθη μὴ τοιοῦτο γενέσθαι μήτε διαφθαρῆναι τὴν κόρην παρὰ τοῦ ἅρπαγος, καὶ ὁ γάμος ἔμεινεν ἀκατηγόρητος, ἐπειδὴ καὶ ἐκμάρτυρον ὑπεδείχθη γυναικῶν τὸ ἄθικτον τῆς κόρης τῇ ψηλαφήσει βεβαιουσῶν, ὧν οὐκ ἀπόβλητον τὸ μαρτύριον, ὅτι μαρτυροῦσι καὶ γυναῖκες ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται. καί φησι βι. κά τί. α'[2]· „ἡ γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ· ἐν ἄλλοις δὲ μαρτυρίαν νέμει.“

[λζ'.] Ὅτι ὁ ἕβδομος ἐπὶ τῶν ἐξ ἀγχιστείας συνημμένων

---

[1] Forte excidit aliquid. [2] Cap. 17.

πρὸς γάμον οὐ κεκώλυται. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος. ἀδελφοῖς δύο, γεωργίῳ καὶ βασιλείῳ, παῖδες, τῷ μὲν γὰρ γεωργίῳ μαρία, τῷ δὲ βασιλείῳ εἰρήνη. αὕτη γεννᾷ μαρίαν. λαμβάνει γυναῖκα τὴν θυγατέρα τοῦ γεωργίου μαρίαν ἰωάννης, τὴν δὲ μαρίαν τὴν τοῦ βασιλείου ἐγγόνην δημήτριος, ὁ τοῦ ἰωάννου ἀδελφὸς, ὡς ἀποτελεσθῆναι ἀδελφοὺς β' γάμον πρός τε τὴν μαρίαν καὶ τὴν τῆς ἐξαδέλφης αὐτῆς θυγατέρα. ὅπερ ἁπλῶς ἐκδεχόμενον φαντασίαν ἐμποιεῖ κατηγορήματος, ἀνεπιτίμητον δὲ ἐστίν. ἀπὸ μὲν γὰρ τοῦ ἀδελφοῦ πρὸς τὸν ἀδελφὸν βαθμοὶ ῥέουσι δύο, ἡ δὲ μαρία πρὸς τὴν τῆς ἐξαδέλφης αὐτῆς θυγατέρα καὶ βαθμοὺς διέστηκε πέντε. οὐκοῦν ὁ ἰωάννης, διὰ τοῦ πατρὸς περαιούμενος πρὸς τὸν ἀδελφὸν, εἶτα διὰ τῆς νύμφης αὐτοῦ μαρίας ἀνιὼν πρὸς τὸν πάππον, ἐκ τοῦδε δὲ κατιὼν πρὸς τὴν μαρίαν, ζ' περιτυγχάνει βαθμοῦ, καὶ ἀκωλύτως ἄγεται τὴν μαρίαν, οὔτε τὸν νόμον οὔτε τὸν κανόνα δεδιώς. ὁ μὲν γὰρ νόμος[1] φησί· „κωλύονται πρὸς τὸν γάμον ἀδελφοὶ καὶ ἐξάδελφοι καὶ οἱ ἐκ τούτων τικτόμενοι παῖδες," καὶ μόνον δὲ ταύταις ταῖς[2] τρισὶ συζυγίαις ἐκ μιᾶς καταφερομέναις ῥίζης τε καὶ γονῆς καὶ βαθμὸν ϛ' συγγενείας ἀποτελούσαις ὁ γάμος ἀπείρηται, τὸ δ' ἑξῆς διάδι[3] νόμος τὸ συνοικέσιον ῥητῶς ἐφίησι, συνάπτων τὸ δὲ χηρευγὲν[4] αἷμα καὶ συνάγων, ὥσπερ τινὰ ποταμὸν ἕνα, εἰς δύο μὲν διῃρημένον, αὖθις [δὲ] συῤῥέοντα εἰς μισάγγιόν[5] τι, χρὴ νοεῖν ἢ λέγειν περὶ τῶν μὴ δι' αἵματος ἀνεπιμίκτων ἐξ ἀγχιστείας εἴτουν[6] ἀριθμουμένων βαθμῶν καὶ τὸν ἕκτον παραθεόντων. οὐ γὰρ ἴσος ὁ ἕβδομος βαθμὸς τῷ συγγενεῖ καὶ ἀγχιστεῖ, ὅτι καὶ ὁ ἀδελφὸς πρὸς τὴν τοῦ ἀδελφοῦ γαμετὴν καὶ νύμφην ἐπινοίᾳ μὲν καὶ λόγῳ τινὶ πλαστικῷ δεύτερον[7] ἀριθμεῖ βαθμὸν, τῇ δὲ τῶν σωμάτων ἑτερότητι καὶ τῷ φαινομένῳ πράγματι ἡ ἀπαρίθμησις πλεονάζεται· οὐ γὰρ ὥσπερ ἐπὶ τῶν τρισεξαδέλφων τὸ ἅπαξ διαιρεθὲν ῥεῦμα εἰς ἓν συνίστησιν, ἀλλὰ καὶ δύο ἑτεροφυεῖς κλάδοι δυσὶν ἑτερογενέσι καὶ ἀπεσχοινισμένοις ἀλλήλων μίγνυνται.

---

[1] Basil. XXVIII, 5, 1 indicari videtur. [2] Cod. *καὶ ταῖς*. [3] Corruptela laborat hic locus, quam frustra sanare studui. [4] Legerim *τὸ διαιρεθέν*. [5] Apud lexicographos non invenio. Legerim *μεσαγγεῖον*. [6] Legendum videtur *εἴτουν ἐξ ἀγχ.* [7] Cod. videbatur habere: *μαστικῶν δρι^{τα}*.

ΤΙΤΛΟΣ ν'.

Περὶ προτιμήσεως ἐξ ἀνακοινώσεως.

[α'.] Ἐπὶ[1] τῆς προτιμήσεως τῆς περὶ ἀνακοινώσεως δεκαετία ὀφείλει ἀντιτίθεσθαι. οἷον ἔσχες οἰκίαν, εἰς ἣν εἶχον ἐγὼ ἀνακοίνωσιν ἢ πλησιασμὸν ἢ ἄλλο τὶ, ὅπερ προσεποίει μοι τὴν προτίμησιν. ἐπώλησας τὴν οἰκίαν, μὴ περὶ ἐξωνήσεως προφωνησάμενός με· δεκαετία μοι σώζεται εἰς τὸ κινεῖν τὴν περὶ προτιμήσεως ἀγωγήν. εἰ γὰρ εἴπης· ἀλλ' ἐντὸς τετραμήνου ὀφείλεις κινεῖν κατὰ τὸν νόμον· ἀλλ' ὁ νόμος τοῦτο οὐκ ἀορίστως εἶπεν. εἰ μὲν γὰρ προεφωνήθη, τῇ τετραμηνιαίᾳ ἀποκλείομαι· εἰ δὲ οὐ προεφωνήθη, ἡ δεκαετία φυλάττεταί μοι. τὸ δὲ λέγειν, ἀλλὰ παρῆς, ὅτε ἐπιπράσκετο ὁ οἶκος καὶ οὐκ ἀντέλεγες, τοῦτο οὐδὲ προσίσταταί μοι· καὶ σὺ γὰρ ὁ ἀγοράζων ἔβλεπες, ὅτι ἀνακοίνωσιν εἶχον ἢ πλησιασμὸν ἢ ἄλλο τὶ δίκαιον, καὶ ὤφειλες προφωνῆσαι. εἰ μὲν οὖν προεφωνήσω, ἡ τετράμηνος ἐπικουρήσει[2], εἰ δὲ μὴ ἐπροφωνήσω, ἡ δεκαετία βοηθεῖ μοι.

[β'.] Ὅτι[3] μερικῶς ἔχων τὶς ὡς ἐξ ἀνακοινώσεως οἴκου προτίμησιν, οὐκ ἐβούλετο τὸν ὅλον οἶκον ὠνήσασθαι. καὶ ὁ δικαστὴς ἔκρινεν οὕτως· ὅθεν πρὸς τὴν ὅλην πρᾶσιν μὴ ὑποκύπτων παρεῖται δηλονότι καὶ τὴν μερικὴν προτίμησιν· ὑπὲρ γὰρ τοῦ πράτου καὶ τοῦ ἀγοραστοῦ τοῦτο κατὰ καινοτομίαν εἰσήχθη τὸ νόμιμον, καὶ δικαίως ἐπενοήθη· ὡς μὴ τὰ ἕτερα ἐναπομένοντα δηλονότι ἀναγόραστα μείνωσι διὰ τὴν τοῦ νόμου τῆς ἀνακοινώσεως βοήθειαν.

[γ'.] Ὅτι[4] ὁ ἔχων ἀνακοίνωσιν ἐπί τινι προτιμᾶται. πλὴν ἐὰν ἐν οἴκῳ μεγάλῳ ἔχω ἀνακοίνωσιν μικρὰν, εἰς τὸ ἀνακοινωμένον μόνον προτιμῶμαι, καὶ ἀναγκάζομαι τὸν οἶκον ὅλον ὠνήσασθαι, καὶ μὴ ἀγοράζων ἐκπίπτω καὶ τῆς ἀνακοινώσεως· πλὴν μὴ θέλοντος τοῦ πράτου ὅλον τὸν οἶκον ὠνήσασθαί με, οὐκ ἔχω δίκαιον ἐκ τῆς μικρᾶς ἀνακοινώσεως ἐπιζητεῖν τὸ ὅλον.

[δ'.] Ὅτι κτίζων τὶς οἰκήματα καὶ κωλυόμενος τῇ ἀποστασίᾳ τῶν τόπων, εὗρε τὸν γείτονα συγχωροῦντα διὰ γραμμάτων αὐτοῦ (ἔξω γὰρ ἦν διατρίβων) κτίσαι τὰ οἰκήματα ἄνευ διαστολῆς. εἶτα ἡ τοῦ μαγίστρου τοῦ σκληροῦ θυγάτηρ

---

[1] Harm. III, 3, 110. [2] Harm. rectius ἐπικουρεῖ σοι. [3] Harm. III, 3, 116. [4] Ibid. 117.

ἐκίνησε δίκην, λέγουσα κακῶς κτίζεσθαι τὰ οἰκήματα· ὁ δὲ δεσπότης τὴν τοῦ γείτονος συγχώρησιν ὑπεδείκνυε, καὶ αὐτὴ ἀντιτέθεικε τὰ οἰκήματα τοῦ συγχωρήσαντος μὴ ἴδια αὐτοῦ εἶναι, ἀλλὰ μοναστηρίου αὐτῇ διαφέροντος. καὶ ὁ μάγιστρος ἐσημειώσατο οὕτως· τὸν πέτρον, ὃς συνεχώρησε τὴν κτίσιν τῶν οἰκημάτων, ἡ νομικὴ αὐθεντία ἐβάρυνεν ἢ πεῖσαι τὴν τοῦ μαγίστρου θυγατέρα παραχωρῆσαι ἑστᾶναι τὰ οἰκήματα, ὅσα τὸ δίκαιον τῆς ἀπόψεως καθαιρεῖ, ἢ τοῦτο μὴ δυνάμενον ποιεῖν δοῦναι μὲν τὸ ζημίωμα τῶν ἀναλωμάτων τῷ κτίσαντι, ἔχειν δὲ ἀγωγὴν κατὰ τῆς ἐναγούσης θυγατρὸς τοῦ μαγίστρου.

[ε΄.] Ὅτι ἔκτισέ τις οἰκήματα δύο, καὶ τούτων τὸ μὲν ἓν ὁλοκλήρως ὑπὸ τὴν διάστασιν τῶν ρ΄ ποδῶν τῆς ἀπόψεως τῆς θαλάσσης ἐναπελαύνετο, τοῦ δὲ ἑτέρου μέρος. καὶ ἔκρινεν ὁ μάγιστρος οὕτως· χρὴ τὸ περιλιμπανόμενον οἰκοδόμημα ὃ διάκειται ἐν τῷ ἀνευθύνῳ τόπῳ συσταλῆναι· εἶτα εἰ μὲν ἐκεῖνο τὸ ὑπερβαῖνον τὸ μέτρον τῶν ρ΄ ποδῶν εὑρεθῇ ἀποφράττον τὴν πρὸς θάλασσαν ἄποψιν τῷ γείτονι, μένειν μὲν ἐντὸς τούτου ἀκαθαίρετα· τοῦ γὰρ μακροτέρου ἐναργῶς κτισθέντος καὶ οὐχ ὡς ἐν παραπετάσματι ἀλλὰ διηνεκῶς ἑστᾶναι μέλλοντος ἀσυλλόγιστόν ἐστι καὶ φθονερὸν τὰ πλησιάζοντα τοῖς οἰκήμασι τοῦ γείτονος καταβληθῆναι ὧν καὶ μετὰ τὴν κατάληψιν ἡ ἄποψις ἐμποδίζεται. εἰ δὲ τούτου δὴ τοῦ πολλῷ διεστῶτος οἰκήματος συστελλομένου καθ᾽ ὃν εἴρηται τρόπον ἡ τῆς θαλάσσης ἄποψις οὐ κωλύεται, δεῖ καὶ τὰ ἐντὸς τούτου ὡς ἀπόψεως ὑπαυνιαθησομένης πολλῆς καταστραφῆναι. προσῆκον ἄρα τυγχάνει καταθῆναι τὴν καινοτομίαν τῶν μελλόντων περιαιρεθῆναι, ἵνα εἴπερ μετὰ τὴν κατάλυσιν τὸ μακρότερον μέρος οὐ συγχωρεῖ φαίνεσθαι θάλασσαν τοῖς προκύπτουσιν, ἐκ τοῦ οἰκήματος ἀπολαύῃ τοῦτο τὸ τοῦ κτίσαντος μέρος.

[ϛ΄.] Ὅτι ἠγόρασέ τις ἐκ τῆς τοῦ πρωμύτου μονῆς ἐρείπιον, πλησίον δὲ ἔχων τούτου ἕτερα οἰκήματα ἐπεσκεύασεν ἕτερα προσεγγίζοντα καὶ συναπτόμενα τοῖς τοίχοις τῶν παλαιῶν οἰκημάτων τῆς μονῆς, συμφωνήσας καταβάλλειν καὶ ἐτήσιον ἐμφύτευμα πρὸς τὴν μονήν. θνήσκων τοίνυν κατέλιπε ταῦτα μετὰ τῶν ἰδίων τῷ ἀνεψιῷ αὐτοῦ. τοῦ δὲ ὑπόχρεω γεγονότος τῷ δημοσίῳ διεπράθη πρὸς ἕτερον τὰ οἰκήματα, καὶ οὗτος οὐ πολὺν χρόνον δεσπόσας τῶν ἠγορασμένων διεπώλησε ταῦτα πρὸς ἄλλον. καὶ ἐκίνει ἡ μονὴ καὶ τὸ περὶ προτιμήσεως δίκαιον ἐκ τοῦ ἐμφυτεύματος καὶ τὸ περὶ ἐμφυτεύματος, ὅτι ἐπὶ πολλοῖς χρόνοις οὐ κατεβλήθη. καὶ ὁ μάγιστρος ἔκρινεν οὕτως· οἱ

τῆς πρωμίτου μονῆς τῶν μὲν προτέρων μετενέξεων πράως ἠνέσχοντο, τὴν δὲ τελευταίαν παράπαν οὐ προσήκαντο, καὶ δίκην ἐπῆγον τῷ μὲν ἠγορακότι περὶ προτιμήσεως, τῷ δὲ ἀπεμπωληκότι ἐνέξει περὶ τοῦ ἐμφυτεύματος, ὅπερ ἐπὶ πολλοῖς χρόνοις οὐ κατεβάλλοντο. καὶ ἡ μονὴ δίκαιον ἔσχε παραλαβεῖν τὰ οἰκήματα κατὰ δεσποτείαν ἐκ τῆς ἰσχύος τῆς προτιμήσεως· κεχωρήγηται δὲ τὰ τῆς προτιμήσεως τῇ μονῇ οὐ μόνον ἐκ τῆς συναφείας τῶν τοίχων τῆς συμπεπλεγμένης ὡς ἂν εἴποι τὶς θέσεως, ἀλλὰ πολλῷ πλέον ἐκ τῆς ἐπετίου[1] τοῦ τέλους καταβολῆς, ὃ δὴ καὶ μόνον ἰσχὺν ἄμαχον ἔχει καὶ ἀκίνητον. οὐ μόνον γὰρ προτίμησιν δίδωσι τὸ ἐμφύτευμα, ἀλλὰ καὶ ἐπὶ διετίᾳ μὴ καταβαλλόμενον ἀποστερεῖ τῆς δεσποτείας τῶν ἐκκλησιαστικῶν τόπων τοὺς ἀναβαλλομένους. ἀλλ' ἡμεῖς τὸ μὲν ἀπότομον βαδίσαι οὐ δεῖν ᾠήθημεν. βούλονται γὰρ αἱ διατάξεις, μὴ δυνατὸν[2] ἐμφυτευτὴν ἐξωτικοῖς τὰ ἐμφυτεύματα πωλεῖν, εἰ μὴ ἄρα ὁ ἐμφυτεύσας οὐκ ἐθέλει αὐτῷ δοῦναι τὸ δίκαιον τίμημα.

[ζ.] Ὅτι οὐκ ἔξεστι τοῖς ὑψηλοτέρας ἔχουσιν οἰκίας ἐπιπέμπειν ἐπίτηδες ὕλας καὶ συρφετοὺς πρὸς τὰ χθαμαλώτερα. καὶ τοῦτο ἔγραψεν ὁ μάγιστρος οὕτως· οὐκ ἔξεστι τῷ δεῖνι ἐκ τῶν ὑπερῴων αὐτοῦ καὶ τῶν θυρίδων καταπέμπειν τοῖς ταπεινοτέροις καὶ ὑποκειμένοις καθάρματα καὶ συρφετὸν ὕλης ἐπίτηδες. τὰ γὰρ ἐκ τῶν ὄμβρων ὕδατα ὡς φυσικὴν ἔχοντα τῆς ῥύσεως τὴν αἰτίαν ὑποδέχεσθαι χρὴ τὸν ἐνεσχημένον τῇ δουλείᾳ τῆς ῥύσεως.

Τ Ι Τ Λ Ο Σ να'.

Περὶ δικαστῶν.

[α'.] Τὸ λέγειν τὸν νόμον, πατέρα δικάζειν υἱῷ καὶ υἱὸν πατρὶ, περὶ αὐτεξουσίων χρὴ νοεῖν υἱῶν· περὶ γὰρ ὑπεξουσίων τοῦτο οὐκ ἔστιν, ἔνθα μέλλει ὁ τὸν ὑπεξούσιον ἔχων υἱὸν πατὴρ κερδαίνειν αὐτός. εὑρίσκεται γὰρ οὕτως ἐναντίωσις δύο νόμων· ἐστὶ γὰρ ἕτερος λέγων· οὐδεὶς ἑαυτῷ δικάζει. τοῦτο οὖν ἐστὶ τὸ ὅτι οὔτε ὁ πατὴρ οὔτε υἱὸς, οὔτε κύριος ὑπὲρ μισθωτοῦ, ἐν ᾧ ἐστιν ὑπόνοια κερδαίνειν αὐτὸν κρίνοντα, δύναται δικάζειν. τὸ δὲ πλέον ὅτι καὶ υἱὸς αὐτεξούσιος, ἐὰν γραφῇ

---

[1] Lexicographi ἐπέτειος scribunt. [2] Malim δύνασθαι.

παρὰ πατρὸς κληρονόμος, οὐ δύναται δικάζειν τῷ πατρί· αὐτὸς γὰρ αὑτῷ δικάζειν δοκεῖ.

[β'.] Τὸ λέγον ὅτι ἐπὶ τῶν χρηματικῶν ἡ τριετία ἐκτείνεται, τοῦτο οὐ τοῖς δικαζομένοις ἁρμόζει, ἵνα ὑπερτιθῶνται τὰ μέρη ἐπὶ τριετίᾳ καὶ μὴ τὰς οἰκείας δικαιολογίας προτιθῶσιν, ἀλλὰ διὰ τοὺς δικαστὰς εἰσηνέχθη. πολλάκις γὰρ δυσχεροῦς οὔσης τῆς δίκης δύνανται οἱ δικασταὶ ἐκτείνειν τὴν ἀπόφασιν καὶ μέχρι[1] τριετίας, πέρα δὲ ταύτης οὐ δύνανται· ἐντὸς δὲ καὶ τέμνουσι. τὰ γὰρ ὑπέρ τινος εἰσαχθέντα κατ' αὐτοῦ οὐχ ἑρμηνεύονται.

[γ'.] Ὅτι[2] ὅτε νόμος ἀντίκειταί τινι πράγματι, κἂν πάνυ δικαιότατόν ἐστι τὸ γινόμενον, ἀπρόσδεκτόν ἐστι τοῖς δικαστηρίοις. οἷον νόμος ἐστὶ μὴ δίδοσθαι πράγματα ἢ κατεμπιστεύεσθαι τῷ μὴ ὑπὲρ τὸν κε' χρόνον ἀφήλικι. εἰ οὖν ἐπίτροπος χειρίσει πράγματα ἀφήλικι κατὰ τὴν κδ' ἡμέραν τοῦ ιβ' μηνὸς τοῦ κε' χρόνου, καὶ δαπανήσῃ ταῦτα ὁ ἀφήλιξ, ἔχει ἐπὶ τούτοις ἀποκατάστασιν· καίτοιγε οὐκ εἰκὸς [τὸν] ἀφήλικα διὰ τῶν λειπομένων ἓξ ἡμερῶν τοῦ τελείου αὐτοῦ χρόνου φρονιμώτερον γενέσθαι. εἰ γὰρ ὑπερέβη τὸν κε' χρόνον ὁ ἀφήλιξ, καλῶς κατεπιστεύθη αὐτῷ τὰ πράγματα. πανταχοῦ τοίνυν ἔνθα νόμος ὡρισμένος ἐστὶν, ἐκεῖνον δεῖ φυλάττειν, καὶ οὐ κρατεῖ τὸ παρὰ τοῦτον γινόμενον, κἂν πάνυ δικαιότατόν ἐστιν.

[δ'.] Ὅτι καλῇ πίστει δικαστήρια ἐκεῖνα λέγονται τὰ συνιστώμενα ἀπὸ συμφώνων, οἷον πράσεων ἀγορασιῶν, πάκτων μισθώσεων καὶ τῶν τοιούτων.

[ε'.] Ὅτι[3] καὶ πρὸ πέρατος τῆς δίκης χρὴ τὰς [κατα]δίκας ἐκφέρεσθαι, ὅτε ἀποδιδράσκων τὴν δίκην ὁ ἐναγόμενος διατελεῖ. καὶ ἔλεγεν ὁ μάγιστρος, ὅτι ἐπειδὴ ἔκκλητος ὑπολέλειπται τῷ δικαζομένῳ, τίνος ἕνεκεν ἐκπίπτει τῆς δίκης; πάντως γὰρ ἐφεῖται αὐτῷ ἡ ἔκκλητος. οὐ μέντοιγε ἁπλῶς κατεδίκασε τὸν μὴ βουλόμενον ἐπεξελθεῖν μέχρι πέρατος τῆς δίκης, ἀλλ' ὅρον ἐδίδου τῆς παραστάσεως, καθ' ὃν εἰ μὴ ἀπήντησεν, αὐτοτελῆ τὴν δίκην ἐπέφερεν.

[ϛ'.] Ὅτι εἴ τινι δικαστῇ παραπεμφθῇ παρά τινος τῶν ἀντιπροσωπόντων τῷ βασιλεῖ δίκη, οὐκ ἔχει οὗτος ὁ δικαστὴς ἐξουσίαν ἀπολύειν ἢ καταδικάζειν τὸ μέρος, ἀλλὰ διαγνώμονος μόνον ἔχει τάξιν. εἰ δὲ καὶ γίνηται ἔκκλητος παρὰ

---

[1] Cod. μετά. [2] Harm. I, 1, 24. [3] Harm. I, 4, 19. 20. — Cf. supra tit. XXXIII.

τοῦ δικασθέντος παρ᾽ αὐτοῦ, οὐ κατὰ τοῦ διαγνώμονος κινεῖται ἡ ἔκκλητος, ἀλλὰ κατὰ τοῦ δεδωκότος αὐτῷ τὴν δίκην. ὡς βι. ζ τί. α΄ κεφ. α΄ καὶ γ΄.

[ζ΄.] Ὅτι σωματεῖον καὶ σύστημα διαφέρει. σωματεῖον μὲν γάρ ἐστι πᾶσα τέχνη, ἥτις διὰ χειρὸς ἔχει τὴν ἐργασίαν· οἷον σκυτοτομικὴ ἢ βαπτική. σύστημα δὲ ἡ μὴ ἔχουσα διὰ χειρῶν τὴν ἐργασίαν, οἷον οἱ πρανδιοπράται καὶ οἱ μεταξοπράται καὶ οἱ λοιποί, οἵτινες αὐτοὶ οὐκ ἐργάζονται. ἀνάγνωθι βι. η΄ τί. β΄[1].

[η΄.] Ὅτι μετὰ ψῆφον καινοῖς δικαιώμασιν οὐ δεῖ χρῆσθαι, εἰ μὴ ἔσθ᾽ ὅτε ἐπὶ δημοσίου πράγματος. βι. ϑ΄ τί. γ΄ κεφ. λδ΄[2].

[ϑ΄.] Ὅτι ἑκατὸν μιλίων ἡ πόλις ὁρίζεται. τοῦτο ἔλεγεν ὁ πατρίκιος ἐπινοηθῆναι διὰ τὴν ῥώμην, διότι οἱ ἔξωθεν ταύτης οἰκοῦντες οὐκ ἠξιῶντο τῆς τῶν πολιτῶν[3] προσηγορίας, καὶ διὰ τοῦτο ἐνομοθέτησεν ἡ σύγκλητος ἄχρις ἑκατὸν μιλίων τοὺς οἰκοῦντας ἐκτὸς τῆς πόλεως πολίτας ὀνομάζεσθαι. τοῦτο δὲ καὶ νῦν ἐγένετο. οἱ γὰρ ἄχρις ρ΄ μιλίων οἰκοῦντες χωρῖται ἔξωθεν τῆς πόλεως καὶ πωλοῦσι καὶ ἀγοράζουσι καὶ οὐκ ἔχουσι τὰ προνόμια, ἃ ἔχουσιν οἱ ἐπέκεινα τῶν ρ΄ μιλίων οἰκοῦντες, ἀλλ᾽ ἀνῃρέθη παρὰ τῆς νεαρᾶς τοῦ κυροῦ βασιλείου τοῦ βασιλέως[4] εἰπούσης, πάντα χωρίτην πωλοῦντα πρὸς δυνατὸν τὸ ἴδιον ἀναργύρως τοῦτο λαμβάνειν. ἀνάγνωθι[5] βι. ς΄ τί. κβ΄ καὶ βι. ζ τί. α΄.

[ι΄.] Ὅτι χαμαιδικαστὴς λέγεται ὁ δοθεὶς εἰς δίκην διαγνώμων παρὰ ἄρχοντος θεματικοῦ ἐκ πρώτου, οὐ μὴν αὐτὸς ὢν δικάστὴς οὐδὲ παρὰ βασιλέως δοθείς, ὡς βι. ζ΄ τί. α΄. καὶ ἔκρινεν ὁ μάγιστρος ἐπὶ δίκῃ κινηθείσῃ εἰς τὸ στενὸν κατὰ τοῦ μητροπολίτου μελιτινῆς, ὁμοίως καὶ εἰς τοῦ δομεστίκου τοῦ μαρίνου.

[ια΄.] Ὅτι ἐπὶ τῶν ἀσαφῶν τὸ ἧττον ἐπιλεγόμεθα. ἐπειδὴ νόμος ἐπὶ τῶν ἀσαφῶν τὸ ἧττον ἐπιλέγεσθαι διακελεύεται· ἧττον δὲ τὸ μὴ εἰς ἀπαίτησιν ἐρχόμενον.

[ιβ΄.] Ὅτι ἀπὸ τοῦ ἀσαφοῦς οὐδὲ λαμβάνει ὁ ἐνάγων· διότι καὶ ὁ νόμος[6]· „ἐπὶ τοῦ ἀσαφοῦς πράγματος κρεῖττον εὐνοεῖν τῇ ἀπαιτήσει ἢ τῷ ἐπεισάκτῳ κέρδει“ καί[7]· „ἐπὶ τοῖς ἀμφιβόλοις τὸ καλοθελὲς δεχόμεθα.“

[1] Videtur allegari c. 101 ejus libri ac tituli Basil. [2] Heimbachio c. 35. [3] Cod. πολεμικῶν. [4] De qua vide ad tit. VIII c. 1. [5] Haec verba: ἀνάγνωθι κτλ. fortasse ad c. 10 pertinent. [6] Basil. II, 3, 41. [7] Ibid. c. 192.

[ιγ'.] Ὅτι καὶ τὰ ἐκφωνούμενα βλάπτουσιν, οὐ μὴν τὰ μὴ ἐκφωνούμενα· καὶ τὰ μὴ δυνάμενα ἐννοηθῆναι ἀντὶ μηδὲ γεγραμμένων παραλαμβάνονται.

[ιδ'.] Ὅτι οὐ βλάπτει τινὰ τὸ μήτε εἰς ἐπερώτησιν κατενεχθὲν μήτε ψιλῶς ἐπαγγελθέν.

[ιε'.] Ὅτι ὁ νόμος[1] φησίν· „ἑτοιμότεροι ὀφείλομεν εἶναι προφάσεως παρεμπεσούσης ἀρνεῖσθαι τὴν ἀγωγὴν εἰς τὸ τὴν ἐλευθερίαν ἁρμόσαι τῷ ἐναγομένῳ.“

[ις'.] Βι. ζ' τί. α' κεφ. τελευταῖον, νεαρὰ ρκε'. Ὅτι νόμος[2] ἐστίν, ὅταν διαφωνία γένηται ἐν τοῖς δικάζουσιν, ἕκαστον τῶν δικαστῶν[3] τὴν ἰδίαν ψῆφον διδόναι· καὶ ἕτερος νόμος[4]· „ἡ τῶν πλειόνων ψῆφος κρατεῖ.“ τούτους τοίνυν τοὺς δύο νόμους ἐναντιοφανεῖς ἔλεγεν εἶναι ὁ ὀφρυδᾶς σημειούμενος σχεδὸν καὶ ἐναντίους, καὶ τὸν μέν, ὅτι ἡ τῶν πλειόνων ψῆφος κρατεῖ, παλαιὸν εἶναι νόμον καὶ τῶν διγέστων, τὸν δὲ ἕκαστον ἀναγκάζεσθαι τὴν ἰδίαν διδόναι ψῆφον νεαρότερον καὶ ἀναιρετικὸν τοῦ προτέρου. ἀλλ' ὁ νομικώτατος καὶ σοφώτατος μάγιστρος ἐρωτήσαντός μου τοῦτο ἡρμήνευσε μὴ καλῶς σημειώσασθαι τὸν ὀφρυδάν· οὐδὲν γὰρ τῶν κειμένων ἐν τοῖς βασιλικοῖς εἶναι τῶν ἀνῃρημένων, ἀλλὰ τούτους τοὺς προειρημένους δύο νόμους κρατεῖν κατὰ τοὺς οἰκείους καιροὺς καὶ τὰς ὑποθέσεις[5]. ὅτε γὰρ τυχὸν δέκα δικασταὶ δικάζοντες διαφωνήσουσι καὶ οἱ μὲν ἓξ τῇδε στοιχήσουσι τῇ ἀποφάσει, οἱ τέσσαρες δὲ ἑτέρας εἰσὶ ψήφου, τότε ἀναγκάζονται πάντες ψηφίσασθαι καὶ παρασχεῖν ἔγγραφον ψῆφον. ἡ[6] μὲν τῶν ἓξ ψῆφος ἰσχυροτέρα τε ἐστὶ καὶ κρατεῖ, μὴ οὐχὶ[7] ὑποκεῖσθαι ἐκκλήτῳ, ἀλλὰ μᾶλλον εἰς τὸ διὰ τῆς ἐκκλήτου δοκιμάζεσθαι, εἰ καλῶς ἢ μὴ ἐξεφωνήθη ἀντιλεγόντων τῶν ἑτέρων δ' δικαστῶν. διὰ τοῦτο τοίνυν εἴρηται κρατεῖν τὴν τῶν πλειόνων ψῆφον, ὅτι οὐχ ἡ σημείωσις τῶν δ' προφερομένη ἐξετάζεται, ἀλλ' ἡ παρὰ τῶν ἓξ γενομένη δικαστῶν ἐκείνη διὰ τῆς ἐκκλήτου[8] καὶ τὴν ἐπήρειαν[9] καὶ τὴν ἀμαθίαν καὶ τὴν ἄγνοιαν διορθοῦται· καὶ καθ' ὃ μὲν καλῶς ἔκριναν, κρατεῖ, καθ' ὃ δὲ ἔπταισαν μέρος, διορθοῦται ὑπὸ τῆς ἐκκλήτου. εἶπον ἐγώ· φέρε[10] τυχὸν γενέσθαι παρὰ τῶν ἓξ δικαστῶν καὶ δοθῆναι τῷ ἑνὶ μέρει, καὶ ἑτέραν σημείωσιν παρὰ

---

[1] Basil. LII, 1, 46. [2] Basil. VII, 1, 18. [3] Cod. δικαστικῶν. [4] Bas. IX, 3, 36. Ibi legitur: ἡ τῶν ἄλλων ψ. quod corrigendum est. [5] Cod. ὑπεθ. [6] Malim καὶ ἡ. [7] Legerim μὴ ὡς οὐχί. [8] Nonnulla hic exciderunt, nisi forte κατὰ pro sequenti καὶ legendum sit. [9] Cod. ἀπηρείαν. Forte ἀπειρίαν. [10] Legerim ψῆφον.

τῶν τεσσάρων κριτῶν καὶ δοθῆναι τῷ ἑτέρῳ μέρει, καὶ μηδέτερον μέρος κινῆσαι τὴν ἔκκλητον, ἀλλὰ διελθεῖν τὸν τῆς ἐκκλήτου καιρόν. τί τοίνυν ἔσται; ποία τούτων κρατήσει; καὶ ὁ μάγιστρος εἶπε, τὴν τῶν ἓξ ἀνδρῶν ἰσχυροτέραν εἶναι σημείωσιν, τὴν δὲ τῶν δ' μηδὲν ἔχειν ἰσχυρὸν ἐκ τοῦ παρελθεῖν τὸν τῆς ἐκκλήτου καιρόν. οὕτως οὖν εἶπεν ἐνεργεῖν ἀμφοτέρους τοὺς νόμους καὶ μηδεμίαν ἔχειν ἐν αὐτοῖς διαφωνίαν.

[ιζ'.] Ὅτι ἀφ' ὧν ἕτεροι πρὸς ἀλλήλους εἴπωσιν ἢ γράψωσιν, ἕτερος οὐχ ὑφίσταται βλάβην. καὶ τοῦτο ἐκρίθη ἐπὶ τῇ ὑποθέσει τοῦ μετρητοῦ. ὁ γὰρ ἀντίδικος αὐτοῦ προεκόμιζε συμφωνίας ἑτέρων διαλαμβανούσας περὶ τῆς κινουμένης δίκης, καὶ ἐσημειώσατο ὁ δικαστὴς, εἰπών· ἀφ' ὧν μὲν γὰρ ἕτεροι πρὸς ἀλλήλους εἶπον ἢ ἔγραψαν, ὡς ὁ νόμος φησὶν, ο μετρητὴς οὐχ ὑφίσταται βλάβην. ὅτε δέ τις τῷ παρ' αὐτοῦ γεγονότι δικαιώματι χρῆται τοῖς κατ' αὐτοῦ γεγραμμένοις δικαιοσύνης λόγοις στοιχεῖν ἀναγκάζεται.

[ιη'.] Ὅτι οὐ χρὴ τὸν δικαστὴν ἀκολουθεῖν προγεγενημένῃ ψήφῳ, ἀλλὰ σκοπεῖν, τί τὸ τοῖς νόμοις ἀκόλουθον καὶ οὕτως ἀποφαίνεσθαι. ὡς βι. θ' τί. [α' κεφ. οθ'.]

[ιθ'.] Ὅτι οἱ κατὰ σημείωσιν δικῶν ἀκροώμενοι ὀφείλουσιν ὅρον ἐγγεγραμμένον διδόναι τὸν τὴν αὐτῶν γνώμην δηλοῦντα, φησὶ βι. ζ τί. α'[1]. καὶ νεαρὰ ἐστὶ τοῦ κυροῦ λέοντος[2] λέγουσα χρῆναι τοὺς δικαστὰς ἐκτιθέναι ψήφους ὑπογραφαῖς αὐτῶν ὠχυρωμένας.

[κ'.] Ὅτι[3] „ἐὰν ἀπόφασις λεχθῇ μόνον, μὴ μέντοι γραφεῖσα πρότερον ἀναγνωσθῇ, ἄχρηστός ἐστιν."

[κα'.] Ὅτι ὅσαι μὲν μαρτυριῶν δόσεις πράττονται ἢ καταθέσεις ἐπὶ δικαστηρίων, αὗται καὶ μετὰ τελευτὴν τοῦ δεξαμένου κριτοῦ τὰς μαρτυρίας καὶ τὰς καταθέσεις, εἴπερ ἐπὶ συνέδρων ἐπράχθησαν σωζομένης τῆς μεγαλειότητος καὶ τοῦ ἔθους τῶν πατέρων, ὡς ὁ νόμος φησὶν, εἰς ζήτησιν προφέρονται καὶ πιστεύονται, ὡς καὶ πάλιν ὑπὸ τῶν μαρτύρων δυνάμεναι πίστιν λαβεῖν καὶ ἐκ τῶν συνέδρων καὶ ἐκ τῶν ἀκροατῶν. ὅσαι δὲ λοιπαὶ ἀποσημειώσεις γίνονται παρὰ τῶν κριτῶν, αὗται μὴ πληρωθεῖσαι μετὰ τελευτὴν ἐκείνων οὐ παραδέχονται προκομιζόμεναι. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος ἐπὶ τῇ δίκῃ τοῦ καπιλάβη. τοῦ γὰρ πατρικίου πέτρου καὶ κοιαίστωρος ζητήσαντος τὴν δίκην καὶ σημείωσιν μὴ πεποιηκότος ἀλλὰ τε-

---

[1] Cap. 7. [2] Nov. 45 Leonis. [3] Basil. IX, 1, 66.

λευτήσαντος, καὶ ὕστερον ζητουμένης τῆς δίκης, καὶ προκομισθεισῶν τῶν σημειώσεων παρὰ τοῦ νοταρίου αὐτοῦ, καὶ δεχθεισῶν παρὰ τοῦ πατρικίου βαασακίου καὶ τοῦ πατρικίου λέοντος καὶ ἐπάρχου, καὶ ἐξ ἐγκλήτου δοκιμαζομένης πάλιν τῆς ἐξετάσεως παρὰ τοῦ μαγίστρου, οὗτος οὐδόλως παρεδέξατο τὰς τοιαύτας παρασημειώσεις, ἀλλ' ἔῤῥιψε τὸ ὑπόμνημα τῶν πατρικίων. τέθεικε δὲ νόμους τοὺς παραγεγραμμένους[1], καὶ ἐπήγαγε λογισμὸν τοιοῦτον· ἡμῖν δὲ νεκρικαῖς ἐπερείσασθαι πίστεσιν οὐ πάρεστι μήτε ὑπογραφῇ μήτε σφραγῖδι τοῦ μεταστάντος πεπιστωμέναις. ἀσύνηθες γὰρ τοῦτο καὶ μεγάλης συγχύσεως ἐργαστικὸν, εἰ τοῖς ταχυγράφοις τῶν δικαστῶν ἢ ἐπιστολεῦσιν (ἐπιπολάζει γὰρ καὶ τοῦτο τὸ σύστημα παρεισφερόμενον ἐνίοις τῶν ἐπαρχικῶν δικαστηρίων) ἄδεια χαρισθείη παρασημειώσεις προφέρειν καὶ δικαιοῦν ὡς βούλονται, προσέτι δὲ καὶ παρανόμους ἐγγραφὰς καὶ μῶμον ἐπιτρίβειν ταῖς ὑπολήψεσι τῶν κυρίων αὐτῶν.

[κβ'.] Ὅτι ὁ μάγιστρος ἔλεγε· νόμος ἐστὶ πραΰνεσθαι μᾶλλον τὰς ἀποφάσεις ἢ τραχύνεσθαι, καὶ ἕτερος νόμος ἐστὶν, ἵνα τὰς ὡρισμένας ποινὰς ἀπὸ τοῦ νόμου μὴ παραβαίνωσιν οἱ δικασταί. καὶ πῶς δύναται δικαστὴς πραῢναι τὴν ἀπόφασιν, ἔνθα παρὰ τοῦ νόμου τραχεῖα ἐστί; καὶ ἑρμηνεύων τὸ ῥητὸν ἔλεγεν, ὅτι τὸ πλαστὸν τιμωρίαν ἔχει δήμευσιν τελείαν καὶ τὰ ἑξῆς, καὶ οὐ δύναταί τις δικαστὴς ὁ εὑρὼν πλαστογράφον μὴ ἐπαγαγεῖν τὴν τοιαύτην ἀπόφασιν· καὶ τὸ ὡσανεὶ πλαστὸν τιμωρίαν ἔχει ὡρισμένην, ὁμοίως δὲ καὶ ἡ κλοπή. ἐστὶ μὲν οὖν ὡσανεὶ πλαστὸν τὸ γραμματεῖον τοῦ χρέους ἀφελέσθαι τὸν χρεώστην καὶ ἀπαλεῖψαι, καὶ ὑπόκειται ὁ τὸ γραμματεῖον αὐτοῦ ἀφελόμενος καὶ ἀπαλείψας τῷ ἐγκλήματι τοῦ ὡσανεὶ πλαστοῦ κατ' ὀρθὸν, ἀλλὰ θέλων ὁ δικαστὴς πραῦναι μᾶλλον τὴν ἀπόφασιν ἢ τραχῦναι, τὸν ἀφελόμενον τὸ γραμματεῖον οὐ κρίνει πλαστογραφίας, ἀλλὰ κλοπῆς. ἀμφότερα γὰρ τὰ ἁμαρτήματα, εἰ καὶ τιμωρίαν ἔχουσι διάφορον, ἀλλὰ τήνγε πρὸς τὸν δανειστὴν τὸν ἔχοντα τὸ γραμματεῖον ἴσην ἔχουσι κακουργίαν. καὶ τούτῳ ὁ δικαστὴς τῷ νομίμῳ κανόνι ἑπόμενος, ἔνθα εὕρῃ δύο ἁρμοζούσας ποινὰς, τὴν μὲν τραχεῖαν τὴν δὲ πρᾳοτέραν, πρὸς τὴν πρᾳοτέραν μάλιστα ἀποκλίνων νομίμως δοκεῖ ἀποφαίνεσθαι.

[κγ'.] Βι. κγ' τί. γ' κεφ. ιθ'[2]· „Ὑπέρθεσίς ἐστιν ἡ γενομένη τῷ δανειστῇ ἢ τῷ συνηγόρῳ αὐτοῦ ἢ τῷ διοικοῦντι πρά-

---

[1] Malim προγεγραμμένους, nimirum c. 18—20. [2] Heimb. est c. 24.

γματα αὐτοῦ καὶ οὐ δοκεῖ δι᾽ ἐλευθέρων προσπορίζεσθαι. εἰ γάρ καί τις τὸν ἀπ᾽ ἐμοῦ κλέψαντα συλλάβηται πρᾶγμά μου διοικῶν, περιποιεῖ μοι τὴν φανερὰν κλοπήν· καὶ ὁ συνήγορός μου ὀχλῶν τὸν ὁμολογήσαντά μοι δοῦλον διηνεκῆ μοι ποιεῖ τὴν τῆς μελλούσης ζημίας ἀγωγήν.“

[κδ΄.] Οἱ αἰγιαλοὶ ἐν τῇ πάντων ἐξουσίᾳ εἰσί. διὸ καὶ δεσπόζω τῶν ἐν αὐτοῖς παρ᾽ ἐμοῦ κτιζομένων, ὥσπερ καὶ τῶν ὑπ᾽ ἐμοῦ θηρευομένων. εἰ δὲ καὶ καταπέσῃ τὸ κτίσμα, πάλιν κοινὸς ὁ αἰγιαλὸς γίνεται. καὶ ἰνστιτούτων [βι. β΄] τί. α΄[1]· „φυσικῷ δικαίῳ κοινὰ πάντων ἀνθρώπων εἰσὶν ἡ θάλασσα καὶ οἱ αἰγιαλοὶ τῆς θαλάσσης, καὶ διὰ τοῦτο οὐδεὶς αἰγιαλῷ τῆς θαλάσσης προσελθεῖν κωλυθήσεται, οἷον ἀναπατεῖν ἢ ναῦν προσορμίζειν· οὕτω μέντοι ὥστε τῶν κωμῶν ἤτοι τῶν οἰκημάτων καὶ τῶν ἐκεῖ διακειμένων μνημάτων ἢ κτισμάτων ἀπέχεσθαι. ταῦτα γὰρ οὐ κοινὰ πάντων ἀνθρώπων εἰσί. ποταμοὶ δὲ πάντες καὶ λιμένες πούβλικοί εἰσι, τουτέστι τοῦ δήμου τοῦ ῥωμαϊκοῦ. διὸ καὶ τὸ ἁλιεύειν κοινὸν ἅπασίν ἐστι“ καὶ τὰ ἑξῆς. οὕτω τοίνυν καὶ ὁ μάγιστρος ἐν τῇ δίκῃ τῇ μεταξὺ τοῦ γέρμης καὶ τοῦ βαρὺ ἡρμήνευσε, καὶ εἶπεν, ὅτι κἂν δημόσιοι ὦσιν οἱ ποταμοὶ, ἀλλ᾽ οὖν γε μὴ ὄχθαι τούτων, [ἀλλὰ] τοῦ παρακειμένου εἰσὶ καὶ οὗτος κτίσαι μὲν ἐν αὐτοῖς καὶ ἀποκλεῖσαι καὶ κωλῦσαι τοὺς διερχομένους δύναται[2]. ἔχει οὖν το δίκαιον τὸ ἴδιον καὶ δεσπόζει τῆς ὄχθης.

[κε΄.] Ὅτι οὐκ ὀφείλει δικαστὴς διαξίμους ποιεῖν γυναῖκας. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος. τοῦ γὰρ κατανάγκῃ ἐγκαλέσαντος, ὡς ὁ κριτὴς πελοποννήσου τὸν ἀδελφὸν αὐτοῦ κατέχει εἰς τὴν φυλακὴν ὡς ἅρπαγα, καὶ αἰτησαμένου ἀνελθεῖν αὐτὸν καὶ τοὺς μέλλοντας αὐτῷ ἀντιδικάζεσθαι, αἰτησαμένου δὲ συνελθεῖν καὶ τὴν λεγομένην ἁρπαγῆναι γυναῖκα, ὁ μάγιστρος τὰ μὲν ἄλλα τῆς αἰτήσεως δέδωκε, τὸ δὲ καὶ τὴν γυναῖκα ἀνελθεῖν βαρὺ αὐτῷ κατεφάνη καὶ ἀπηγορευμένον τοῖς νόμοις, καὶ διὰ τοῦτο μόνῃ προστασίᾳ[3] βασιλικῇ ἐπείσθη τοῦτο ποιῆσαι, ἀσφαλισαμένου τοῦ κατανάγκη, ὡς εἰ ἂν ἔλθῃ ἡ γυνὴ καὶ εἴπῃ, ὅτι ἡρπάγη, ἵνα ὑποσχῇ αὐτὸς πρὸς τὸ μέρος αὐτῆς ὅλην τὴν ποινὴν τοῦ ἐγκλήματος, χρηματικῶς διδοὺς καὶ τὰς ὀκλάσεις[4] καὶ ἐξόδους τῆς γυναικός.

[κϛ΄.] Ὅτι ὁ νόμος καὶ ἄκοντάς τινας εὐεργετεῖ. ἐὰν γάρ

---

[1] Theophil. Inst. II, 1, 1. [2] Cod. οὐ δύν. [3] Malim προστάξει.
[4] Genuflexionis verbum hic non quadrat. Itaque legendum κλάσεις.

τις ἔχων τόπον εἰς στάσιν ἐποχῆς ἐπιτήδειον οὐκ ἔχει τόπου διάστημα, ἕτερος δὲ ἔχων ὅριον ἐγγὺς κωλύσει τὴν στάσιν, φησὶν ὁ νόμος, ὅτι κακίας ἐστὶ τὸ τοιοῦτον τὸ φθονῷ μὴ ἐᾶν τὸν γείτονα ὠφελεῖσθαι, καὶ διὰ τοῦτο ἀναγκάζεται ὑποδέχεσθαι τὴν στάσιν, καὶ λαμβάνειν ἐκ τοῦ κέρδους τῆς ἐποχῆς τὸ ἥμισυ, κἂν ὀλίγον ἔχῃ τόπον.

[κζ'.] Βι. ζ' τί. γ' κεφ. β'[1]· „Ὅτι κινουμένης τῆς τὴν κληρονομίαν ἀπαιτούσης ἀγωγῆς προσήκει τὸν δικαστὴν πᾶσαν οἱανδήποτε ἔξωθεν ἀνακύπτουσαν ζήτησιν καὶ διαφέρουσαν τῇ τοιαύτῃ ἀγωγῇ λύειν. οὐ λέγω ὅτι [εἰ] νῦν ἄρχων ἐπαρχίας κρίνει ὁ δυνάμενος καὶ περὶ τύχης κρίνειν, ἀλλ' εἰ καὶ τοιοῦτος ὁ δικαστής, ὃς εἰ πρωτοτύπως ἐκινεῖτο ἡ περὶ τῆς τύχης ζήτησις, οὐκ ἐδύνατο ταύτην δικάζειν, ἀλλ' οὖν προσήκει ὡς κεφάλαιον τῆς ἀγωγῆς τῆς ἀπαιτούσης τὴν κληρονομίαν καὶ περὶ αὐτοῦ διαλαβεῖν· ἡ γὰρ ἀπόφασις οὐ μέλλει περὶ τῆς τύχης ἐκφέρεσθαι, ἀλλὰ περὶ τῆς κληρονομίας."

[κη'.] Ὅτι τῶν ἐπὶ σχήματι καταλειφθεισῶν ὑποθέσεων, καινῶν συμβολαίων μετὰ ταῦτα εὑρεθέντων, τὰς ἀποφάσεις ἀνανεοῦσθαι εἰς ὑπόδειγμα βαρύ ἐστι. ζήτει τοὺς νόμους.

[κθ'.] Ὅτι τῷ παραιτουμένῳ τὸν δικαστὴν ιη' ἡμέραι δίδονται εἰς διάσκεψιν, ὥστε ἐντὸς δεῖξαι, ὅτι ἐχθρὸς αὐτοῦ ἐστὶν, ὅτι ἀκαταθύμιος αὐτοῦ ἐστὶ, καὶ τὰ λοιπὰ τὰ τῷ νόμῳ περιεχόμενα. ἔστι δὲ καὶ ἕτερος ν ό μ ο ς[2] λέγων· „οἱοσδήποτε δικαστὴς βήματος προεστὼς ἢ ἑτέραν ἔχων ἐξουσίαν δικαιοδοσίαν ἔχει κατὰ τῶν συναινούντων καὶ ὑποβαλλόντων ἑαυτούς· συναινεῖ δὲ ὁ γινώσκων μὴ ὑποκεῖσθαι τῇ δικαιοδοσίᾳ αὐτοῦ. εἰ γὰρ πεπλανημένως ἐνόμιζεν ὑποκεῖσθαι ἢ ἕτερον ἀνθ' ἑτέρου ὑπείληφεν ἢ ἀνθιστάμενον αὐτὸν ἠνάγκασεν ὁ πραίτωρ, οὐκ ἰσχύει κατ' αὐτοῦ ἡ δικαιοδοσία." ὡς βι. ζ' τί. ε' κεφ. β'. τούτῳ τῷ νόμῳ ἐχρήσατο ὁ μ ά γ ι σ τ ρ ο ς εἰς σημείωσιν, καταδικάζων δ ι κ α σ τ ὴ ν τ ὸ ν π ρ α ί τ ω ρ α ἑλκύσαντα γυναῖκα τ ο ῦ ἀ ν ε μ ᾶ εἰς δικαστήριον αὐτοῦ, ἵνα λάβῃ δίκην προκριθεῖσαν παρ' αὐτοῦ τοῦ μ α γ ί σ τ ρ ο υ ἔ τ ι κ ο ι α ί σ τ ω ρ ο ς ὄ ν τ ο ς. καὶ ἠ ρ ώ τ η σ α ἐ γ ώ· πῶς οὗτος μὲν ὁ νόμος λέγει, τὸν δικαστὴν τὸν ἕλκοντα εἰς δικαστήριον τὸν μὴ συναινοῦντα ἄνθρωπον ὑποκεῖσθαι τῷ περὶ βίας καὶ μὴ ἰσχύειν τὴν δικαιοδοσίαν τοῦ δικαστοῦ κατ' αὐτοῦ, ὁ δὲ ἕτερος νόμος φησὶν, ὅτι τῷ παραιτουμένῳ τὸν δικαστὴν ιη' ἡμέραι δίδονται πρὸς διάσκεψιν, ὧν

---

[1] Apud Heimb. est c. 33. [2] Basil. VII, 5, 1. 2.

ἐντὸς εἰ μὴ δείξει αἰτίαν εὔλογον ἀπολύουσαν αὐτὸν τοῦ δικαστοῦ, ἀναγκάζεται ποιεῖν παρὰ τῷ αὐτῷ δικαστῇ λόγον; καὶ ἡρμήνευσεν ὁ σοφὸς μάγιστρος οὕτως· ὅτι ἀφορμαὶ πολλαὶ εἰσὶ τῶν ἀνθρώπων καὶ τῶν δικαστῶν. οἱ μὲν γὰρ τῶν ἀνθρώπων εἰσὶν ἐπὶ ταῖς θύραις, καὶ ὑπόκεινται ταῖς ἑταιρειαρχείαις καὶ τῷ πρωτοβεστιαρίῳ· οἱ δὲ πλέουσι τὴν θάλασσαν, καὶ ὑπόκεινται τῷ παραθαλασσίτῃ· οἱ δὲ πλώϊμοι τῷ δρουγγαρίῳ· οἱ δὲ τῶν τεχνῶν τῷ ἐπάρχῳ· οἱ δὲ περὶ διαθήκας τῷ κοιαίστωρι. ἐὰν οὖν τις ἔχων δίκην, ὅτι οὐκ ἀληθής ἐστιν ἡ διαθήκη, ἑλκύσει τὸν ἀντίδικον αὐτοῦ παρὰ τῷ ἐπάρχῳ, ὁ δὲ ἀμνηστηθῇ[1] καὶ ψηφίσηταί τι κατ᾽ αὐτοῦ ὁ ἔπαρχος, οὐκ ἰσχύει ἡ δικαιοδοσία· ὁμοίως καὶ ἐὰν περὶ κεκωλυμένων βλαττίων ἢ ἑτέρας τέχνης κινῶν τις δίκην ἑλκύσῃ τὸν ἀντίδικον ἐπὶ τῷ παραθαλασσίτῃ, οὐδὲν ἐπὶ τούτῳ δύναται ἡ δικαιοδοσία τοῦ παραθαλασσίτου· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἐὰν δὲ περὶ χρέους ἐνάγῃ τὶς κατά τινος μὴ ὑποκειμένου τινὶ ἀρχῇ παρὰ δικαστῇ ᾧ βούλεται, ὁ δὲ ἐναγόμενος παραιτεῖται τὸν δικαστὴν, τότε ἐνεργεῖ ὁ ἕτερος νόμος ὁ λέγων δίδοσθαι τῷ παραιτουμένῳ ιη´ ἡμέρας, ἵνα, εἰ μὴ ἐντὸς τούτων δείξῃ τὸν δικαστὴν ἀκαταθύμιον αὐτῷ ἢ ἐχθρὸν ἢ φίλον τοῦ ἀντιδίκου ἢ τὰ λοιπὰ, καὶ ἄκων ἑλκυσθῇ παρ᾽ αὐτοῦ καὶ τὴν ἐπαγομένην αὐτῷ κατὰ[2] τοῦ ἀντιδίκου λύσῃ ἐνοχὴν, ἔχων εἰς βοήθειαν τὸν τῆς ἐκκλήτου καιρόν. ἀκαταθύμιον δὲ ἔλεγε δικαστὴν εἶναι τὸν ὀργίλον, τὸν ὀξύχολον καὶ τὰ ὅμοια.

[λ´.] Ὅτι πάντα ἄνθρωπον καλούμενον εἰς δικαστήριον παρά τινος χρὴ ἀπιέναι πρὸς αὐτὸν καὶ τότε προβάλλειν τὰς παραγραφάς. [εἰ δὲ] ὁ δικαστὴς μὴ προσέχων τῇ παραγραφῇ ἀναγκάσει αὐτὸν, οὐδὲ τούτου ἡ δικαιοδοσία τοῦ δικαστοῦ ἤγουν ἡ ἀπόφασις ἢ τιμωρία ἰσχύει κατὰ τοῦ ἐναγομένου, ἀλλὰ μᾶλλον ὑπόκειται ὁ δικαστὴς τῷ περὶ βίας. εἰ δὲ ὁ καλούμενος εἰς δικαστήριον καὶ ἔχων παραγραφὴν οὐκ ἀπειθῇ καὶ προθήσῃ τὴν παραγραφὴν, τότε ὁ δικαστὴς καὶ μὴ ὑποκείμενον τῇ δικαιοδοσίᾳ αὐτοῦ κολάζων οὐχ ὑπόκειται τῷ περὶ βίας.

[λα´.] Ὅτι ὁ πατρίκιος βάρδας καὶ ὕπατος ἐσημειώσατο, εἶτα ὁ πατρίκιος νικόλαος καὶ ἔπαρχος ἐζήτει μὲν περὶ τῆς αὐτῆς δίκης, οὐκ ἔφθασε δὲ σημείωσιν ποιῆσαι, ἀλλὰ τελευτήσαντος αὐτοῦ ὁ πρωτοσπαθάριος μιχαὴλ ὁ υἱὸς αὐτοῦ εὑρὼν τὰς ὑποσημειώσεις τοῦ πατρὸς καὶ παρεκ-

[1] Cod. μνηστευθῇ. [2] Malim παρά.

βαλὼν τὰ σημειωθέντα καὶ ὑπογράψας καὶ σφραγίσας ἐν αὐτοῖς ἔδωκε τῷ τὴν δίκην ἔχοντι. ἀλλ' ὁ μάγιστρος οὐκ ἐδέξατο ταύτην, σημειωσάμενος ὅτι οὐδὲ ὁ πατρίκιος νικόλαος ἠδύνατο εἰς ἐναντίωσιν ἰέναι προτέρας δικαστικῆς ἀποφάσεως χωρὶς βασιλικῆς ἀποφάσεως, οὔτε ὁ υἱὸς αὐτοῦ ἐδύνατο τὰς μὴ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ πατρὸς βεβαιωθείσας σημειώσεις προφέρειν εἰς μέσον· οὐ γὰρ ὥσπερ τοῦ κλήρου οὕτω καὶ τῶν κρίσεων τοῦ πατρὸς ὁ κληρονόμος κληρονόμος ἀναδείκνυται.

[λβ'.] Ὅτι δεῖ πάντα δικαστὴν ἕπεσθαι τοῖς κειμένοις νόμοις καὶ μὴ μεταποιεῖν τούτους μηδὲ παρερμηνεύειν, ὁ πατρίκιος ἐσημειώσατο γράψας τοὺς νόμους τούτους. φησὶ βι. β' τί. α' κεφ. λγ'· „οὐ δεῖ μεταποιεῖν τὰ πρόδηλον ἑρμηνείαν ἔχοντα μήτ' εὐχερῶς ἀναχωρεῖν τῆς σημασίας τῶν λέξεων.“ καὶ κεφ. κθ'· „ἐν τοῖς ἀμφιβόλοις καὶ ἀσαφέσι τὴν ἀνεπίληπτον ἑρμηνείαν προσιέμεθα.“ πρὸς δὲ τὴν ἐναντιοφάνειαν φησὶ κεφ. λϛ'· „οἱ προγενέστεροι νόμοι καὶ εἰς τοὺς μεταγενεστέρους ἕλκονται, καὶ οἱ νεώτεροι πρὸς τοὺς ἀρχαιοτέρους ἑρμηνεύονται καὶ νοοῦνται, ἐὰν μὴ φανερῶς ἐναντίοι ὦσιν.

[λγ'.] Ὅτι φησὶ βι. θ' τί. [α'] κεφ. [οθ']· „Ἡ παροῦσα διάταξις κελεύει τὸν δικαστὴν μὴ ἀκολουθεῖν ἑτέρᾳ ψήφῳ γεγενημένῃ, ἀλλὰ σκοπεῖν τί τὸ τοῖς νόμοις ἀκόλουθον καὶ οὕτως ἀποφαίνεσθαι,“ καὶ τὸ κατὰ πόδας τῆς διατάξεως[1]· „μηδεὶς δικαστὴς ἢ διαιτητὴς νομιζέσθω μηδὲ ταῖς κατὰ κονσουλτατίονα[2], ἅστινας μὴ ὀρθῶς[3] νοήσει, ἀκολουθητέον, καὶ πολλῷ πλέον[4] τῶν ἐξοχωτάτων ἐπάρχων ἢ τῶν ἄλλων ἐξάρχων. οὐ γὰρ εἰ μὴ καλῶς κριθῇ, ταῦτα καὶ εἰς ἄλλων δικαστῶν ἐλάττωσιν ἐκτείνεσθαι χρὴ, ὁπότε οὐχ ὑποδείγματι ἀλλὰ νόμῳ κριτέον ἐστίν.“

ΤΙΤΛΟΣ νβ'.

Περὶ διακατοχῆς.

[α'.] Ἡ διακατοχὴ δι' ἐνιαυτοῦ ἐπὶ ἐξωτικῶν αἰτεῖται, διὰ ρ' ἡμερῶν ἐπὶ τῶν συγγενῶν[5]. ἐστὶ δὲ διακατοχὴ, ἵνα, ὅταν

---

[1] l. 13 C. 7, 45. [2] Deesse videtur ψήφοις. [3] Addendum ψηφισθείσας, vel προβῆναι. [4] Adde ταῖς ψήφοις. [5] Imo vice versa.

καταλείψῃ μοί τις κληρονομίαν, προσέρχομαι τῷ πραίτωρι, καὶ αἰτῶ πεμφθῆναί με εἰς τὴν διακατοχὴν, τουτέστι καταστῆσαί με κληρονόμον καὶ δοῦναί μοι τὰ πράγματα.

Τ Ι Τ Λ Ο Σ νγ΄.

Περὶ δωρεῶν παντοίων.

[α΄.] Ὅτι τὸ η΄ κεφ. τοῦ α΄ τί. τοῦ ε΄ βι. φησί· „μὴ χρεία ἔστω πράξεως ὑπομνημάτων ἐπὶ τῆς ἄχρι πεντακοσίων νομισμάτων δωρεᾶς γινομένης εἰς ἐκκλησίαν ἢ εἰς εὐσεβῆ οἶκον ἢ εἰς πτωχοὺς ἢ εἰς πόλιν. ἐπὶ δὲ πλείονος ποσότητος πρᾶξις γινέσθω, εἰ μὴ βασιλέως ἐστὶν ἡ δωρεά.“ τὸ δὲ ξγ΄[1] κεφ. τοῦ α΄ τί. τοῦ μζ΄ βι. φησίν· „πᾶσα δωρεὰ, εἴτε ἁπλῶς εἴτε πρὸ γάμου, ἕως φ΄ νομισμάτων οὖσα ἰσχυέτω καὶ ἀνεμφάνιστος οὖσα, μὴ δεομένη πράξεως ὑπομνημάτων· εἰ δὲ πλέον εἴη, τὸ ὑπέρπλεον μὴ ἰσχυέτω· ἐξῃρημένων τῶν βασιλικῶν δωρεῶν καὶ τῶν εὐσεβείας λόγῳ γινομένων καὶ εἰς μνηστὴν διδομένων.“ περὶ τούτων τῶν δύο κεφαλαίων ὁ πρωτοασηκρῆτις ἀμφέβαλε, λέγων, ἐναντία εἶναι ἀλλήλοις. τὸ μὲν γὰρ πρῶτον νόμιμόν φησι μὴ ἰσχύειν τὴν δωρεὰν τὴν ὑπὲρ τὰ φ΄ νομίσματα καὶ χωρὶς πράξεως ὑπομνήματος, ἥτις εἰς εὐσεβείας λόγον γίνεται· καὶ πῶς, φησιν, οὐκ εἰσιν ἐναντία, εἴπερ τὸ μὲν λέγει τὰ γινόμενα εἰς πόλιν ἢ εἰς πτωχοὺς καὶ εἰς εὐσεβεῖς οἴκους δεῖσθαι πράξεως ὑπομνήματος, τὸ δὲ ἕτερον λέγει, ὅτι οὐ δέονται τὰ εἰς εὐσεβείας λόγον γινόμενα πράξεως ὑπομνήματος. οὕτως ἐνισταμένου τοῦ πρωτοασηκρῆτις ὁ μάγιστρος ἐποιήσατο ἀπολογίαν, καὶ ἔλυσε τῶν δύο νόμων τὴν ἀμφιβολίαν. καὶ ἐστὶν ἡ ἀπολογία αὕτη· οὐχ ἡ σὴ γνῶσις καὶ πολυμαθία ἐν τοῖς ἀναγνωσθεῖσιν ἡμῖν νόμοις ἐναντιοφάνειαν ὑπέλαβεν, ἀλλ᾽ ὁ τῆς βίβλου γραφεὺς προστέθεικεν, ὃ μὴ προσῆκε. συμβαίνουσι γὰρ ἀλλήλοις τὰ δύο νόμιμα καὶ τούτων οὐδεμία μέσον ἐναντιότης· τὸ μὲν γὰρ κείμενον ἐν τῷ α΄ τί. τοῦ ε΄ βι. κεφ. η΄ φησὶν οὕτως· „μὴ χρεία ἔστω πράξεως ὑπομνημάτων ἐπὶ τῆς ἄχρι φ΄ νομισμάτων δωρεᾶς γινομένης εἰς ἐκκλησίαν ἢ εἰς εὐσεβῆ οἶκον ἢ εἰς πτωχοὺς ἢ εἰς πόλιν. ἐπὶ δὲ πλείονος ποσότητος πρᾶξις γινέσθω, εἰ μὴ βασιλική ἐστιν ἡ δωρεά.“ οὕτω σαφὲς τὸ νό-

[1] Apud Heimb. c. 66.

μιμον, δεῖσθαι λόγων ὑπομνήματος καὶ τὰς πόλεις καὶ τοὺς πτωχοὺς καὶ τοὺς εὐσεβεῖς οἴκους ἐν ταῖς ἐπέκεινα τῶν φ' νομισμάτων δωρεαῖς, ὑπεξῃρημένων τῶν βασιλικῶν δωρεῶν. τὸ δὲ ἐν τῷ α' τί. τοῦ μζ' βι. κεφ. ξγ'[1] οὕτω φησί· „πᾶσα δωρεὰ, εἴτε ἁπλῆ εἴτε πρὸ γάμου, ἕως φ' νομισμάτων οὖσα ἰσχυέτω καὶ ἀνεμφάνιστος[2] οὖσα μὴ δεομένη πράξεως ὑπομνήματος· εἰ δὲ πλέον εἴη, τὸ ὑπέρπλεον μὴ ἰσχυέτω· ἐξῃρημένων τῶν βασιλικῶν δωρεῶν καὶ τῶν εὐσεβείας λόγῳ γινομένων καὶ τῶν εἰς μνηστὴν διδομένων." σκόπησον τοίνυν, ὅτι οὐκ ἐστὶ τοῦτο ἐναντίον πρὸς τὸ προανεγνωσμένον νόμιμον· τοῦτο γὰρ περὶ πάσης δωρεᾶς ἐστὶν εἰρημένον, ὑπεξαιροῦν ὁμοίως ἐκείνῳ τὰς βασιλικὰς δωρεὰς, ὑπεξαιροῦν δὲ καὶ τὰ εἰς λόγον εὐσεβείας γινόμενα. κἀκεῖ μὲν τοὺς [εἰς] εὐσεβεῖς οἴκους γινομένας δωρεὰς ὑπὲρ τὰ φ' νομίσματα δεῖσθαι πράξεως ὑπομνημάτων κεκανόνισται· ἄλλο γὰρ εὐσεβὴς οἶκος καὶ ἄλλο εὐσεβὴς αἰτία, οἷον τὰ εἰς λύσιν αἰχμαλώτων, τὰ εἰς τὸ ῥογευθῆναι, εἰς τοὺς ἐμβόλους ἢ καὶ εἰς πένητας πόλεως, εἰς φυλακάς. τὰ γὰρ τοιαῦτα οὐκ ἔχουσι μωνυμότητα δωρεᾶς γίνονται πολλάκις γράφονται οὐ παρέχεται δὲ νομὴν ὑπολείπεσθαι ἀγωγήν[3]. τὰ δὲ τοιαῦτα ἐν δόσει συνίστανται, καὶ ἡ δόσις ἀνάλωμά ἐστιν, ἢ ἵνα θρέψῃ τὸν λαμβάνοντα ἢ ἀπολύσῃ αὐτὸν δουλείας, καὶ ὁ ἐκκενώσας εἰς τὰ τοιαῦτα ἀναζητεῖν αὐτὰ οὐ δύναται, ὡς ἤδη ἐν ἀποχρήσει τῆς δόσεως οὔσης. αἱ δὲ ἔχουσαι τὰς παρατηρήσεις δωρεαὶ οὐχὶ ἐν ἀποχρήσει εἰσίν. εἰ δὲ βούλει καὶ ἄλλον θεματισμὸν λαβεῖν τῶν δεομένων πράξεως ὑπομνημάτων πρὸς πτωχοὺς δωρεῶν, θὲς, ὅτι ὀκτώ τισιν ἠπορημένοις ἠθέλησα δωρήσασθαι ν' λιτρῶν δωρεάς. εἰκὸς ἦν λέγειν τινὰς, ὅτι οἱ ὀκτὼ πένητες οὗτοι ἐλέους εἰσὶν ἄξιοι διὰ τὴν πενίαν αὐτῶν, καὶ ἅμα ἐὰν διέλωνται τὴν δωρεὰν, ὑπερβαίνει ἑκάστῳ τὸ ποσὸν καὶ καταλέγει εἰς τὸ ἧττον τῶν φ' νομισμάτων. ἀλλ' ὁ νόμος λέγει, ὅτι ἡ σύστασις τῆς δωρεᾶς σκοπεῖται, καὶ οὐχ ἡ τῶν προσώπων ποιότης, καὶ ὅτι ὁμαδικῶς γίνεται, οὐχὶ διῃρημένως ἡ δωρεά. ἐὰν γὰρ τὸ δωρεαστικὸν διῃρημένως γένηται, ἄπταιστόν ἐστι. πτωχοὶ δὲ καὶ αἰτία εὐσεβείας οὐ ταὐτόν ἐστιν. ἐν τούτῳ δὲ τῷ νομίμῳ καὶ τὰ εἰς μνηστὴν διδόμενα οὐκ ἔστιν ἐναντία· ἐν ἐκείνῳ γὰρ τῷ νομίμῳ οὐδόλως περὶ μνηστῆς τι εἴρηται, ὃ δὲ ἐκεῖσε μὴ εἴρηται, προστιθέμενον ὧδε, οὐ ποιεῖ ἐναντιότητα.

---

[1] Heimb. c. 66. [2] Cod. ἐμφ. [3] Haec ita corrupta sunt, ut, nisi audacissime emendes, sanari non possint.

[β΄.] Ὅτι τὸ λέγον νόμιμον μὴ ἰσχύειν τὴν ἀνεμφάνιστον δωρεὰν τὴν ὑπὲρ τὰ φ΄ νομίσματα μηδὲ ἐνεργεῖν ἀρτίως ἐκρίθη παρὰ τοῦ μαγίστρου καὶ τῶν κριτῶν. δίκης γὰρ κινηθείσης παρὰ τοῦ πρωτοσπαθαρίου Θεοφίλου τοῦ υἱοῦ τοῦ βέστου τοῦ ἐρωτικοῦ κατὰ τῆς ποτε χρηματισάσης συμβίου τοῦ υἱοῦ τοῦ παρανδηνοῦ, ὡς δωρησαμένης αὐτῷ κτῆμα, κἀκείνης ἀρνουμένης τὴν δωρεὰν, εἶτα συνομολογησάσης μὲν τὸ δωρεαστικὸν, προβαλλομένης δὲ διά τινος κριτοῦ, μὴ ἰσχύειν τὴν δωρεὰν ὑπὲρ τὰ φ΄ νομίσματα οὖσαν καὶ μὴ ἐμφανισθεῖσαν, ὁ μάγιστρος οὕτως ἔκρινε μετὰ τῶν κριτῶν εἰπών· μὴ ἐνεργεῖν νῦν τὸν τοιοῦτον νόμον, ἀλλ' ὅπερ εἶχε τὸ παλαιὸν τὸ ἐμφανίζεσθαι δηλαδὴ τὴν δωρεὰν καὶ ἀπογράφεσθαι παρὰ τῷ μαγίστρῳ τῶν κήνσων, νῦν τοῦτο πράττειν τὸν συγγράφοντα τὸ δωρεαστικὸν ταβουλλάριον καὶ τοὺς ὑπογράφοντας ἐν αὐτῷ μάρτυρας. τὸ μὲν γὰρ παλαιὸν διὰ τοῦτο ἐνεφανίζοντο τῷ μαγίστρῳ τῶν κήνσων τουτέστι τῷ γενικῷ, διότι τὰ τέλη οὐ τῶν ἀναγραφομένων ἀλλὰ τῶν γενομένων[1], τὸ δὲ δωρούμενον κτῆμα μετέπιπτεν ἐπὶ τὸν λαβόντα, καὶ εἰκὸς ἦν τὸν ἀπαιτοῦντα ἕλκειν τὸν πρῶτον δεσπότην ἤτοι τὸν δωρησάμενον. διὰ τοῦτο ὁ γενικὸς ἐλάμβανε τὴν ἐμφάνισιν τῶν δωρεῶν, ἵνα μὴ δυσχέρειαν ἔχωσιν οἱ ἀπαιτοῦντες εἰς τὸ λαμβάνειν τὰ τέλη τῶν δωρουμένων, εἰδότες καὶ ἔχοντες τὰς ἀπογραφὰς τῶν δωρηθέντων. προσετίθη δὲ, ὅτι ὥσπερ ὁ νόμος διὰ χρήσεως τέθειται, οὕτω καὶ δι' ἀχρησίας ἀπολλύεται. καὶ δειξάτω τὶς, ὅτι πρὸ πολλῶν ἐτῶν καὶ μνήμης ἐπέκεινα ἐνεφανίσθη δωρεὰ ἢ ἀπεγράφη, καὶ ἡ ταύτης ἀπογραφὴ ἀπόκειται τοῖς σκρινίοις τοῦ γενικοῦ· ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο δεῖξαι. ἀλλὰ καὶ νεαρὰ ἐστὶ τοῦ κυροῦ λέοντος[2], ἀναιροῦσα τὸν τοιοῦτον νόμον, καὶ λέγουσα διὰ μαρτύρων καὶ δι' ὑπογραφῶν τῶν δωρουμένων βεβαιοῦσθαι τὰς δωρεάς. οὕτως οὖν ἐκρίθη ἡ ὑπόθεσις, καὶ οὐκ ἀνετράπη ἡ δωρεά. τέως δὲ καὶ τὴν ὑπὲρ τὰ φ΄ νομίσματα δωρεὰν ἀνεμφάνιστον κατὰ τὸ παλαιὸν νόμιμον ἔλεγε γὰρ ἀργεῖν εἰς τὸ ὑπέρπλεον τῶν φ΄ νομισμάτων, εἰς δὲ τὸ ἄχρι φ΄ ἐῤῥωμένον εἶναι, κατὰ τὸ ξγ΄[3] κεφ. τοῦ α΄ τί. τοῦ μζ΄ βι. φάσκον· „εἰ δὲ πλέον εἴη, τὸ ὑπέρπλεον μὴ ἰσχυέτω."

[γ΄.] Ὅτι μήτηρ καταλειφθεῖσα ἐπίτροπος τοῦ υἱοῦ ἐδωρήσατο τὰ οἰκήματα αὐτοῦ τῷ ἀδελφῷ τοῦ ἀπελθόντος. εἶτα ἐκινήθη χρέος κατὰ τοῦ τελευτήσαντος, καὶ εἵλκετο ἡ μήτηρ ἢ

[1] An *δεσποτῶν*? [2] Nov. 50 Leonis. [3] Apud Heimb. c. 66.

δοῦναι τὸ χρέος ἢ μὴ ὁμολογοῦσα τοῦτο ὀμόσαι τὸν τῆς εἰδήσεως. καὶ αὕτη καθωμολόγησε χρεωστεῖν τὸν ἀπελθόντα καὶ πρὸς αὐτὴν ἔτι περιόντα περὶ τούτου καθομολογῆσαι. καὶ ἔκρινε τοῦτο ὁ μάγιστρος· οὕτω καταθεμένης τῆς γυναικὸς οὔτε ἀπιστεῖν αὐτῇ προσῆκε, καὶ ἑαυτῆς ποιουμένης τὴν κατάθεσιν οὔτε ἀσφαλὲς ἦν, ἵνα μὴ περιγραφῇ ὁ τὴν δωρεὰν λαβὼν χωρὶς ὅρκου τῶν οἰκημάτων ἐκπίπτων· καὶ διὰ τοῦτο ἐδόθη αὐτῷ χώρα, εἰ βούλοιτο ἀντεπαγαγεῖν ὅρκον τῷ ζητοῦντι τὸ χρέος, καὶ ὀμνύοντι ἐκστῆναι τῶν οἰκημάτων αὐτοῦ.

[δʹ.] Ὅτι τὰ ἀσαφῶς γραφόμενα ἐν δωρεᾷ ὑπὲρ τοῦ πεποιηκότος ἑρμηνεύονται. φησὶ βι. .. τί. .. κεφ. ..[1] δεῖ ἐν τῷ συμβολαίῳ τῆς δωρεᾶς γράφεσθαι τὸ δωρούμενον πρᾶγμα φανερῶς, διότι ὁ δωρεὰν λαμβάνων τὸ πᾶν ἐξ ἐπικερδοῦς κτᾶται αἰτίας καὶ ἀπὸ ἀσφαλείας τοῦ ἐγγράφου δύναται μεῖζον ἑαυτῷ κατασκευάζειν κέρδος καὶ βλάπτειν εἰς πίστιν τὸν δωρησάμενον.

[εʹ.] Ὅτι ἐὰν γυνὴ δωρήσηταί τινα τῷ ἀνδρὶ, καὶ ἀδιάθετος τῶν ἐνθένδε ἀποφοιτῶσα μηδὲν εἴπῃ περὶ δωρεᾶς, τηνικαῦτα οἱ παῖδες αὐτῆς τὰ μὲν ἄλλα τούτων πράγματα τὸν πατρῷον ἀπαιτήσουσι, τὸ δέ γε δῶρον οὐδαμῶς, εἰ μὴ πλέον ἔχει τῆς ἐξ ἀδιαθέτου τούτων κληρονομίας.

ΤΙΤΛΟΣ νδʹ.

Περὶ κληρονομίας.

[αʹ.] Πλεόντων ἀνδρὸς καὶ γυναικὸς καὶ ναυαγησάντων, ἡ γυνὴ πρώτη δοκεῖ τεθνηκέναι. παιδίου καὶ μητρὸς συμπλεόντων καὶ ναυαγησάντων, εἰ μὲν ὑπὲρ τὰ ηʹ[2] ἔτη ἦν τὸ παιδίον, ἡ μήτηρ δοκεῖ προτελευτᾶν· καὶ κατὰ τοῦτον τὸν διορισμὸν γίνονται αἱ κληρονομίαι.

[βʹ.] Ὅτι ἐὰν καταλειφθῇ ἐμοὶ καὶ πέτρῳ κληρονομία τυχὸν κʹ καὶ δʹ λιτρῶν, εἶτα ἐξ ὀνόματος γράφει ὁ διαθέμενος· θέλω τὸν πέτρον δοῦναι τῷ δανειστῇ μου λίτρας δʹ, ἀφίημι δὲ καὶ λεγάτα λίτρας ηʹ, οὐ δύναται ὁ πέτρος λέγειν ἐμοὶ διαιρουμένων[3] τὴν κληρονομίαν ὑπέξελε τὸ χρέος τοῦ τεστάτο-

---

[1] Forte βι. μζʹ τί. αʹ κεφ. νηʹ. [2] Malim ιδʹ. [3] An διαιρουμένης τῆς κληρονομίας?

ρος[1]. οὐ γὰρ ἔχει ἐξουσίαν τοῦτο φθέγγεσθαι, ἀλλὰ λαβὼν αὐτὸς τὸ ἥμισυ τῆς κληρονομίας, τουτέστι τὰς ιβ' λίτρας, ἐξ αὐτῶν ἀποδώσει τῷ χρεώστῃ[2] τὰς δ'· εἶτα τὰς καταλειφθείσας η' λίτρας οὐ πάσας δεῖ καταβαλεῖν τοῖς λεγαταρίοις, ἀλλὰ τῶν η' λιτρῶν τὸ φαλκίδιον παρακρατήσει ἤτοι τὸ τρίτον, καὶ ἐκ τοῦ διμοίρου ἀποδώσει πρὸς τὸ ἀναλογοῦν ἐκ τούτων τῷ λεγαταρίῳ. μὴ καταβαλὼν δὲ τὸ χρέος τὸ ἐντεταγμένον παρὰ τοῦ διαθεμένου, ἀναγκάζεται παρὰ τοῦ συγκληρονόμου τοῦτο ποιεῖν· ὑπὲρ αὐτοῦ γάρ ἐστιν.

[γ'.] Ὅτι[3] ὅτε τὶς καταλείψει τινὶ κληρονομίαν, εἰπών· θέλω πραθῆναι τὸν οἶκόν μου καὶ τόδε καὶ ἐξ ἁπάσης μου τῆς ὑποστάσεως δοθῆναι τὸ χρέος τοῖς δανεισταῖς μου καὶ τῷ υἱῷ μου τὸ νόμιμον μέρος, οὐ μετὰ τὴν ὑπεξαίρεσιν τῶν χρεῶν δίδοται τῷ υἱῷ τὸ τρίτον ἤτοι τὸ νόμιμον, ἀλλὰ πρὸ πάντων ὁ υἱὸς λαμβάνει τὸ φαλκίδιον, καὶ τότε ἐκ τῆς ἄλλης ὑποστάσεως τοῖς δανεισταῖς καὶ τοῖς ἄλλοις[4] τὸ ἱκανὸν γίνεται.

[δ'.] Ὅτι[5] οἱ νόθοι παῖδες ἐξ ἀδιαθέτου κληρονομοῦσι τοῦ πατρὸς, μὴ ὄντων γνησίων παίδων, εἰς οὐγγίας δύο μετὰ τῆς μητρός. ὁ δὲ πατὴρ ἐνδιαθήκως, ἔχων μὲν παῖδας γνησίους, γράψει τούτους κληρονόμους μετὰ τῆς μητρὸς εἰς οὐγγίαν μίαν· μὴ ἔχων δὲ παῖδας ἢ ἀνιόντας ἢ ἐγγόνους, καὶ εἰς ιβ' οὐγγίας δύναται γράφειν αὐτούς. ἀνιόντας[6] δὲ ἔχων ἢ ἑτέρους, οἷς ὁ νόμος ἀναγκάζει τὸ τρίτον καταλιμπάνειν τῆς ἰδίας οὐσίας, εἰς τὸ δίμοιρον τῆς ὑπάρξεως γράφει τοὺς νόθους κληρονόμους.

[ε'.] Ὅτι ἡ αὔξησις τῆς κληρονομίας καὶ ἡ μείωσις τοὺς κληρονόμους τοῦ διαθεμένου ὁρᾷ, καὶ οὐ τὸν κατὰ προτίμησιν λεγατευθέντα τὴν ἐξώνησιν τοῦ κτήματος καὶ διὰ τοῦτο ὁ ἔχων κατὰ τὸ κτῆμα δίκην πρὸ τοῦ διαπωληθῆναι τοῦτο παρὰ τῶν κληρονόμων οὐ κατὰ τοῦ ἔχοντος τὴν προτίμησιν τῆς ἐξωνήσεως κινεῖ, ἀλλὰ κατὰ τῶν κληρονόμων τοῦ διαθεμένου, ὡς μελλόντων ἔχειν καὶ τὸ κέρδος ἢ τὴν ζημίαν ἐκ τῆς καταδίκης ἢ τῆς δικαιώσεως.

[ϛ'.] Ὅτι τοῦ πατρικίου δαβὶδ τοῦ ἴβηρος καταλιπόντος παῖδα, καὶ γράψαντος, εἰ τελευτήσει ὁ παῖς ἄτεκνος καὶ ἀδιάθετος, ἀποκαθίστασθαι τὸν κλῆρον πρὸς τοὺς θείους αὐτοῦ· καὶ τελευτήσαντος τοῦ παιδὸς καὶ τῶν θείων αὐτοῦ κα-

---

[1] Cod. τέσσαρος. Forte τῶν δ' λιτρῶν. [2] Imo δανειστῇ. [3] Harm. V, 9, 6. [4] Cod. addit τοῖς δανεισταῖς. [5] Cf. tit. XLVIII c. 2. [6] Harm. V, 9, 12.

τασχόντων τὸν κλῆρον, καὶ κινηθείσης τῆς δίκης ἔκρινεν ὁ βέστης, ὅτι ἐπεὶ ὁ υἱὸς εἴκοσι χρόνων ἐτελεύτησε, τὸ τρίτον τῆς ὑποστάσεως ἵνα λάβῃ ἡ μήτηρ, τὸ δὲ λοιπὸν οἱ θεῖοι· εἰπών, ὅτι ἡ ὑποκατάστασις τῇ ἥβῃ παύεται κατὰ τὸν νόμον[1], ὅς φησιν· „ἡ ὑποκατάστασις εἰ καὶ εἰς μακρότητα δοθῇ[2], ὅμως τῇ ἥβῃ παύεται,“ καὶ ὅτι ὁ υἱὸς ἐδύνατο διατίθεσθαι καὶ εἰς ὅλον τὸν κλῆρον, ἐπεὶ ὑπερέβη τὴν ἥβην. διὰ δὲ τὸ εἶναι τὸν υἱὸν ἐθνικὸν[3], τοῦτο ᾠκονόμηται.

[ζ΄.] Ὅτι[4] συγκλητικοῦ ἡ γυνὴ καὶ ἐπάνω οὐ δύναται τοῖς σπουρίοις αὐτῆς παισὶν οὔτε ζῶσα οὔτε μετὰ τελευτὴν δωρεῖσθαι ἢ ἐν διαθήκῃ συνεισάγειν αὐτοὺς μετὰ τῶν γνησίων αὐτῆς παίδων κληρονόμους. ἡ μέντοι εὐγενὴς καὶ ἐλευθέρα, ἐὰν ἔχῃ σπούριον υἱὸν, δύναται αὐτὸν κληρονόμον καταλιμπάνειν· ἐπεὶ καὶ κληρονομεῖ τοῦτον ἡ μήτηρ· εἰ μὴ ἄρα ἐξ ἀθεμιτογαμίας ἦν, τουτέστιν ἀπὸ κεκωλυμένων γάμων.

[η΄.] Ὅτι ἐὰν ἡ μήτηρ ὑποδεξαμένη κληρονομίαν παρὰ τοῦ πατρὸς ἢ καὶ παρά τινος[5] ὑπόχρεων ἀναμίξει τοῖς οἰκείοις πράγμασιν, εἶτα ἔχουσα παῖδας τῷ ἑνὶ αὐτῶν παράσχοι τὸ ἥμισυ τῆς πάσης αὐτῆς περιουσίας χωρὶς βάρους, τὸ δὲ ἕτερον ἥμισυ τῆς περιουσίας διανείμῃ τοῖς ἑτέροις παισὶ, καὶ κινηθῇ περὶ τοῦ χρέους δίκη, οὐ κρατεῖται ὁ τὸ χρέος ἔχων εἰς ἔκτισιν τοῦ χρέους, ἀλλὰ τὸ ἔσχατον σύμφωνον πρῶτον ἀποφλήσει τὸ χρέος· τούτου δὲ μὴ ἐξαρκοῦντος καὶ ἐπὶ τῷ πρὸ αὐτοῦ καὶ ἐφεξῆς ἔρχεται ἡ ἐνοχὴ, ἀποδιδόντων δὲ τῶν ἐσχάτων συμφώνων τὸ χρέος περὶ μόνου τοῦ φαλκιδίου κινοῦσι κατὰ τοῦ πρώτου, οὐ μέντοι περὶ παντὸς τοῦ χρέους. εἰ δὲ μήτηρ παράσχοι ἀγροὺς τῷ παιδίῳ, λέγουσα οὕτω· δίδωμί σοι τόνδε τὸν ἀγρὸν καὶ τόνδε, καὶ ἐκνικηθῇ εἷς ἐξ αὐτῶν τῶν ἀγρῶν, οὐ δύναται κινεῖν ὁ παῖς κατὰ τῆς μητρὸς περὶ ἐκνικήσεως· ἐκεῖνα γὰρ ᾑρεῖτο μόνον αὐτῷ δοῦναι, ἃ δέδωκεν. εἰ γὰρ τυχὸν ἔτι ἐχούσης τῆς μητρὸς τοὺς ἀγροὺς ἐξενικήθησάν τινες ἐξ αὐτῶν, [καὶ] τοὺς ὑπολειφθέντας ἀγροὺς δέδωκε τῷ υἱῷ, πάντως καὶ διὰ τοῦτο οὐδεμίαν ἔχει ἀγωγὴν ὁ υἱὸς κατὰ τῆς μητρός. εἰ δὲ τυχὸν οὕτω δέδωκεν αὐτῷ ἡ μήτηρ τοὺς ἀγροὺς, λέγουσα, ὅτι παρέχω σοὶ χρυσίου λίτρας ἑκατὸν, ἀντὶ δὲ τοῦδε δίδωμί σοι τόνδε τὸν οἶκον καὶ τόνδε τὸν ἀγρὸν καὶ τόνδε· εἰ οὖν ἐκνικη-

---

[1] Basil. XXXV, 10, 14, qui locus apud Heimb. restituendus est. [2] Cod. *δοθῇ δὲ*. Forte *συντεθῇ*. [3] Cf. tit. XIV c. 16. [4] Cf. Harm. V, 8, 68, et supra tit. XXV c. 17. [5] Sc. *ἑτέρου*.

θᾶσί τινα αὐτῶν, τότε ἀναγκάζεται ἡ μήτηρ ποιῆσαι τὸ ἱκανὸν τῷ υἱῷ, ἐπειδὴ διατετιμημένως τῷ υἱῷ δέδωκε τοὺς ἀγροὺς, καὶ οὐχ ἁπλῶς δέδωκεν ἀγροὺς, ἀλλ' ἑκατὸν λίτρας βουλομένη δοῦναι τῷ υἱῷ δέδωκεν ἀντὶ τούτων τοὺς ἀγρούς. ἀναγκάζεται οὖν οὐ τοὺς ἀγροὺς παρέχειν, ἀλλὰ τὴν ποσότητα τῶν ρ' λιτρῶν. καὶ εἰ τυχὸν παράσχοι τῷ υἱῷ εἰς ὑπόβολον νομίσματα ν', ἀντὶ δὲ τούτων ἀγροὺς, καὶ ἐκνικηθῶσιν ἐξ αὐτῶν τινες, τότε ἀναγκάζεται ἡ μήτηρ σῶον ἀποδοῦναι τὸ ὑπόβολον, ἵνα ἐξ αὐτοῦ λάβῃ τὰ γαμικὰ κέρδη ἡ νύμφη.

[θ'.] Ὅτι[1] καὶ η' βαθμοῦ συγγενὴς, μὴ ὄντων πλησιεστέρων, καλεῖται εἰς τὴν κληρονομίαν κατὰ τὸν λέγοντα νόμον[2]· καὶ η' βαθμοῦ συγγενὴς, κἂν μὴ ὑπεισέλθῃ τὴν κληρονομίαν, ἔχει τὴν ἐκ τοῦ νόμου βοήθειαν.

[ι'.] Ὅτι ὑπεξουσίου τελευτήσαντος παιδὸς, καί τινων λεγόντων, ὅτι τὸ τρίτον εἰς ψυχικὴν διανομὴν ὀφείλει προχωρῆσαι, ὁ δικαστὴς οὐκ ἐδέξατο τοῦτο, διὰ τὸ μὴ ῥητῶς ἐν τῷ ἐδάφει τῶν νόμων κεῖσθαι, μηδὲ ἀπὸ μακρᾶς συνηθείας τοῦτο πραχθῆναι ποτέ· μᾶλλον δὲ ῥητῶς τοῦ νόμου λέγοντος, ὅτι οὐ δύναται παγανὸς καὶ ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου κληρονομεῖσθαι. καὶ ἔλεγεν ὁ πατρίκιος[3], διὰ τὸ μὴ συγχωρεῖσθαι ἀγνοεῖν τινα ῥωμαῖον τὸν νόμον οὕτως ἐξεφωνήθη ὁ κανών· καὶ γὰρ ἐὰν γράφων παγανὸς διαθήκην εἴπῃ· καταλιμπάνω τὸν δεῖνα κληρονόμον τοῦδε τοῦ ἀγροῦ καὶ δότω λεγάτον, ἔχει δὲ αὐτὸς καὶ ἕτερα πράγματα, περιαιρεῖται τὸ ὄνομα τοῦ ἀγροῦ καὶ τῶν ὅλων γίνεται κληρονόμος, μὴ δυναμένων τῶν συγγενῶν αὐτοῦ ἐν τοῖς ἀμνημονεύτοις ὑπεισέρχεσθαι καὶ κληρονομεῖν. ἕτερόν ἐστιν, ἐὰν ἐπίτροπόν τις καταλείψας εἴποι· ἔχω τόδε καὶ τόδε, καὶ καταλείποι τινὰ ἀμνημόνευτα καὶ οὐ χρήσεται τῷ γενικῷ τῆς οὐσίας ὀνόματι. τότε γὰρ ἐπὶ τοῖς ἀμνημονεύτοις οἱ ἐξ ἀδιαθέτου συγγενεῖς καλοῦνται, μὴ κωλυόμενοι παρὰ τοῦ ἐπιτρόπου. ὁ δὲ στρατιώτης δύναται καὶ ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου κληρονομεῖσθαι διὰ τὴν ἀγροικίαν. ἐὰν γὰρ καταλείψῃ ἕτερον μὲν κληρονόμον ἐπὶ τοῖς παγανικοῖς, ἐπὶ δὲ τοῖς καστρενσίοις ἕτερον, καὶ παραιτήσηται ὁ εἷς τούτων τὴν κληρονομίαν, οὐχ ὁ ἕτερος κληρονόμος ταῦτα διαδέχεται, ἀλλ' οἱ ἐξ ἀδιαθέτου πλησίον συγγενεῖς· ὡς βι. ις' τῶν διγ'.[4] ὅπερ ἐστὶ τῶν βασιλικῶν κδ'[5].

---

[1] Harm. V, 8, 17. Cf. supra tit. XLVIII c. 6. tit. XLIX c. 30. [2] Basil. XLV, 2, 14. [3] Cod. videbatur habere πῆρ. — Cf. tit. XIV c. 1. [4] Scil. tit. 2 dig. 16. [5] Scil. tit. 10 cap. 16.

[ια΄.] Ὅτι ὁ κληρονομήσας υἱὸς καὶ μὴ ἀπογραψάμενος ὑπόκειται τοῖς δανεισταῖς, κἂν προγενεστέραν εἶχε παραγγελίαν. καὶ τοῦτο ἔκρινεν ὁ δικαστής, γράψας οὕτως· χρεωστῶν ὁ δανιὴλ ἔθανε· ὁ υἱὸς τὴν σύμπασαν ἐκείνου κατέσχεν οὐσίαν μὴ ἀπογραψάμενος· ὡς ἐντεῦθεν ὑποκεῖσθαι τῇ πατρῴᾳ ἐνοχῇ, κἂν προγενεστέραν εἶχε κληρονομίας ἐπαγγελίαν.

[ιβ΄.] Ἀνάγνωθι βι. κβ΄ τί. α΄ κεφ. κζ΄· „Ἐὰν μὴ δυνάμενος πλέον τυχὸν μιᾶς οὐγγίας καταλιπεῖν σοι ἐν διαθήκῃ, καταλείπω αὐτὴν, εἰπὼν καὶ διαφόρους ἄλλας ἀγράφως ποσότητας ἐποφείλειν σοὶ, τότε λαμβάνεις αὐτὰς, ὅτε περὶ τοῦ χρέους ἀποδείξεις· δοκῶ γὰρ ἐπὶ περιγραφῇ τοῦ νόμου ταῦτα διεξελθεῖν.“

[ιγ΄.] Καὶ βι. ιθ΄ τί. δ΄ κεφ. α΄ περὶ κληρονομίας πραθείσης[1]· „Ἡ τοῦ ζῶντος καὶ ἡ τοῦ μηδενὸς κληρονομία ἀνισχύρως πωλεῖται.“

[ιδ΄.] Καὶ κεφ. β΄· „Ὁ πράτης τῆς κληρονομίας οὐκ ἀσφαλίζεται περὶ ἐκνικήσεως, εἰ μὴ [ἐπὶ] τῷ ἰδίῳ ἀποτελέσματι· δοκεῖ δὲ τὰ ἐν καιρῷ τῆς πράσεως εὑρισκόμενα πράγματα πωλεῖν, οὐ μὴν ὅσα ἦν ἐν τῷ τελευτᾶν τὸν διαθέμενον ἢ ἐν τῷ ὑπεισέρχεσθαι τὴν κληρονομίαν, εἰ μὴ ἕτερόν τι συνέδοξεν.“

[ιε΄.] Καὶ κεφ. δ΄· „Εἰ ἐπερωτήσας σὲ περὶ δούλου τὸν διπλασιασμὸν γίνομαί σου κληρονόμος καὶ πωλήσω τὴν κληρονομίαν σοῦ, εἶτα ἐκνικηθῇ ὁ δοῦλος, τὸ ἀζήμιον ὑφίσταμαι παρὰ τοῦ ἀγοραστοῦ.“

[ις΄.] „Ἐὰν ἐμφύτευμα ἢ δημόσιον καταβάλῃ ὁ πράτης, ἐπιγινώσκει αὐτὸ ὁ ἀγοραστὴς, καὶ τὴν δαπάνην τῆς ταφῆς· αὕτη γὰρ βάρος ἐστὶ κληρονομιαῖον. ἐνέχεται δὲ καὶ εἰς ἅπερ ὁ διαθέμενος χρεωστεῖ τῷ πράτῃ, εἴτε χωρὶς αἱρέσεως εἴτε ὑπο ἡμέραν ὡρισμένην, ἐὰν μέντοι αἱ περὶ τούτων τῶν χρεῶν ἀγωγαὶ κατὰ κληρονόμου ἥρμοζον. ὁ γὰρ ἀγοραστὴς τῆς κληρονομίας τάξιν ἐπέχει κληρονόμου. ἀνανεοῖ δὲ καὶ τὰς διὰ τῆς ὑπεισελεύσεως τῆς κληρονομίας ἀπολλυμένας τῷ πράτῃ δουλείας.“

[ιζ΄.] Καὶ κεφ. κα΄· „Πωλήσας τὶς καὶ ἐπερωτηθεὶς ἐδράξατο κληρονομιαίου πράγματος καὶ διαπέπρακεν. αὐτὸ τὸ πρᾶγμα καὶ οὐ τὴν ἀποτίμησιν δίδωσι τῷ ἀγοραστῇ. ὡς εἴγε πρὸ τῆς ἐπερωτήσεως ἐπώλησε τὸ πρᾶγμα, τὴν διατίμησιν αὐτοῦ

---

[1] Hoc et sequentia capita usque ad c. 18 vide in Suppl. ed. Basil. Heimb. p. 263 sq.

δίδωσιν, εἰ καὶ δοῦλος ἦν ὁ πραθεὶς καὶ ἐτελεύτησε. δοκεῖ γὰρ ὁ πράτης πραγμάτων διοίκησιν πράττειν τοῦ ἀγοραστοῦ πιπράσκων μετὰ τὸ πωλῆσαι τὸ κληρονομιαῖον πρᾶγμα. καίτοι ἐὰν δοῦλον ἐξ ἐπερωτήσεως χρεωστῶν πωλήσω αὐτὸν, καὶ πρὸ ὑπερθέσεως ἀποθάνῃ, οὐδὲν δίδωμι. καὶ ἐὰν μὴ κληρονομίαν, ἀλλ' ἓν πρᾶγμα πωλήσω σοι, καὶ πρὸ παραδόσεως [ἑτέρῳ] πωλήσω αὐτὸ καὶ λάβω τὸ τίμημα καὶ φθαρῇ, οὐδέν σοι χρεωστῶ μὴ ποιήσας ὑπέρθεσιν."

[ιη'.] Καὶ κεφ. κβ'· „Ἐὰν πωλήσας σοὶ κληρονομίαν κληρονομήσω λεγαταρίου ἢ δανειστοῦ αὐτῆς, ἀπαιτῶ σε διὰ τῆς ἀγωγῆς τὸ λεγάτον."

[ιθ'.] Καὶ βι. κς' τί. ζ' κεφ. μθ' θέσις ζ' [1]· „Ἐὰν γυνὴ κληρονόμος γένηται τοῦ χρεώστου, ἀδιαφόρως καὶ τῇ ἀποκαταστατικῇ ἀγωγῇ καὶ τῇ πρωτοτύπῳ ἐνάγεται."

[κ'.] .... [2] ἐξουσία δίδοται ὡς βούλονται κληροδοτεῖν τοῖς παισὶ, καὶ φαλκιδιοῦν μὲν τοὺς ἐκ πρώτου γάμου, τὸ δὲ δίμοιρον [εἰς] τοὺς ἐκ τοῦ δευτέρου γάμου παῖδας παραπέμπειν. „καὶ δίκαιοι μὲν ἔσονται μόνον τὸν νόμον φυλάττοντες· εἰ δέ τι καὶ ὑπὲρ [3] τὸν νόμον καταλίποιεν, ἔσονται δίκαιοι ἅμα καὶ φιλάνθρωποι πατέρες."

Τ Ι Τ Λ Ο Σ νε'.

Περὶ κλεπτῶν.

[α'.] Ἐάν τις κλέψῃ ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα, κλέπτης νοεῖται, καὶ οὐ τιμωρεῖται ὡς ἱερόσυλος.

[β'.] Ὅτι κλέπτης εἰ μὲν φανερῶς κλέψει, τουτέστι κρατηθῇ ἐπὶ τῇ κλοπῇ, τῇ εἰς τὸ τετραπλοῦν ἀγωγῇ ὑπόκειται καὶ ἀποδίδωσι τοῦτο· εἰ δὲ ἀφανῶς κλέψει, τουτέστιν ἐν νυκτὶ μὴ ἐπ' αὐτοφόρῳ ληφθεὶς ἀλλ' ἐλεγχόμενος, τὸ διπλάσιον δίδωσιν.

[γ'.] Βι. κβ' τί. α' κεφ. νβ' [4]· „Οἱ ἀλλότρια συμβόλαια κλέπτοντες τούτοις οὐ δύνανται κεχρῆσθαι εἰς ἀπόδειξιν δεσποτείας. ἡ γὰρ τούτων ἀνάγνωσις οὐ τῷ ἀναγινώσκοντι συμβάλλεται, ἀλλ' ἐκείνῳ ὃν περιέχει ἡ ὑφὴ τῆς γραφῆς."

---

[1] Heimb. c. 39 th. 9. [2] In Cod. sic est: τῇ πρωτοτύπῳ ἐνάγεται ἐξουσία δίδοται. Sed desunt nonnulla, puta τοῖς γονεῦσιν. Caeterum cf. Basil. XXVIII, 14 in f. ex Nov. 22 c. 48. [3] Cod. videbatur habere εἰς. [4] Lege νε'. Sic certe apud Heimb.

ΤΙΤΛΟΣ νϛ'.

Περὶ βεβαιώσεως ἀντισυγγράφου καὶ προκομίσεως.

[α'.] Ἀντισυγγράφων προκομιζομένων ἐπὶ βεβαιώσει διαθήκης δεῖ παρεῖναι τοὺς προκομίζοντας ταῦτα καὶ βεβαιοῦν. καὶ[1] τότε ἀναγκάζεται καὶ πάλιν προσαγαγεῖν τοῦτον, εἰ μὴ καὶ αὐτὸς ὄμνυσιν, ὅτι ἀπώλεσε τὸν χάρτην. ἄχρι δὲ καταδίκης ἔξεστι διαβάλλειν τὸν χάρτην ὡς πλαστόν. ἐὰν γὰρ καταδίκη γένηται καὶ μηδὲ ἔκκλητος παρακολουθήσῃ, οὐκ ἔξεστι τὸν ἅπαξ ἀποδειχθέντα χάρτην ἀληθῆ ὡς πλαστὸν αἰτιάσασθαι.

[β'.] Ὅτι ὁ μάγιστρος ἐναγόμενόν τινα ὡς χρεωστοῦντα καὶ ἀρνούμενον, εἶτα καὶ μαρτύρων παραγωγαῖς ἐλεγχόμενον εἰπόντων [ὅτι] καὶ ἔγγραφον γέγονε, καὶ τούτῳ τῷ λόγῳ ἐνιστάμενον προκομισθῆναι τὸ ἔγγραφον, κατεδίκασεν οὕτως εἰπών· νόμος δίδωσι παῤῥησίαν τοῖς ἐναγομένοις ἀπαιτεῖν ἀπὸ τοῦ ἐνάγοντος δικαιωμάτων ἐμφάνειαν, καὶ τὰς αἰτίας ἀπογυμνοῦν ὀφείλει, δι' ἃς εἰς τοιαύτην κατήντησεν αἴτησιν.

[γ'.] Ὅτι πᾶς προκομίζων δικαίωμα ἐν δικαστηρίῳ καὶ ἐμφανίζων, αὐτὸς δοκεῖ ταῦτα λέγειν, ὅσα περιττῶς διέξεισι τὸ δικαίωμα.

ΤΙΤΛΟΣ νζ'.

Περὶ πανηγύρεων[2].

[α'.] Ἔνθα μεταξὺ δύο δυνατῶν ἦν ἡ δίκη περὶ πανηγύρεων, οὐκ ἐζήτει ὁ μάγιστρος δικαιώματα, ἀλλὰ τοὺς πανηγυριστὰς ἐποίει κυρίους. ὅπου γὰρ ἐβούλοντο οἱ πανηγυρισταὶ, ἐκεῖ καὶ πανηγυρίζειν ἔκρινε. τὰς γὰρ πανηγύρεις ἐκ τῶν βουλομένων ἀνέρχεσθαι καὶ πωλεῖν συνίστασθαι ἔλεγε, καὶ δώροις καὶ κεράσμασι τοὺς πλείους τούτων συλαγωγεῖσθαι, ὧν τοὺς δυνατοὺς ἔχειν πολλὴν τὴν εὐποιΐαν ἀνέλεγε, καὶ τὸν ὑπερβαλλόμενον τὸν ἕτερον τοῦτον καὶ τοὺς πανηγυριστὰς ἕλκειν καὶ συνιστᾶν πανήγυριν. ἔνθα δὲ δίκη μεταξὺ πενήτων καὶ δυνατῶν περὶ πανηγύρεως ἐκινεῖτο, τότε καὶ δικαιωμάτων πίστιν

---

[1] Cf. tit. LXIV c. 3. Basil. XXII, 1, 79. [2] Cf. Nov. Basilii Bulgaroctoni in Heimbach. Ἀνεκδ. II p. 278.

καὶ χρόνων βοήθειαν ἀπήτει παρὰ τῶν δυνατῶν, ἵνα τούτοις δυνηθῶσι πρὸς μικρὰν τέως ἑαυτῶν βοήθειαν ἀποδεῖξαί τι, καὶ εἰ ἐξ οἰκείων συνεστήσαντο τὰς πανηγύρεις καὶ ἑκουσίως αἱ πανηγυρισταὶ πρὸς τοὺς δυνατοὺς προσεῤῥύησαν.

ΤΙΤΛΟΣ νη'.

Περὶ τῶν διδομένων ὅρων ἐν τῇ ἀπαντήσει[1].

[α'.] Ὁ[2] πατρίκιος ἔλεγε, τότε χρὴ δίδοσθαι τῷ χρεώστῃ τὴν τετράμηνον πρὸς τὸ καταβαλεῖν τὸ χρέος, ὅτε ἐστὶν εὔπορος τοῖς κτήμασι καὶ πράγμασιν, ἵνα ταῦτα μετ' ἀδείας καὶ μὴ κατεπειγόμενος πωλήσῃ ἢ καὶ τυχὸν ἐνεχυράσας ἐπισωρεύσῃ τὸ χρέος. ὅτε δὲ ὁ χρεώστης τῶν ἀπόρων ἐστὶν, οὐ χρὴ δίδοσθαι τὴν τετράμηνον. οὐδεμία γὰρ γενήσεται οὔτε τῷ ὀφειλέτῃ οὔτε τῷ χρεώστῃ ὠφέλεια, εἰ μὴ καὶ μᾶλλον βλάβη, καταδαπανῶντος καὶ ἀποκτωμένου καὶ ἅπερ νῦν ἔχει. μικρὰν οὖν ἔλεγε τούτοις δίδοσθαι προθεσμίαν δεῖν καὶ τέμνεσθαι τὴν δίκην, ἵνα μὴ πάλιν φιλονεικεῖαι ἐπ' ἀνοήτοις γίνωνται καὶ ἡ τῆς δίκης ὑπόθεσις ἐπιπλέον ἐκτείνηται.

[β'.] Ὅτι[3] τοῦ μελείου χρεωστήσαντος καὶ ἀφαιρεθέντος κτήματα, εἶτα κινήσαντος ὡς κακῶς ἐτιμήθησαν τὰ κτήματα, ἀπεφήνατο ὁ μάγιστρος δοῦναι τοῦτον τὸ χρέος καὶ ἀπολαβεῖν τὰ κτήματα. καὶ οὗτος ᾔτησε προθεσμίαν, καὶ ἐδόθη αὐτῷ μετὰ τὴν ποίησιν τῆς σημειώσεως μῆνες ἓξ καιρὸς, καὶ εἴπερ ὑπερεκπέσῃ καὶ τοῦτον τὸν ὅρον, ἐδικαιώθη ὁ ἀντίδικος δεσπόζειν τῶν κτημάτων.

[γ'.] Ὅτι ἐκίνησέ τις κατά τινος περὶ ὀφφικίου, εἶτα ἀντετέθη, ὅτι διελύσατο καὶ ἔγγραφον ἀφείλατο, καὶ μὴ δεικνυμένου τοῦ πράγματος ᾔτησεν ὅρκον, καὶ ὁ ἀντίδικος τὸν περὶ συκοφαντίας. καὶ ἐσημειώσατο ὁ μάγιστρος τελεσθῆναι τοὺς ὅρκους, οὐ μὴν εἰς ἀπέραντον ὑπερτίθεσθαι τούτους, ἀλλ' εἰ μὴ δ' μηνῶν ἐντὸς τὴν διάλυσιν ἐμφανίσει δοκιμασθησομένην ἢ τὰ ἐψηφισμένα τελέσῃ, καταδικασθήσεται.

[δ'.] Ὅτι κατεδικάσθη ὁ ψηνᾶς παρὰ τοῦ πρωτοσπαθαρίου ῥωμανοῦ καὶ κοιαίστωρος τοῦ μετὰ ταῦτα

---

[1] Index II. τ. δ. ὅ. τῶν ἀπαιτήσεων. Itaque legerim: ἀπαιτήσει. [2] Cf. Harm. I, 4, 69 et III, 5, 88. [3] Cf. Harm. III, 5, 32.

μακαρίτου βασιλέως ἐπὶ τῷ ἐκπεσεῖν ἐπιτροπίας διὰ τὸ κυρωθῆναι ἄγραφον τοῦ διαθεμένου βούλησιν μετὰ τὴν ἔγγραφον. ὁ δὲ ἐξεκαλέσατο, καὶ τὴν ἔκκλητον ἐδοκίμασαν πολλοὶ δικασταὶ, σὺν οἷς καὶ ὁ μάγιστρος ἐσημειώσατο οὕτως· τοῖς κατὰ συναίνεσιν δικάσασι δικασταῖς διὰ τὸ ἱδρύσαι τὴν ἀπόφασιν ἐν τῷ ὁμαλῷ ἅμα καὶ ἀσφαλεῖ δεῖν ἔδοξεν ἐπιδαψιλεύεσθαι καιρὸν διαβολῆς τῷ ἀντιλέγοντι. εὑρίσκεσθαι ἐν ταῖς τῶν ὅρων θέσεσι τὸν νόμον φράζοντα οὕτως[1]· τὸ παρὰ τοῦ διδαχθέντος προστεθὲν πρόσταγμα ἀριθμεῖται εἰς τρία, εἰ δὲ πάντα προσέθηκε, καὶ ὁ μετ᾽ αὐτὸν ἓν προστίθησι. πρὸς τοῦτο δὴ καὶ αὐτοὶ τὴν ἀπόφασιν διεσκέψαντο καὶ ἡμέρας ὅλας ς′ εἰς διαβολῆς ἀγῶνα ἐπεμέτρησαν τῷ ἐνάγοντι· τούτων γὰρ τῶν ὅρων[2] ἐπὶ τῶν πάνυ τὶ κακουργεῖν ἐφιεμένων περὶ τὰς δίκας ἐνίοτε τὰς μερικὰς προθεσμίας ἐξαπλοῦσιν οἱ νομοθέται· καὶ τοῦτον τὸν ὅρον παραβαίνων οὐκέτι χώραν λήψεται διαβολῆς, οὐδ᾽ εἰ μάλα κάμει πολλὰ[3] λέγων ὥστε διαβεβλῆσθαι πρός τινα τῶν μαρτύρων. ἐξέσται δὲ αὐτῷ ὁρκίζειν τοὺς περιόντας ὡς τῶν ἀποβιούντων δοκούντων ὀμωμοκέναι, καὶ τοῦτο οὐ παρατεταγμένως καὶ ἀορίστως, ἀλλὰ κατὰ τὸν νόμον, ὥς φησι βι. [ζ′ τί. δ′ κεφ. δ′] ὅτε θάτερον τῶν μερῶν ταῖς οἰκείαις δικαιολογίαις ἀποτάξεται, τὸ δ᾽ ἄλλον μὴ βούλεται ὁμολογῆσαι καὶ τὰ ἑξῆς· καὶ περὶ τὰ μέσα· „ὥστε εἰ μέχρι τῶν εἰρημένων γ′ μηνῶν, οὓς τοῖς ὑπερτιθεμένοις διαδίκοις[4] συνεχωρήσαμεν, τὰς ἰδίας δικαιολογίας μὴ προθήσει, τηνικαῦτα τὸν δικαστὴν μὴ πλέον ἀναμένοντα πᾶσι τρόποις ψῆφον προφέρειν νόμοις συμβαίνουσαν ἢ εἴπερ βούλοιτο ἀναφέρειν· πρὸς τὸ μὴ τοῖς δικαζομένοις κακῶς φιλονεικοῦσιν ἐξεῖναι τὰς τῶν δικῶν[5] ἐκβάσεις περαιτέρω[6] παρέλκειν.“

[ε′.] Ὅτι δίκη[7] αὐτοτελὴς ἐψηφίσθη ἐπὶ μέσου τῆς μητροπόλεως ἐφέσου καὶ τῆς μονῆς τῶν καμψῶν, ἵνα ἀποτελῇ ἡ μητρόπολις τῇ μονῇ, εἰ μὴ δείξει δεσπόζουσαν τὴν μονὴν τοῦ τόπου. ἀλλ᾽ οὔτε ἀπέδειξεν ἡ μητρόπολις, οὔτε ἐτέλεσε. διὸ καὶ μετὰ πολὺν χρόνον ἐκινήθη ἡ αὐτὴ δίκη παρὰ τῷ μαγίστρῳ, καὶ ἐσημειώσατο οὕτως· ὀφείλει ἡ μητρόπολις, εἰ μὴ[8] ἐντὸς τριακονθημέρου μετὰ τὸ τήνδε ἡμῶν τὴν γραφὴν ἐμφανῆ γενέσθαι τῷ κατὰ τὴν ἐπαρχίαν δικάζοντι συστή-

[1] Non invenio. Caeterum cf. *Αἱ ῥοπαί* cap. XI §. 18 et supra tit. XXX c. 31.
[2] Cod. *τοῦτον γὰρ τὸν ὅρον*. [3] Vestigium linguae vulgaris. *κάμει* pro *κάμνει*.
[4] Cod. *τῆς — ης διαθήκης*. [5] Cod. *δικαστῶν*. [6] Cod. *παρ᾽ ἑτέρω*.
[7] Cf. de hac causa tit. XXXVI c. 24. [8] Cod. *μὲν*.

σει χρονίαν παραγραφὴν, δεσπόζειν μὲν τοῦ τόπου· (οὐκ ᾔδειμεν γὰρ μετὰ τοσούτων παραδρομὴν χρόνων χώραν ἀποδείξεως ὑπανοιγῆναι τῇ μητροπόλει, ἀλλ' ἐπείπερ οἱ δικασάμενοι διὰ τὸ ἠμεληκέναι τοὺς τῆς μονῆς τῶν ὑπομνηματισθεισῶν δικῶν εἶπον καὶ τὸ μέρος τῆς μητροπόλεως φροντίδα τῶν ἀποδείξεων μὴ ποιήσασθαι, τούτου ἕνεκε τὸν τριακονθήμερον ὅρον παρέχομεν, ἵνα μὴ εἰς τὸ ἑξῆς ὑπέρθεσις γένηται·) χρὴ μέντοι ἐντεῦθεν ἤδη τελεῖν. οὐ γὰρ τῇ προφάσει τῶν ἀποδείξεων ἀνανεύειν δύναται πρὸς τὴν τοῦ τέλους παροχὴν καὶ τὸν χρόνον παρέλκειν, ἀλλὰ τελεῖν μὲν ἐντεῦθεν ἤδη πᾶσαν ἀνάγκην ἔχει. μαχόμενον δὲ τὸ μέρος τῆς μητροπόλεως τοιαύταις διαγνώσεσι καιρὸν λαμβάνειν πρὸς ἀποδείξεις τῶν ἠριθμημένων καὶ τὸν χρόνον παρέλκων εὐθύνεται καὶ εἰς ὀπισθοτελείας ἀπὸ τοῦ καιροῦ τῆς προκατάρξεως τῆς δίκης.

Τ Ι Τ Λ Ο Σ νθ'.

Περὶ παραθήκης.

[α'.] Ὅτι φησὶν ὁ νόμος[1]· „ἐὰν παραθήσεταί τις πράγματα ἢ νομίσματα καὶ κινεῖ τὴν περὶ παραθήκης ἀγωγὴν περὶ αὐτῶν, μὴ ἀντικαθιστάσθω αὐτῷ εἰς ἀντέλλογον μηδεμία ἀγωγὴ μηδὲ εἰ ἐξ ἄλλου παρακαταθέντος λέγηται αὐτὸς ἀντιχρεωστεῖν, ἀλλὰ τέως μὲν ἀποδιδόσθω τῷ πρώτως ἐνάγοντι ἡ παρακαταθήκη, λοιπὸν δὲ ἐκεῖνος, εἴ τινα ἔχειν οἴεται ἀγωγὴν, ἐν ἑτέρῳ κινήσει δικαστηρίῳ."

[β'.] Ὅτι ἡ περὶ παρακαταθήκης ἀγωγὴ οὐκ ἐστὶν ἐγκληματικὴ, ἀλλὰ χρηματικὴ, οὐδὲ διὰ βασάνων ἀποδείκνυται.

[γ'.] Ὅτι εἰ καὶ ἀτιμοποιός ἐστιν ἡ περὶ παρακαταθήκης ἀγωγὴ, ἀλλὰ πολλὴ διαφορὰ τῶν ἀπὸ συναλλαγμάτων καταγομένων ἀτιμοποιῶν πρὸς τὰς ἐξ ἁμαρτημάτων. αἱ μὲν γὰρ οὐ μετὰ καταδίκην[2] ἀλλὰ καὶ πρὸ ταύτης ἀπὸ συμφώνου μόνου χρημάτων δοθέντων ἀτιμοῦσι τὸν φεύγοντα· διέξεισι γὰρ οὑτωσὶ νόμος· „ὁ ἰδίῳ καταδικασθεὶς ὀνόματι ἢ συμφωνήσας ἢ χρήματα δοὺς περὶ κλοπῆς καὶ ἁρπαγῆς πραγμάτων καὶ περὶ ὕβρεως καὶ περὶ δόλου ἀτιμοῦται" (ὡς βι. κα' τί. β' κεφ. δ' θέ. ε')· „ὁ γὰρ συμφωνήσας δοκεῖ συνομολογεῖν τὸ ἔγκλημα[3]."

---

[1] Basil. XIII, 2, 44. [2] Adde μόνον. [3] Basil. XXI, 2, 5.

αἱ δὲ ἀπὸ συναλλάγματος καταγόμεναι τὸν ὑπαχθέντα μὲν καταδίκῃ σπιλοῦσι, τὸν δὲ τρόπῳ τινὶ τὴν δικαστικὴν ἀπόφασιν ἐξαλύξαντα ῥαντίσμασι σπίλου χραίνειν οὐκ ἴσασιν. καὶ τοῦτο νόμοι διδάσκουσι βι. τὸ αὐτὸ τί. ὁμοίως κεφ. ζ΄· „ἐπὶ τῶν συναλλαγμάτων ἀγωγῶν ἀτιμοποιῶν ὁ καταδικασθεὶς, οὐ μὴν σύμφωνήσας ἀτιμοῦται.“ καὶ δόγμα βασιλικόν[1]· „ὅστις τὴν παρακαταθήκην οὐκ ἀποκαθίστησιν ἰδίῳ ὀνόματι ἐναγόμενος καὶ καταδικαζόμενος εἰς τὴν ταύτης ἀποκατάστασιν μετὰ κινδύνου ἀτιμίας συνωθεῖται.“ καὶ τὴν διάταξιν ὁ Θαλέλαιος ἐξηγούμενος „ὑπόστιξον εἰς τὸ κονδεμνάτους,“ φησὶν, „ἐξῆν γὰρ αὐτῷ πρὸ καταδίκης καταβάλλοντι φυγεῖν τὴν ἀτιμίαν.“

[δ΄.] Ὅτι οὕτως ὀφείλει γίνεσθαι ἡ παρακαταθήκη[2]· „εἴ τις ἀσφαλῶς παρακαταθέσθαι βούλοιτο, μὴ μόνοις πιστευέτω τοῖς τοῦ λαμβάνοντος γράμμασιν, ἀλλὰ προσκαλείσθω μὲν καὶ μάρτυρας ὡς οἷόν τε σεμνοὺς καὶ πίστεως ἀξίους καὶ οὐκ ἐλάττους τριῶν, ἵνα μὴ ἐπὶ μόνων ἀρκώμεθα τῶν γραμμάτων καὶ τῆς τούτων ἀνεξετάσεως, ἀλλ᾽ εἴη τοῖς δικάζουσιν ἡ παρὰ τῶν μαρτύρων βοήθεια. καὶ γὰρ δὴ καὶ τοιαύτης μαρτυρίας προσιέμεθα, ὥστε παρόντας τοὺς μάρτυρας λέγειν, ὡς αὐτῶν παρόντων συνέγραψαν.“

[ε΄.] Ὅτι ἀπὸ συγχρήσεως παρακαταθήκης τόκοι ἀπαιτοῦνται, καὶ φησὶν ὁ νόμος[3]· „εἴτε τόκον ὁ τὴν παρακαταθήκην λαβὼν ἐκ τῶν παραδοθέντων αὐτῷ λάβῃ ἢ συγχρήσηται τοῖς παρακαταθεῖσι, δίδωσι τόκους. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων καλῇ πίστει ἀγωγῶν.“ τόκους δὲ ἀπῄτει ὁ μάγιστρος ἀπὸ συγχρήσεως τοὺς ἀπὸ τρίτου ἑκατοστῆς, συναπαιτήσας τούτοις καὶ τὸ ἐκ τῆς ὁλκῆς[4] τοῦ χρυσίου διαφέρον· τραχὺ γὰρ ἦν.

ΤΙΤΛΟΣ ξ΄.

Περὶ καθοσιώσεως καὶ δημεύσεως.

[α΄.] Ὅτι τοῦ υἱοῦ τοῦ βούρτζη παραπεσόντος εἰς καθοσίωσιν, καὶ κληρονομίαν ἔχοντος ἐκ πατρὸς τελευτήσαντος τινὰ μὲν ῥητὴν τινὰ δὲ ὑπὸ αἵρεσιν, ὁ βέστης οὕτως ἐτύπωσε γενέσθαι τὴν ἀφαίρεσιν τῶν πραγμάτων αὐτοῦ. καὶ γὰρ ὁ πατὴρ αὐτοῦ τελευτῶν καὶ παῖδας καταλιπὼν τρεῖς ἐποίησε δια-

---

[1] Basil. XIII, 2, 43. [2] Basil. XXII, 4, 1. [3] Basil. XIII, 2, 28.
[4] Nostrates dicunt: *Cours*.

θήκην, καὶ ἑκάστῳ τῶν παίδων τινὰ μὲν ῥητὰ προσαφώρισε κτήματα, τὴν δὲ λοιπὴν ἀφῆκεν ὑπόστασιν τὴν μητέρα διελεῖν εἰς τοὺς παῖδας ὡς βούλεται. κατὰ ταύτην οὖν τὴν γνώμην τοῦ διαθεμένου προσέταξεν ὁ βέστης τὰ μὲν ῥητῶς καταλειφθέντα τῷ ἀποστάτῃ κτήματα ἀφορισθῆναι τῷ δημοσίῳ. ἐπεὶ καὶ ἡ μήτηρ σύμφωνον γαμικὸν ὑπόσχεσιν ἔχον ἐποίησε πρὸς τὸν υἱὸν ἀποστατήσαντα καὶ ὑπέσχετο κτήματα ὧν τὴν χρῆσιν ἑαυτῇ παρακατέσχεν, τούτων τὸ μὲν δίμοιρον ὥρισεν ἀφορισθῆναι τῷ δημοσίῳ, τὸ δὲ τρίτον καταλειφθῆναι τῇ μητρὶ ἐγγύας διδούσῃ, ὡς παραφυλάξει τοῦτο δὴ τὸ τρίτον καὶ οὐκ ἐκποιήσεται, ἀλλὰ περὶ τελευτὴν αὐτῆς περισεσωσμένον εὑρεθήσεται τῷ δημοσίῳ. ἀλλὰ καὶ τῆς διαθήκης τοῦ πατρὸς γραφούσης, ἵνα ἐάν τις τῶν παίδων τελευτήσῃ ἀδιάθετος τούτου ἡ κληρονομία προσγένηται τοῖς ἑτέροις παισὶ, καὶ τὴν τούτων ἀγωγὴν ἐχάρισε τῷ δημοσίῳ, ἵνα τινὸς τελευτῶντος τῶν παίδων ἀδιαθέτου αὐτὸν ὁ δημόσιος ὑπεισέλθῃ καὶ ἀντὶ τοῦ ἀποστάτου κληρονομήσῃ τὴν δωρεὰν τῆς διαθήκης.

ΤΙΤΛΟΣ ξα΄.

Περὶ ὕβρεως.

[α΄.] Ὅτι ὑβρισθείσης γυναικὸς ἅμα καὶ τῷ ἀνδρὶ καὶ τῷ πατρὶ καὶ τῇ γυναικὶ πρόσεστιν ἀγωγή[1].

[β΄.] Ὅτι ἡ περὶ ὕβρεως καὶ δαρμοῦ ἀγωγὴ, ἐὰν μὴ κινηθῶσιν ἐντὸς ἐνιαυτοῦ, σβέννυται. καὶ εἰ μὴ ὁ ὑβρισθεὶς ἢ ὁ δαρεὶς κινήσει ταύτας, ἀλλὰ τελευτήσει, κινεῖ[2] ὁ κληρονόμος αὐτοῦ.

[γ΄.] Ὅτι τῶν ὕβρεων αἱ μὲν εἰσὶν ἀτιμοποιαὶ, ὅταν διαῤῥήξῃ τὶς τὴν πίστιν τῆς κοινωνίας, ὅταν ὁ ἐγγυητὴς καταβαλὼν τι χρέος ἀγνωμονηθῇ παρὰ τοῦ χρεώστου, καὶ ὅτε δόλον τὶς περὶ τὴν καταθήκην ποιήσῃ. ὕβρεις γὰρ αὗται, καὶ ὁ διαλυόμενος δοκεῖ τὸ ἁμάρτημα ὁμολογεῖν καὶ ἀτιμοῦται. ἐπὶ δὲ τῶν λοιπῶν ὕβρεων, οἷον τῆς διὰ λόγων καὶ τῆς διὰ χειρῶν, ἀποπροσποιήσει καὶ δόσει λύεται τὸ ἔγκλημα χωρὶς ἀτιμίας.

[δ΄.] Ὅτι διοικητὴς ἔπεμψε καὶ ἔλαβεν εἰς φυλακὴν υἱόν τινος γεγονότα ἐπὶ τοῦ πανθ..... καὶ τούτῳ δεσμὸν περιέβαλε

---

[1] Cf. tit XLIX c. 4 med. [2] An οὐ κινεῖ?

καὶ εἱρκτῇ καθεῖρξε, καὶ ἐν ἀπειλημμένῳ τόπῳ ἔν τινι καταγωγῇ καχλάζων ἄνωθεν ἐπεχέθη ὕδωρ ὡς καταφλεγῆναι μὲν αὐτοῦ κεφαλὴν καὶ μετάφρενα, ἀνθρακωθῆναι δὲ τὰς σάρκας καταβραθέντος τῇ τοῦ θερμοῦ βίᾳ τοῦ δέρματος. καὶ κινηθείσης ὕστερον ἐπὶ τοῦ ἱπποδρόμου τῆς δίκης κατεδικάσθη ὁ διοικητὴς δοῦναι ὑπὲρ τῆς ὕβρεως τοῦ υἱοῦ νομίσματα ν', ὑπὲρ δὲ τῆς ὕβρεως τοῦ πατρὸς καὶ ὅτι ὁ διοικητὴς πλείονα τῶν τελεσμάτων [ἀπήτησε], νομίσματα ϛ'. καὶ γὰρ τοσαῦτα ἐπεζήτει ὁ διοικητής. καὶ σημείωσις γέγονε τοῦ μαγίστρου ἔτι πρωτοσπαθαρίου τυγχάνοντος καὶ ἐτέθησαν νόμοι καὶ λογισμοὶ τοιοῦτοι· αἱ μὲν οὖν πρὸς ἄλληλα τῶν μερῶν ἀντιθέσεις τοιαῦται. οἱ δὲ τῷ πράγματι καθηγούμενοι δικασταὶ διχῇ τὴν ἀπόφασιν διεῖλον, καὶ τὴν μὲν τοῦ υἱοῦ ὕβριν ἐτιμήσαντο νομίσματα ν', τὴν δὲ τοῦ πατρὸς ἄλλως. φησὶ γὰρ ὁ νόμος[1]· „υἱοῦ ὑβρισθέντος καὶ αὐτῷ [καὶ] τῷ πατρὶ αὐτοῦ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγὴ, καὶ ἄλλως ἡ ἑκατέρου ἀποτιμᾶται ὕβρις. ἐὰν γὰρ τυχὸν ἀξιωματικὸς ἦν ὁ υἱὸς πλέον ὑβρίσθη," καί[2]· „παιδὸς ὑβρισθέντος δύναται ὁ πατὴρ δύο κινεῖν δικαστήρια καὶ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ τοῦ παιδός." κατεδικάσθη τοίνυν ὁ διοικητὴς δοῦναι νομίσματα ν' τῆς πρὸς τὸν υἱὸν ὕβρεως ἕνεκεν. εἰ γὰρ καὶ τυχὸν κατὰ τὸν αὐτοῦ λόγον πρὸς τὴν ἀπαίτησιν τοῦ δημοσίου ἐξυπτίαζεν, ἐχρῆν μὲν δοῦλα σώματα ἢ πράγματα ἢ βοσκήματα κατ' ἐνεχειρισμὸν ληφθῆναι, καὶ μὴ τὸν εὖ γεγονότα· ἐπεὶ δὲ τοὐναντίον ἐπράχθη, ἔδει τὸν υἱὸν ἀναδέσμῳ[3] τηρεῖσθαι φυλακῇ ἐν τῷ ἀπλήκτῳ τοῦ διοικητοῦ, ἀπειρόκακον ἄνθρωπον καὶ μικροῦ νηπιάζοντα, ἀλλὰ μὴ δεσμῷ καὶ εἱρκτῇ κατακριθῆναι καὶ οὕτω παραῤῥιφθῆναι, ὡς ἐμπρησμῷ καὶ μεγάλῃ περιπεσεῖν συμφορᾷ. ταῦτα γὰρ δὴ τὴν τραχεῖαν ὕβριν εἰσάγει, ὅτι ὁ νόμος[4] φησίν· „ὁ ὠθῶν τινα ἢ μαστιγῶν ἢ κατὰ βίαν εἰς οἶκον εἰσιὼν ἐκ τοῦ κορνηλίου νόμου τῇ περὶ ὕβρεως ἀγωγῇ ὑπόκειται." οὕτω μὲν τὰ περὶ τοῦ υἱοῦ. ὁ δὲ πατὴρ, εἰ μὲν δειχθῇ ὅτι κατὰ τὴν τοῦ διοικητοῦ ἔνστασιν τόσα χρεωστῶν οὐχ ὑπέκυπτε τῇ ἐκτίσει, τότε εἰς αὐτὸν ὁρᾶν οὐδεμία προβέβηκεν ὕβρις· εἰ δὲ οὕτω συστήσῃ, ὡς με' νομίσματα ἐχρεώστει καὶ εἰς δὶς τοσαῦτα εἵλκετο, αὐτὸς μὲν τραχεῖαν ὕβριν ὑποστῆναι δοκεῖ, οἷς ὁ υἱὸς αὐτοῦ τετιμώρηται καὶ οἷς αὐτὸς κεκωμῴδηται ὡς ἔνοχος διασυρόμενος ἐφ' οἷς οὐκ ἐνείχετο. καὶ

---

1 Basil. LX, 21, 29. 30. 2 Basil. ibid. c. 39. 3 An ἀδέσμῳ? 4 Basil. ibid. c. 5.

τὸν διὰ σκυλμὸν γάρ τινα εἰς δικαστήριον καλοῦντα καὶ τὸν μὴ χρεωστοῦντα ὡς χρεώστην τινὰ ἀποκαλοῦντα ὕβρεως χάριν ὑποκεῖσθαι, νόμοι[1] φασίν. ὁ δὲ διοικητὴς διὰ μὲν τὸν λέγοντα νόμον[2]· „ἐὰν ὁ ἄρχων ἢ ὡς ἰδιώτης ἢ ὡς θαῤῥῶν τῇ ἀρχῇ ὑβρίσας ἐνάγηται, ὑποκείσεται τῇ περὶ ὕβρεως ἀγωγῇ," διά τε τὸν [περὶ] περισσοπρακτοῦντος νόμον διπλάσια μὲν ἐκτίνειν δίκαιος ἦν, ἀρκέσει δὲ τούτῳ διά τε τὴν ὕβριν καὶ τὴν περισσοπραξίαν δοῦναι νομίσματα ς′.

[ε′.] Ὅτι ὁ μάγιστρος ἔλεγεν ὅτι ὁ λέγων νόμος[3]· „καὶ δούλου ὑβρίσαντος ὁ δεσπότης ὑβρίζειν δοκεῖ καὶ ἐκ τῶν ἁμαρτημάτων τοῦ δούλου οἱ δεσπόται καταδικάζονται" οὐ τοῦτο λέγει, ἵνα ὑποπέσῃ ὁ δεσπότης τοσούτῳ ἐπιτιμίῳ ὅσῳ αὐτὸς ὑβρίσας[4] ὑπέπεσεν ἄν, ἀλλ' ἵνα μὴ λέγῃ ὁ δεσπότης· οὐκ ἐγὼ προετρεψάμην, οὐκ ἐγὼ εἶπον, καὶ διὰ τοῦτο οὐ δίκαιός εἰμι ὑποσχεῖν τιμήν[5]· ἀλλ' ἐκ παντὸς ὑποπίπτει ὁ δεσπότης ποινῇ, καὶ εἴπερ ἐστὶν ἡ ὕβρις τραχεῖα, καὶ μέχρι τῆς τοῦ δούλου τιμῆς καταδικάζεται. βουλομένου δὲ τοῦ ὑβρισθέντος[6] ἢ παρέχει τὸν δοῦλον εἰς νόξαν, ἢ μὴ παρέχων τὸν δοῦλον σχεδὸν καὶ εἰς τὸ πᾶν τῆς ὕβρεως καταδικάζεται.

[ς′.] Ὅτι ἐν τῷ ἱπποδρομίῳ ἱστάμενός τις κανδιδάτης λόγους ὑβριστικοὺς μὲν, οὐ τραχεῖς δὲ, οἷον· „ἐξαλειπτὰ ὅς που ἠφάνισας τὸν κόσμον," ἐῤῥίπτει κατὰ τοῦ πρωτοσπαθαρίου λέοντος καὶ πρωτονοταρίου τοῦ γενικοῦ. ὁ δὲ ὕβρισε τὸν κανδιδάτην· „κερατὰν κούρβας υἱὸν[7]," ὁ δὲ ἀνθυπέφερε· „ὁ λέων ἦσαι," καὶ ὠργίσθη ὁ πρωτοσπαθάριος καὶ ἔτυψε τὸν κανδιδάτην καὶ ἐμάδισεν. ὁ δὲ ἀσκεπὴς εἰσῆλθεν εἰς τὸ κελλίον τοῦ μαγίστρου, ἐπιβοώμενος τὴν βοήθειαν καὶ διηγούμενος τὸ συμβάν. ὁ δὲ δρουγγάριος προσέταξε τῷ θεσμοφύλακι ἐξελθεῖν καὶ ἐρωτῆσαι μάρτυρας τοὺς ἀκούσαντας τῶν ὕβρεων καὶ ἰδόντας τὸν δαρμὸν, καὶ ὁ θεσμοφύλαξ ἧκε λέγων ὡς πολλοὶ μαρτυροῦσιν ὅτι πρῶτος ὁ κανδιδάτος ὕβριζε τὸν πρωτοσπαθάριον, εἶτα ὁ πρωτοσπαθάριος ἀνθύβρισε τραχέως, καὶ ἀνθυβρισθεὶς ....

---

[1] Basil. LX, 21, 13 et 15. [2] Basil. ibid. c. 31. [3] Non invenio. [4] Cod. ὁ ὑβρ. [5] Malim ποινήν. [6] Malc. Nam ἐπιλογὴν ὁ δεσπότης ἔχει. Cf. Basil. LX, 21, 16. Itaque fortassis mutandum: ὑβρίσαντος. [7] Nota vestigia linguae vulgaris.

[Τ Ι Τ Λ Ο Σ ξβ΄.]

[Περὶ συγγενείας ἀγχιστῶν καὶ πατρώνων.][1]

[α΄.] [„Ἐπειδή[2] τινα δίκαια καὶ μεταξὺ τῶν ἀγχιστῶν συνίσταται, οὐκ ἐστὶν ἀλλότριον] ἐν τούτῳ τῷ τόπῳ περὶ ἀγχιστείας συντόμως διαλαβεῖν. ἀγχισταὶ δὲ εἰσὶν οἱ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς συγγενεῖς, διὰ τοῦτο λεχθέντες ἀγχιστεῖς, ἐπειδὴ δύο συγγένειαι ἀλλότριαι καὶ διάφοροι πρὸς ἑαυτὰς διὰ τῶν γάμων συνάπτονται, καὶ ἑκάτερος τῶν συναφθέντων εἰς τὸ ὁροθέσιον τῆς τοῦ ἄλλου συγγενείας προστίθεται, ἐπειδὴ συναπτέας ἕνεκε τῆς ἀγχιστείας γίνονται οἱ γάμοι.“ ταύτης τῆς προθεωρίας τὴν γνῶσιν ἔχομεν ἔκ τε τῶν νόμων τῆς διακατοχῆς καθ᾽ οὓς ὁ πορνογενὴς καὶ κληρονομεῖ καὶ κληρονομεῖται, ἔκ τε τῶν περὶ υἱοθεσιῶν, καὶ ἐκ τοῦ περὶ γάμων νόμου καὶ τοῦ ὅρου τούτου καὶ τῆς γενομένης λεγιτίμας συγγενείας τοῖς ἐκ τῶν γάμων τικτομένοις παισίν.

[β΄.] Ὅτι[3] τῆς ἀγχιστείας γενάρχαι τυγχάνουσιν οἱ συναφθέντες πρὸς γάμον. τὸ δὲ γεννῆσαν οἰκειότητα οὐκ ἄν ποτε πρὸς ἑαυτῷ ἀνοικείως σχοίη ἢ ἀνοίκειον ὀνομασθείη. ἐπεὶ δὲ τοῖς νόμοις ἐγνωσμένον ἐστὶν, ὅτι μία μὲν ἐστὶ συγγένεια ἡ φυσικὴ, ἑτέρα δὲ ἡ λεγιτίμα τὴν θέσιν εἰσάγουσα, τὴν ἐκ τῶν δύο τούτων, φύσεώς τε καὶ νόμου, συνισταμένην συγγένειαν λεγιτίμαν τίποτ᾽ ἂν ὀνομάσειέ τις ἢ οὐδὲν, καὶ τοσοῦτον αὐτὸν ἠδίκηκεν ὁ τοῦ πατρὸς γάμος; ἀλλ᾽ ἕως οὐ πείσει τὶς μὴ γῆ τυγχάνειν ἐκ γῆς γεγονὸς, οὔτε τὸ πλακὲν ἐκ δύο συγγενειῶν συγγενείας νομίμης ἀλλοτριώσει. καὶ πάρεστιν ὁρᾶν τὸ δίκαιον τῶν συναπτομένων, ὅτι οὐ μόνον ἀγχιστείας ἀλλὰ καὶ γένους ἀρχὴ τυγχάνουσιν. συναπτόμενοι γὰρ ἀνὴρ καὶ γυνὴ ἅμα τῷ γάμῳ τὴν ἀγχιστείαν συνιστῶσιν ἀλλήλοις, καὶ προστίθεται τῷ ἀδελφῷ τοῦ ἀνδρὸς ἡ νύμφη καὶ τῇ ἀδελφῇ τῆς γυναικὸς ὁ γαμβρὸς, ἔπειτα γενομένων παίδων οἱ τοῦ ἀνδρὸς καὶ τῆς γυ-

---

[1] Tituli numerum et rubricam ex indice supplevi. In Codice fol. 617ª lin. 11 a fine sic audit: *τραχέως καὶ ἀνθυβρισθεὶς ἐν τούτῳ τῷ τόπῳ περὶ ἀγχιστείας συντόμως.* Manifesta lacuna! Priora verba capitis 1 supplevi ex scholiis Basilicorum. Caeterum illud *πατρώνων,* quod est in rubrica, non habet in textu, quo referatur. Fortasse auctor adjicere in animo habuit, quae leguntur tit. XXX c. 8 in fine. [2] Cf. Basil. XLV, 3 ibique schol. *Ἐπειδή τινα* p. 520 edit. Heimbach. tom. IV. [3] Particulas hujus capitis vide infra tit. LXVI c. 6 et 3 repetitas. Videntur haec desumta esse ex *μελέτῃ* Vestae.

ναικὸς ἀδελφοὶ θεῖοι τῶν τικτομένων λέγονται, κἀντεῦθεν γένος νόμιμον ἀρχὴν λαμβάνει τὸ ἐξ ἀῤῥενογονίας καὶ θηλυγονίας μίαν νεωτέροις χρόνοις ἀπενεγκάμενον δύναμιν εἰς διαδοχήν. ὧν τοίνυν τὰ σπέρματα τῆς νομίμης ἀρχὴ[1] γίνονται συγγενείας, οὐκ ἂν ἔγωγε τούτους οὐδὲν εἶναι πρὸς ἀλλήλους εἰπεῖν προαχθείην. ἐρυθριῶ γὰρ τὸν νόμον διδάσκοντα μὴ ἄλλως τῶν ἐκ πλαγίου συγγενῶν τοὺς βαθμοὺς μετρεῖν, πρὶν ἢ ἐπιστῶ τῷ αἰτίῳ τῆς γεννήσεως, κἀκ τούτου πρὸς ἑαυτὸν τοὺς ἀποδιεστῶτας ἑνώσω κλάδους ὥσπερ διὰ μιᾶς ῥίζης. τὸ δὲ οἰκειοῦν μὲν τὸν ἄνδρα [καὶ τὴν γυναῖκα] τοῖς ἀλλήλων συγγενέσι, ἀλλήλων δὲ τούτους ἀποδϊιστᾶν, οὐκ ἂν εἴη φρονίμων ἀνδρῶν.

[γ΄.] Ὅτι ἡ συγγένεια ὄνομά ἐστι γενικόν. τὸ δὲ γένος οὐχ ἓν εἶδος περιλαμβάνει, ἀλλ᾽ αἱ διαφοραὶ περιουσίαι[2] ἀποτελοῦσι τὰ διάφορα εἴδη, καὶ οἷς ἔνεστι κοινωνία τούτοις καὶ διαφορά. οὐκ ἄρα πᾶσαι ὁμοειδεῖς συγγένειαι ἐξηρτημέναι τοῦ γενικοῦ τῆς συγγενείας ὀνόματος, ἀλλὰ διάφοροι, ὡς ὁ νόμος καὶ ἡ διαιρετικὴ γνῶσις, ἣ οὐδὲν διαφεύγει, πανσόφως ὑποτίθεται. οὐ γὰρ ἄνθρωπος καὶ ἵππος καὶ κύων ἓν εἶδος εἰσὶν, εἰ καὶ τῆς τοῦ ζώου φωνῆς ἀπηώρηται.

[δ΄.] Ὅτι ἡ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς συγγένεια καὶ διαδοχὴ οὐ φυσικοῦ νόμου ἐστὶν, ἀλλὰ τοῦ πολιτικοῦ.

[ε΄.] Ὅτι καὶ αἱ τρισεξάδελφοι ἀκωλύτως εἰς γάμον συνιόντες ὅμως η΄ πρὸς ἀλλήλους βαθμὸν ἐπέχοντες κλῆρον λαμβάνουσιν· ὀγδόου γάρ, φησι, βαθμοῦ συγγένεια, κἂν μὴ ὑπεισέλθῃ τὴν κληρονομίαν, ἔχει τὴν ἀπὸ τοῦ νόμου βοήθειαν[3].

ΤΙΤΛΟΣ ξγ΄.

Περὶ ἁρπαγῆς.

[α΄.] Ὅτι ὁ μάγιστρος[4] γράψαντος τοῦ βασιλέως κυροῦ ῥωμανοῦ ἵνα τῶν συναραμένων πράγματα δημευθῶσιν, ἀντεῖπον οἱ δικασταὶ, ὅτι εἰ μὲν ὡς ἀπὸ ἐξουσίας ἢ ἀποφάσεως γέγραπται, διορθώσεως οὐ δεῖται· εἰ δὲ πρὸς τὸν νόμον, ὀφείλει γινώσκειν ἡ ἁγία βασιλεία σου τὸν νόμον[5] διο-

---

[1] Cod. ἀρχῆς. [2] Forte περιοῦσαι. [3] Cf. Eustathii ὑπόμνημα apud Leunclav. IGR. I p. 420. [4] Haec verba ὁ μάγ. ab hoc loco aliena esse existimaverim. [5] Basil. LX, 58, 1.

ριζόμενον τὰ πράγματα τῶν ἁρπασάντων καὶ βοηθησάντων ἐν τῇ ἁρπαγῇ τῆς δεσποτείας γίνεσθαι τῶν βιασθεισῶν γυναικῶν, τοὺς μέντοιγε συνειδότας ἢ ὑπηρετήσαντας ἢ ὑποδεξαμένους ἢ οἱανδήποτε σπουδὴν τῷ ἅρπαγι συνεισενεγκόντας ποιναῖς μόναις ὑποβάλλεσθαι, οὐ μὴν καὶ εἰς πράγματα ζημιοῦσθαι.

[β'.] Ὅτι[1] γυνὴ ὑποστᾶσα ἁρπαγὴν ἔλεγε καὶ πράγματα τοὺς εἰσελθόντας εἰς τὴν οἰκίαν αὐτῆς ἁρπάσαι, καὶ ὁ μάγιστρος εἶπε μὴ ὀφείλειν ὀμόσαι τὴν γυναῖκα τί ἀπώλεσε, λεγόντων τινῶν· ὀφείλει ὀμνύειν καὶ ἀπολαμβάνειν ταῦτα. τὴν γὰρ περιουσίαν τοῦ ἅρπαγος, ἔφη, λαμβάνουσα καὶ τῶν συνεισφρησάντων αὐτῷ εἰς τὸν οἶκον αὐτῆς[2] ὡς βούλεται ταῦτα λογιζέσθω, εἴτε ὡς χρέους ἱκάνωσιν εἴτε [ὡς] ἐκδίκησιν ὧν ὑπέστη[3]. ἐὰν δὲ ἡ περιουσία τοῦ ἅρπαγος καὶ τῶν εἰσελθόντων [σὺν] αὐτῷ εἰς τὸν οἶκον εἰς τὴν ποσότητα τοῦ λεγομένου ἁρπαγῆναι χρυσίου οὐκ ἀρκεῖ, ἡ γυνὴ ὀφείλει κινδυνεύειν εἰς τοῦτο. οἱ γὰρ μὴ εἰς τὸν οἶκον αὐτῆς εἰσελθόντες δηλονότι οὐδὲ πράγματα ἔλαβον, οὐδὲ ὕπεστιν αὐτῇ ἀγωγὴ περὶ τούτου κατ' αὐτῶν, ἀλλὰ περὶ συνειδήσεως[4] καὶ ὑποδοχῆς δύναται ἐνάγειν κατ' αὐτῶν.

[γ'.] Ὅτι σκοπεῖσθαι χρὴ ἐν ταῖς ἀφαιρέσεσι τῶν ὑποστάσεων τῶν ἁρπάγων καὶ τῶν συναραμένων αὐτοῖς ἤγουν τῶν συνελθόντων μετὰ τοῦ ἅρπαγος εἰς τὸν οἶκον, ἐὰν ἔχωσιν οὗτοι γυναῖκας προῖκας χρεωστουμένας καὶ ἄλλα τινὰ νόμοις ἐγνωσμένα, καὶ κατὰ τὸν νόμον προϋπεξαιρεῖν τὰ διδόμενα αὐταῖς· ἐὰν καὶ στρατείας ἔχωσι, συντηρεῖν ἀμειώτους ταύτας κατὰ τὸ ὡρισμένον ἐκ τοῦ νόμου ποσόν. καὶ[5] ἐὰν πολλάκις τινὲς ἀναιρεθῶσιν ἐν τῇ ἁρπαγῇ, εἰ μὲν τοῦ μέρους τῶν ἁρπαζόντων εἰσὶ, χρὴ αὐτοὺς ἀνεκδικήτους καταλιμπάνεσθαι· εἰ δὲ ἐκ τῶν ὑπερμαχούντων[6] τῆς γυναικὸς, καὶ ἔχουσι γυναῖκας καὶ παῖδας, δεῖ τὴν γυναῖκα προσταχθῆναι τὴν λαμβάνουσαν τὰς ὑποστάσεις τῶν ἐπελθόντων ποιῆσαι καὶ τὴν τούτων πρόνοιαν ἁρμοζόντως.

---

[1] Hic locus extat in scholiis ad Basil. LX, 58, 1 edit. Heimb. V p. 900 sub rubrica: *ἐκ τῶν ἐν τῇ πε'ρᾳ τοῦ ῥωμανοῦ.* [2] Cod. addit *καὶ.* [3] Basilicorum scholia reliqua non habent, sed addunt: *ὑπεξαιρεῖν δὲ ὀφείλει τὰς προῖκας τῶν συνεζευγμένων γυναικῶν τοῖς ἅρπαξι καὶ τοῖς συναραμένοις αὐτοῖς, καὶ τὰς στρατείας ἤτοι ὑπὲρ τῆς ἱππικῆς ἀκίνητον κτῆσιν λιτρῶν δ', αἷς* (l. *οἷς*) *συναριθμοῦνται καὶ οἱ πλώϊμοι τοῦ αἰγαίου καὶ τῆς σάμου καὶ τῶν κιβυῤῥαιωτῶν· τοῖς δὲ βασιλικοῖς πλωΐμοις λίτρας δύο.* Cf. c. 3 et Nov. Constantini *περὶ στρατιωτικῶν τοπίων* apud Leuncl. IGR. II p.145. [4] Cod. *συνειδότος.* [5] Haec rursus habent scholia Basil. l. l. sub rubrica: *τοῦ αὐτοῦ.* [6] Basil. *βοηθέντων τῇ γυναικί.*

[δ'.] Ὅτι[1] τὸ λέγειν τὸν νόμον[2] τὰ πράγματα τῶν ἁρπασάντων [καὶ τῶν βοηθησάντων] αὐτοῖς ἐν τῇ ἁρπαγῇ τῆς δεσποτείας γίνεσθαι τῶν βιασθεισῶν γυναικῶν, τοὺς μέντοιγε συνεισενεγκόντας[3] ποιναῖς μόναις ὑποβάλλεσθαι, οὕτως ἡρμήνευσεν ὁ μάγιστρος[4], ὅτι οἱ μὲν συνεισελθόντες εἰς τὸν οἶκον τῆς γυναικὸς ἢ ἔξωθεν ἱστάμενοι μετὰ τοῦ ἅρπαγος καὶ συνεργοῦντες αὐτῷ, οὗτοι πρὸς ταῖς ποιναῖς ἀφαιροῦνται καὶ [τὰ] πράγματα· οἱ δὲ ὑπουργήσαντες, τουτέστι δεξάμενοι τὸν ἅρπαγα, ὥστε μεῖναι τῇ ἑσπέρᾳ ἢ πρὸ τῆς ἁρπαγῆς ἢ μετὰ τὴν ἁρπαγὴν ἐν τῇ οἰκίᾳ αὐτῶν, ἢ ὑποδείξαντες αὐτῷ ὁδὸν, δι' ἧς ἔλθοι εἰς τὴν οἰκίαν τῆς μελλούσης ἁρπαγῆναι, ἢ χορηγήσαντες αὐτῷ λαὸν, ἢ ἵππους ἤ τινα ἑτέραν συνέργειαν δεδωκότες, οὗτοι μόνας τὰς γεγραμμένας ποινὰς ὑπομένουσιν οὐ μέντοιγε καὶ ἀφαιρέσεις τῶν ἰδίων πραγμάτων ὑφίστανται. καὶ τοῦτο εὑρίσκεσθαι ἔλεγεν ὁ μάγιστρος περὶ τὰ μέσα τοῦ τίτλου[5] σαφῶς, καὶ ἐρίσαι περὶ τούτου τοὺς μεγάλους[6] τῶν δικαστῶν καὶ νικῆσαι καὶ κυρωθῆναι τὴν κρίσιν αὐτοῦ.

[ε'.] Ὅτι[7] ὅτε μετὰ πλήθους ἀφίκεταί τις εἰς οἰκίαν τινὸς, καὶ εἴτε ἄκουσαν εἴτε ἑκοῦσαν ἁρπάσει γυναῖκα, ἁρπαγὴν πλημμελεῖ καὶ τιμωρεῖται· ὅτε δὲ μόνος ἀπέλθῃ, μή τινας ἔχων τοὺς συνυπουργηκότας, καὶ ἀφανῶς τὴν γυναῖκα ἑαυτὴν προδεδωκυῖαν ἀφελέσθαι θαῤῥήσει, οὐχ ἁρπαγὴν ἀλλὰ φθορὰν παρθένου ἁμαρτάνει[8]. καὶ οὕτως ἐκρίθη παρὰ τοῦ παλαιοῦ κένσωρος εἰς τὴν δίκην τοῦ πρωτοκαράβου.

ΤΙΤΛΟΣ ξδ'.

Περὶ πλαστοῦ.

[α'.] Ὅτι ὁ κινῶν περὶ πλαστοῦ κἂν κινήσεως ἀπαλλάξῃ[9] τὸν πλαστογράφον, οὐδὲν ἐκεῖνος ἐξ αὐτοῦ κερδαίνει μὴ ἔχων ἕτερον ἰσχυρὸν δίκαιον εἰς ἀπόλυσιν ὧν ἐπιζητεῖ, ἀλλὰ τῷ δημοσίῳ πᾶσα οὐσία ἁρμόζει τοῦ πλαστογράφου, ἐξαιρουμένων

---

[1] Hoc caput similiter extat inter scholia Basil. l. l. sub rubrica: *τί. ξδ' τῆς πείρας τοῦ ῥωμανοῦ.* [2] Cf. supra c. 1. [3] Basil. rectius: *συνειδότας ἢ ὑπηρετήσαντας ἢ καὶ ὑποδεξαμένους ἢ οἱανδήποτε σπουδὴν τῷ ἅρπαγι συνεισενεγκ.* [4] Basil. *οὕτως ἑρμηνευτέον.* [5] Sc. Basil. LX, 58. [6] Basil. *μετὰ τῶν μεγάλων δικ.* [7] Et haec Bas. l. l. habent sub rubrica: *τοῦ αὐτοῦ.* [8] Hactenus scholia Basil. [9] Cod. *ἀπελέγξας.*

δηλαδὴ τῶν γυναικείων καὶ τῶν ἄλλως τοῖς παισὶν ἁρμοζόντων. δίδονται δὲ λ′ ἡμέραι εἰς διάσκεψιν τοῖς ὑποσχομένοις ἐλέγχειν τὸ πλαστὸν, καὶ μετὰ τὴν τριακονθήμερον ἀσφαλίζονται, καὶ ἀτονοῦντες ἐλέγξαι ὑπόκεινται. εἰ δὲ ἔσωθεν τῆς τριακονθημέρου ἀσφαλίσονται καὶ οὐ δυνηθῶσιν ἀπελέγξαι τὸ πλαστὸν, οὐχ ὑποπίπτουσι τῷ ἐγκλήματι, ἀλλὰ ἀφίενται ὡς παρὰ τὸν νόμον ἀσφαλισάμενοι. τοιοῦτον ἔλεγεν ὁ πατρίκιος κινηθῆναι ἐνώπιον τοῦ βασιλέως, καὶ ὑποσχέσθαι μὲν τὸν κινοῦντα ἐλέγξαι τὸ πλαστὸν καὶ ἀσφαλίσασθαι ἐντὸς τριακονθημέρου, μετὰ δὲ ταῦτα μὴ δυνηθέντα τὸν ἀσφαλισάμενον ἀπελέγξαι τὸ προτεινόμενον, παραστῆναι τῷ βασιλεῖ παρὰ πάντων τῶν κριτῶν καταδικαζόμενον ὡς ψευδῶς ἀσφαλισάμενον. ἀντιστῆναι δὲ τῷ τεπειγάνῳ καὶ τῷ δεκαπολίτῃ καὶ βάρδᾳ τῷ βέστῃ τὸν πατρίκιον τότε λιτὸν κριτὴν ὄντα, καὶ πεῖσαι αὐτοὺς ἀδίκως παρανομοῦντας εἰς τὸν ἄνθρωπον μὴ ἐννόμως ἀσφαλισάμενον, καὶ διὰ τοῦτο ἀφεῖναι τοῦτον· τοῦ ἐγκλήματος. εἰπόντος τότε συμεῶνος τοῦ μαγίστρου καὶ λογοθέτου· (παρῆν γὰρ κἀκεῖνος·) ὡς δικαίως λέγει [ὁ] νέος εὐστάθιος, ἡμεῖς δὲ ἀσκόπως ποιήσαντες ἔτι καὶ παρὰ τὸν νόμον τὸν ἄνθρωπον κατεδικάζομεν. ἀνάγν. βι. κβ′ τί. α′ κεφ. νη′· „ἐάν τις προσφέρει τινὰ γραφὴν, ὀφείλει αὐτὴν ἀποδεικνύειν ἀληθῆ, ἐπεὶ εἰ μὴ ἀποδείξει, πλαστογραφίας λόγον ὑφέξει.“

[β′.] Ὅτι πλαστόν ἐστι τὸ διὰ χειρῶν πλαττόμενον πᾶν, τὸ δὲ τοῦ νόμου πλαστόν ἐστι τὸ τὸν μὴ χρεωστοῦντα γράψαι χρεωστεῖν μοι, καὶ μιμήσασθαι μὲν τὴν αὐτοῦ γραφὴν καὶ τὴν τῶν μαρτύρων· τὸ δὲ ὡσανεὶ πλαστόν ἐστι τὸ τὸ χρέος ἀφανίσαι, οἷον τὸ εὑρεῖν με ὁμολογίαν μου καὶ σχίσαι, ἢ συμβαλλόμενα δικαιώματα τῷ ἀντιδίκῳ μου ἀποκρύψασθαι, ἢ διαθήκην ἀφανίσαι. ἔλεγε δὲ ὁ μάγιστρος[1] διαφορὰν τοῦ πλαστοῦ πρὸς τὸ ὡσανεὶ πλαστὸν, ὅτι τὸ μὲν πλαστὸν ποιεῖ τὸ μὴ ὂν γενέσθαι ὂν, τὸ δὲ ὡσανεὶ πλαστὸν ἀφανίζει τὸ ὂν μὴ εἶναι. τὸ γὰρ ξέσαι γράμματα καὶ ποιῆσαι τὴν διαθήκην μὴ ἀναγινώσκεσθαι ἢ τὸ χωρίον μὴ νοεῖσθαι, ἀληθῆ μὲν εἰσὶ, ὡσανεὶ δὲ πλαστὰ ἐγένοντο μὴ δυναμένου ἀναγνωσθῆναι ὅπερ ἔχουσι καὶ δηλοῦσιν.

[γ′.] Ὅτι ἐκ πλαστῶν τις δικαιωμάτων λαβὼν ἀμπελῶνα τῆς ἁρμοζούσης τῷ ἐγκλήματι πλαστογραφίας ἐμποινίμου διὰ

---

[1] Cf. tit. LI c. 22.

μὲν φιλαγαθίαν ἀφήθη, κατεδικάσθη δὲ δοῦναι καὶ τὰς μειώσεις τῶν ἀμπελώνων καὶ τοὺς καρπούς. φησὶ γὰρ βι. κβ' τί. α' κεφ. λα'· „εἰ καὶ μὴ χρὴ γενέσθαι προχρονισμὸν, ὅμως πρὸς τοὺς ἐκ συναινέσεως τοῦτο ποιήσαντας οὐχ ἁρμόζει τὸ τοῦ πλαστοῦ ἔγκλημα· μᾶλλον γὰρ ὁ χρεώστης ἤπερ ὁ δανειστὴς ἥμαρτε." καὶ κεφ. οθ'· „ἐάν τις προαγάγῃ χάρτην καὶ ἀποδείξῃ αὐτὸν ἀληθῆ, οὐκέτι προκομίζει αὐτὸν, ἐὰν μὴ ὀμόσῃ ὁ αἰτῶν ὅτι οὐ συκοφαντικῇ προαιρέσει ἐπεζήτει αὐτόν. ἄχρι δὲ καταδίκης ἔξεστι διαβάλλειν τὸν χάρτην ὡς πλαστόν. ἐὰν γὰρ καταδίκη γένηται καὶ μηδὲ ἔκκλητος παρακολουθήσῃ, οὐκ ἔξεστι τὸν ἅπαξ ἀληθῆ ἀποδειχθέντα χάρτην ὡς πλαστὸν διαβάλλειν."

[δ'.] Ὅτι συναινέσαντος τοῦ ὀφειλέτου καὶ τοῦ δανειστοῦ ἡμαρτήθη προχρονισμὸς ἐν τῷ ἐγγράφῳ εἰς περιγραφὴν ἑτέρου δανειστοῦ, καὶ ὁ δεύτερος δανειστὴς ὑποδείξας τὸ πλαστὸν ἔγγραφον ἐνίκησε τὸν πρῶτον. εἶτα ὁ μάγιστρος κινηθείσης τῆς δίκης καὶ ἐλεγχθέντος τοῦ πλαστοῦ καὶ τοῦ προκομίσαντος εἰς λεπτὰ τοῦτο διατεμόντος ἔγραψεν οὕτως· ἐδικαιώθη ὁ πρῶτος δανειστὴς ....[1] καὶ ἀπέλαβεν ἃ ἀφῃρέθη ἀζημίως μετὰ καρπῶν καὶ πάντων. ἑτέραν δὲ τιμωρίαν οὐκ ἐπήγαγεν.

[ε'.] Ὅτι ὁ λιμογάλακτος κατέκαυσε τὰ σύμφωνα τῆς γυναικὸς αὐτοῦ, καὶ ἡ μὲν τῆς προικὸς ποσότης εὑρέθη ἐξ ἑτέρων δικαιωμάτων, ἡ δὲ τοῦ ὑποβόλου κατὰ τὸ ἥμισυ τῆς προικὸς ἐκρίθη, καὶ τὸ θεώρετρον κατὰ τὸ ἔθιμον, ἡ δὲ ποινὴ τούτου κατεψηφίσθη πλαστογραφίας, κἂν συνεχωρήθη καὶ παρὰ τῆς γυναικός. ἔκρινε γὰρ ὁ μάγιστρος οὕτως· πολλῶν ἁρμοζουσῶν ἀγωγῶν κατ' αὐτοῦ ὅδε πρᾳείας ἔτυχε καὶ ὁμαλῆς τῆς ἀποφάσεως. καὶ γὰρ ὁ μὲν[2] τῶν νόμων φησί· „πλαστόν ἐστι τὸ μιμήσασθαι χειρόγραφον ἑτέρου ἢ διαῤῥῆξαι ἢ μεταγράψαι," ὁ δέ[3]· „ὁ ἐν λογισμοῖς ἢ διφθέραις ἢ πινακιδίοις ἀσφραγίστοις ποιήσας τὶ πλαστὸν ἢ ἀπαλείψας ὑπόκειται τῷ πλαστῷ," καὶ[4] „οἱ διαθήκας ἢ ἕτερά τινα δικαιώματα ἢ λογισμοὺς πιστευθέντες καὶ ἀποκρύπτοντες πρὸς τὸ μὴ δειχθῆναι τὸ ἀληθὲς τῷ τῆς πλαστογραφίας ἐγκλήματι ὑπόκεινται." εἰ δὲ τὸ κρύψαι ἢ διαῤῥῆξαι ἢ ἀπαλεῖψαι κεκόλασται, δηλονότι τὸ κατακαῦσαι ἢ ὡς ταὐτὸν τούτοις ἢ ὥς τι πλέον ἔχει, τοῦ ἐγκλήματος οὐκ ἀπήλλακται. καὶ νόμος ἕτερος[5]· „ὁ μὴ ἀποκρύψας ἀλλ' ἀπαλείψας τὸ δικαίωμα οὐ μόνον τῇ περὶ κλοπῆς

---

[1] Quasi lacuna in fine lineae post hoc verbum est. [2] Basil. LX, 41, 23. [3] Basil. l. l. c. 1. [4] Basil. l. l. c. 16. [5] Basil. LX, 12, 27 in fine et 29. 30.

εἰς τὸ διπλάσιον ἀγωγῇ, ἀλλὰ καὶ τῷ ἀκουϊλίῳ ἐνέχεται. κατέχεται καὶ τῇ περὶ ἀποκρυβέντων πραγμάτων ἀγωγῇ καὶ τῇ περὶ τῶν ὑπαρχόντων ἐὰν κληρονομιαῖα εἴησαν τὰ δικαιώματα.“ καὶ ἄλλος νόμος[1]· „χειρογράφου ἀπαλειφθέντος χώρα τῷ ἀκουϊλίῳ,“ καὶ[2] „ὁ διαθήκην ἢ ἄλλο δικαίωμα παρατεθὲν αὐτῷ ἀπαλείψας ὡς μὴ ἀναγινώσκεσθαι, καὶ τῇ ἀγωγῇ τῇ περὶ παραθήκης καὶ τῇ ἀποκρυβέντων πραγμάτων καὶ τῷ ἀκουϊλίῳ ἐνέχεται.“

[ϛ΄.] Ὅτι προεκομίσθη σημείωμα τοῦ κριτοῦ πελοποννήσου καὶ ἑλλάδος, καὶ εἶχεν ἡ ὑπογραφὴ ἡ τοῦ κριτοῦ πταῖσμα· τὸ γὰρ πρὸ τοῦ λάμβδα ε τῆς ἑλλάδος ἐψίλατο. καὶ ὁ ἀντίδικος ἐκ τούτου ἔλεγε κριθῆναι πλαστὸν τὸ ὑπόμνημα. ἀλλ᾽ ὁ μάγιστρος οὐκ ἐδέξατο εἰπὼν οὕτως· εἴγε πρὸς ἑτέροις ὄντος τοῦ δικάζοντος ἐν τῷ ὑπογράφειν λογισμοῖς τὸ ὀλίσθημα συμβέβηκεν, οὐδὲν ὑποστήσεται πρόκριμα ὁ τοῦτο προκομίζων, δυνάμενος ἑτέρωθεν δεικνύειν τοῦτο ἀληθές· νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει.

ΤΙΤΛΟΣ ξε΄.

Περὶ ἐγγυητῶν.

[α΄.] Ὅτι ἐγγυησάμενοί τινες τρεῖς ἔχοντά τινα γυναῖκα, καὶ τελευτήσαντος τούτου ἡ γυνὴ ἀπογραφὴν τῆς ὑπάρξεως ἐποιήσατο ἐνόχου ὄντος τῷ δημοσίῳ, καὶ ὑπόμνημα ἔλαβε παρὰ τοῦ σκρίβα δικαιοῦν αὐτὴν ἐπὶ ἱκανώσει προικὸς τὰ εὑρεθέντα ἔχειν, ἀλλ᾽ ὁ δημόσιος ὑπὲρ τῆς λοιπάδος τῆς προικὸς ἀφείλατο ταῦτα, τὴν γυναῖκα κρατήσας καὶ τοὺς ἐγγυητὰς καὶ προσαφελόμενος ἐξ αὐτῶν ἀνὰ νομίσματα μη΄. ἡ οὖν γυνὴ εὑροῦσα χρεώστας τοῦ ἀνδρὸς ἀπήτησεν αὐτοὺς τὰ χρέα ἤτοι νομίσματα ξγ΄. καὶ οἱ ἐγγυηταὶ προσῆλθον τῷ βασιλεῖ αἰτούμενοι λαβεῖν τὰ ἀπαιτηθέντα παρὰ τῆς γυναικὸς προβαλλόμενοι πραγματικοὺς τύπους[3]. ὁ δὲ βασιλεὺς ἀκροασάμενος τῆς ἀμφισβητήσεως ἀντιγράφει πρὸς τὸν πατρίκιον μυστικὸν τότε ὄντα ῥητῶς οὕτως· ὁ δεῖνα καὶ ὁ δεῖνα εἰς τὴν βασιλείαν μου ἀνεκάλεσαν, ὅτι ἐγγυήσαντο εἰς δουλείαν[4] τὸν

---

[1] Basil. LX, 3, 41. [2] Ibid. c. 42. [3] Cod. τρόπους. [4] Legendum videtur δημόσιον.

δεῖνα, καὶ μετὰ τελευτὴν ἐκείνου ἐκρατήθησαν αὐτοὶ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ κατέβαλον τὸ ὑποχρεωστούμενον ἐκπληρώσαντες τὴν εὐθύνην· ὕστερον δὲ ἡ γονὴ εὗρε χρεοφειλέτας τοῦ ἀνδρὸς καὶ ἀνελάβετο ἐξ αὐτῶν χρυσίον· καὶ κελεύει σοι ἡ βασιλεία μου, ἵνα ἴδῃς πόσον ἐστὶ τὸ χρυσίον, καὶ λάβωσι καὶ αὐτοὶ μερίδα ἀπὸ τοῦ χρυσίου, ὅσαν ἂν προκρίνῃς σὺ κἄντε ἐπίσης κἄντε ὀλιγοτέραν. οὕτως οὖν ἐχούσης τῆς γραφῆς τὰ μὲν λα΄ πρὸς τῷ ἑνὶ τῇ γυναικὶ κατέλιπε, τὰ δὲ λβ΄ τοῖς δυσὶν[1] ἐγγυηταῖς κατέλιπε, μερίσας αὐτοῖς ταῦτα. εἰ γὰρ καὶ ὁ τρίτος[2] τῶν ἐγγυητῶν περιῆν, τάχα ἂν κἀκείνῳ ἐπενεμήθη μερὶς, ἣν ἀφῆκε τῇ γυναικὶ πονησάσῃ πολλὰ καὶ δικαστηρίοις ἐνασχοληθείσῃ.

[β΄.] Ὅτι ἐγγυήσατο ὁ κηρουλάριος τὸν ἀδελφὸν αὐτοῦ ἐπὶ τῇ προικὶ, ἥτις ἔσχεν αὐτὸν ἔνοχον ἐξ ἑτέρων αἰτιῶν, καὶ ἀπέλαβε κρίσει δικαστικῇ κτῆμα αὐτοῦ. προτέθεικεν ἡ γυνὴ τοῦ ἀδελφοῦ τοῦ κηρουλαρίου τὴν περὶ προικὸς ἀγωγὴν, καὶ κακουργοῦντος τοῦ κηρουλαρίου ἐδόθη πάλιν τὸ κτῆμα ὡς ἀνδρῷον πρὸς αὐτήν. καὶ ὁ κηρουλάριος ἐζήτει ἀπογραφῆναι τὴν πᾶσαν περιουσίαν τοῦ ἀδελφοῦ καὶ ἐξετασθῆναι τὴν περὶ προικὸς δίκην. ὁ δὲ ἀνὴρ καὶ ἡ γυνὴ παραλαβόντες τὸ κτῆμα ἤρξαντο κακουργεῖν καὶ μὴ κινεῖν τὰ οἰκεῖα δίκαια καὶ τὴν περὶ προικὸς ἀγωγήν. καὶ ὁ μάγιστρος ἐσημειώσατο εἰπών· ἐπεὶ μετὰ τὴν λῆψιν τοῦ κτήματος κακουργοῦντες ἐφάνησαν, δεῖν ἔγνωμεν βοηθῆσαι τῷ ἐγγυητῇ καὶ τὸ κτῆμα παραδοῦναι πρὸς αὐτὸν, ἕως ἂν ἡ γυνὴ γνώμην λάβῃ καὶ τῶν νόμων καὶ τῶν δικαίων τύχῃ, λογιζομένη μὲν[3] ἅπερ δικαίως εἴληφε, ἐπιζητοῦσα δὲ τὰ λείποντα κατὰ τὴν τῶν νόμων ἀκρίβειαν. ὑπερτιθεμένης γὰρ αὐτῆς οὐ δίκαιόν ἐστι τὸν ἐγγυητὴν πολλὰ ἐποφειλόμενον, καὶ οὐ τοσοῦτον ὑπὲρ αὐτοῦ ὅσον ὑπὲρ τῆς γυναικὸς ἀξιοῦντα, μήτινος γοῦν ἀμύνης τυχεῖν.

[γ΄.] „Εἴ[4] τις εἴποι· γενήσεταί σοι τὸ ἱκανὸν παρ᾽ ἐμοῦ ἢ παρὰ τοῦδε ἢ τοῦδε, τοῖς μὲν ὀνομασθεῖσι προσώποις κατὰ τὸν ὅμοιον τρόπον μὴ συμβαίνουσι μηδὲ ἓν γίνεσθαι πρόκριμα· αὐτὸν δὲ τὸν τοῦτο ἀντιφωνήσαντα ἀκέραιον μὲν τὸ χρέος ἀναγκάζεσθαι καταβαλεῖν, εἴ τινα δὲ κατὰ τῶν ὀνομασθέντων προσώπων νομίσει ἑαυτῷ ἁρμόζειν ἀγωγὴν, ταύτην κατ᾽ αὐτῶν προτιθέναι καὶ τῆς τῶν νόμων βοηθείας ἀπολαβεῖν.“

[δ΄.] Ὅτι ἐγγύη μὲν ὑπὲρ ἑτέρου γίνεται, ἀντιφωνεῖ δέ τις καὶ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ ἑτέρου.

---

[1] Cod. τρισίν. [2] Cod. ἕτερος. [3] Cod. γάρ. [4] Basil. XXVI, 3, 3.

[ε΄.] Ὅτι γήμας τὶς γυναῖκα ἐξ ἑτέρου ἀνδρὸς ἔχουσαν παῖδας, καὶ παραλαμβάνων τὰ πατρῷα τῶν παίδων, ἠκριβοῦτο παρὰ τῶν ἐπιτρόπων τοῦ προτέρου ἀνδρὸς, καὶ δέδωκεν ἐγγυητὰς τὸν ἀτζοκομίτην καὶ τὸν δερμοκαΐτην καὶ λοιπούς· εἶτα συνήφθη ἀνδρὶ εἰς γάμον ἡ προγόνη τοῦ δόντος τοὺς ἐγγυητὰς καὶ ἐπεζήτει τὰ πατρῷα. οἱ δὲ ἐγγυηταὶ δεδώκασι πρὸς αὐτὸν κτήματα ἐφ᾽ ᾧ κατέχειν ταῦτα καὶ νέμεσθαι, ἕως ἂν τὰ πατρῷα ἀπολάβῃ. καὶ μετὰ ταῦτα ὁ εἷς τῶν ἐγγυητῶν ὁ δερμοκαΐτης γαμβρὸν ἐπὶ θυγατρὶ ποιησάμενος τὸν τουπένην[1] καὶ συμβουλευσάμενος παρεῖχε[2] τὰ πατρῷα τῇ χρεωστουμένῃ γυναικὶ καὶ ἀνελάβοντο τὰ κτήματα. χρόνοις ὕστερον ἐξενικήθησαν τὰ κτήματα καὶ ἐκίνει ὁ κληρονόμος τοῦ δερμοκαΐτου κατὰ τοῦ λαμπροῦ τοῦ ἀνδρὸς τῆς ἀπολαβούσης τὰ πατρῷα, ἵνα ἐξ αὐτοῦ πάθῃ τὸ ἱκανόν. καὶ ἔκρινεν ὁ μάγιστρος, ὅτι εἴπερ ὁ λαμπρὸς κατέχων τὰ κτήματα ἐκνίκησιν τούτων ὑπέστη, τοὺς ἐγγυητὰς ὤφειλεν εὐθύνειν ἵνα ἀποδώσωσι πρὸς τὴν γυναῖκα αὐτοῦ τὰ πατρῷα· ὃς δὲ ἀγωγῇ ἰσχυρᾷ ὥπλιστο κατὰ τῶν ἐγγυητῶν ἤγουν κατὰ τοῦ δερμοκαΐτου καὶ τῶν λοιπῶν, οὐκ ἂν αὐτὸς ἀγωγῇ τῇ περὶ ἐκνικήσεως ὑποπεσεῖται. οὗτος γὰρ πατρῷα τῆς γυναικὸς ἀπειληφὼς τῷ δερμοκαΐτῃ τὰ κτήματα ἀπέδωκε, καὶ τοὺς ἐγγυητὰς τῆς ἐγγύης ἀπέλυσεν. ἔλεγον δὲ ὅτι ὁ λαμπρὸς λαμβάνων τὸ χρυσίον ἤγουν τὰ πατρῷα τῆς γυναικὸς πράσεις ἐξέθετο τῶν κτημάτων, ὅπερ οὐκ ἐδηλοῦτο σαφῶς· καὶ διὰ τοῦτο ἔγραψεν ὁ μάγιστρος· ἵνα γὰρ θείη τὶς ὅτι πρᾶσις ἐκτετέλεσται, οὐδ᾽ οὕτως ἔσχεν ἀγωγὴν ὁ δερμοκαΐτης κατὰ τοῦ λαμπροῦ ἐγγυησαμένου.

[ϛ΄.] Ἀνάγνωθι βι. κγ΄ τί. γ΄ κεφ. κ΄[3]· „Τοῦ ἐναγομένου ὑπέρθεσιν ποιοῦντος καὶ ὁ ἐγγυητὴς ἐνέχεται.“ τὸ δὲ η΄[4] κεφάλαιόν φησιν ὡς „μόνος ὁ ἐγγυητὴς ὑπέρθεσιν ποιῶν οὐκ ἐνέχεται, ὥσπερ ἐὰν τὸν ὁμολογηθέντα δοῦλον φονεύσῃ, οὐτιλίᾳ [δὲ] ἐνάγεται.“ καὶ κεφ. ξα΄[5]· „Αἱ περὶ τόκων διατάξεις οὐ μόνον τοῖς πρωτοτύποις βοηθοῦσιν, ἀλλὰ καὶ ἐγγυηταῖς καὶ μανδάτορσιν.“

[ζ΄.] Καὶ βι. ιθ΄ τί. ια΄[6] κεφ. μϛ΄· „Ἐὰν ὁ ἀγοράσας ἀγρὸν ἀπ᾽ ἐμοῦ καὶ λαβὼν ἐγγυητὰς γράψει με κληρονόμον καὶ τὸν ἀγρὸν λεγατεύσῃ, ἐλευθεροῦνται παραχρῆμα οἱ ἐγγυηταί. κἂν γὰρ ἐκνικηθῇ παρὰ τοῦ λεγαταρίου, οὐκ ἐνέχονται.“ καὶ κεφ.

---

[1] Vel ῥουπένην. [2] Cod. παρέχων. [3] Heimb. κδ΄. [4] Heimb. λβ΄. [5] Heimb. ξη΄. [6] Cod. α΄. Cf. Suppl. edit. Basil. Heimb. p. 283.

..[1] „Ἐὰν ἀγοράσας ἀγρὸν παρὰ σοῦ καὶ λαβὼν ἐγγυητὰς πωλήσω αὐτὸν πέτρῳ, εἶτα κληρονομήσω πέτρου ἢ πέτρος ἐμοῦ, καὶ ἐκνικηθῇ ὁ ἀγρὸς, ἐνέχονται οἱ ἐγγυηταὶ, ὡς καὶ εἴ τις ἄλλος ἐμοῦ καὶ πέτρου κληρονομήσει. ὅταν γὰρ δανειστὴς κληρονομεῖ τοῦ χρεώστου, ἥττων ἡ κληρονομία δοκεῖ εἶναι καὶ ὁ κληρονόμος εὐπορώτερος· εἰ δὲ τοὐναντίον ὁ χρεώστης κληρονομήσει τοῦ δανειστοῦ, δοκεῖ ἡ κληρονομία εὐπορωτέρα εἶναι διὰ τὸ παρὰ τοῦ κληρονόμου χρεωστούμενον αὐτῇ."

[η′.] Καὶ βι. κς′ τί. α′ κεφ. δ′[2]· „Ἐὰν ὁ ἐγγυητὴς κληρονόμος γένηται τοῦ ἐγγυηθέντος, σβέννυται ἡ τῆς ἐγγύης ἐνοχὴ καὶ ὡς ὑπεύθυνος ἐνέχεται. εἰ μέντοι ἀπὸ δύο ὑπευθύνων ὁ εἷς τοῦ ἄλλου κληρονομήσει, μένει ἐνεχόμενος ταῖς δυσὶν αἰτίαις. ἡνίκα γὰρ εἰς τὸ αὐτὸ πρόσωπον δύο τρέχουσιν ἀγωγαὶ, ἡ μὲν πρωτότυπος ἡ δὲ ἐν προσθήκῃ, ἀναιρεῖται ἡ προσθήκη. εἰ δὲ αἱ δύο πρωτότυποί εἰσι, μένουσιν ἐῤῥωμέναι· καὶ ἐὰν προκατάρξηται ἡ μία, ἀναιρεῖ τὴν ἄλλην, ὡς ὁ εἷς τῶν δύο ὑπευθύνων ἐπερωτώντων γινόμενος τῷ ἄλλῳ κληρονόμος."

[θ′.] Καὶ κεφ. ζ′ θέ. α′[3]· „Ὁ ὑπὲρ ἑτέρου ἑαυτὸν παρεμβαλὼν ἐὰν σκληρότερον ὁμολογήσῃ τοῦ πρωτοτύπου, οὐδόλως ἐνέχεται. ἐλαφροτέρως δὲ δύνασθαι προσλαμβάνεσθαι, ὡς ἐπὶ ἥττονος ὑποθέσεως ἢ ὑπὸ ἡμέραν ἢ ὑπὸ αἵρεσιν τοῦ ἐναγομένου χωρὶς αἱρέσεως ἐπερωτηθέντος· οὐ μὴν τὸ ἐναντίον."

[ι′.] Καὶ κεφ. ιβ′[4]· „Ἐὰν ὁ ἐναγόμενος γένηται κληρονόμος τῷ ἐγγυητῇ, σβέννυται ἡ τοῦ ἐγγυητοῦ ἐνοχὴ, καὶ ἀπαιτεῖται ὡς πρωτότυπος, καὶ ἐὰν χρήσηται παραγραφῇ ἁρμοζούσῃ ἐγγυητῇ, ἐκβάλλεται δόλου παραγραφῇ."

[ια′.] Καὶ κεφ. ιθ′[5] θέ. δ′· „Ἐὰν ὁ ἐπερωτήσας γράψῃ τὸν ἐναγόμενον κληρονόμον, ἀφανίζεται ἡ ἐνοχὴ τοῦ ἐγγυητοῦ εἴτε φυσικὴ ἦν εἴτε πολιτικὴ ἡ κατὰ τοῦ ἐναγομένου ἐνοχή· οὐδεὶς γάρ τινι ὑπὲρ ἑαυτοῦ ἐνέχεται. εἰ δὲ ὁ ἐπερωτήσας ποιήσει τὸν ἐγγυητὴν κληρονόμον, μόνη ἡ τῆς ἐγγύης ἐνοχὴ ἀπόλλυται." καὶ θέ. τελευταῖον· „ἐὰν ὁ ἐγγυητὴς κληρονομήσῃ τὸν ἐπερωτήσαντα, οὐ τὴν τῆς ἐγγύης ἀγωγὴν ὀφείλει κινεῖν κατὰ τοῦ ἐγγυηθέντος, ὡς δοκῶν ἑαυτῷ καταβαλεῖν, ἀλλὰ τὴν τῆς ἐπερωτήσεως."

[ιβ′.] Καὶ κεφ. κβ′[6]· „Ἐὰν ὁ πρωτότυπος γένηται κληρονόμος μερικῶς τῷ ἐγγυητῇ, κατὰ τὸ μέρος αὐτοῦ σβέννυται ἡ

---

[1] Cf. Suppl. cit. [2] Heimb. ε′. [3] Apud Heimb. est κεφ. η′ θέ. ε′.
[4] Heimb. ιδ′. [5] Heimb. κα′. [6] Heimb. κδ′.

τῆς ἐγγύης ἐνοχή· καὶ οὐ δύναται ὁ ἐπερωτήσας κατὰ τῶν λοιπῶν τοῦ ἐγγυητοῦ κληρονόμων εἰς ὁλόκληρον κινεῖν, ἀλλὰ πρὸς τὰ μέρη αὐτῶν, καὶ αὐτοὶ κατὰ τοσοῦτον κινοῦσι τὴν τῆς ἐγγύης ἀγωγὴν κατὰ τοῦ χρεώστου.“

[ιγʹ.] „Ἐὰν[1] ὁ δανειστὴς κληρονομήσῃ τοῦ χρεώστου, τῷ λόγῳ τῆς συγχύσεως καὶ ὁ ἐγγυητὴς ἐλευθεροῦται. εἰ δὲ ἀπὸ δύο ἐναγομένων ἐπερωτώντων τὸν ἕνα κληρονομήσει, ἐναγόμενος ὁ ἐγγυητὴς ἔχει παραγραφήν. καλῶς δὲ ὁ δανειστὴς ἐνάγει τῷ περιόντι χρεώστῃ εἰς ὁλόκληρον, εἰ μὴ ἦν μεταξὺ τῶν δύο ἐναγομένων κοινωνία· ἢ εἰς μέρος, [ἐὰν] ἦν κοινωνία. ἐὰν δὲ ὁ δανειστὴς κληρονομήσῃ τοῦ ἐγγυητοῦ ἢ ὁ ἐγγυητὴς τοῦ δανειστοῦ, οὐκ ἐλευθεροῦται ὁ χρεώστης.“

[ιδʹ.] Καὶ βι. ιθʹ τί. ςʹ κεφ. ιβʹ[2]· „Ἐὰν πρὸ τῆς τοῦ τιμήματος καταβολῆς ἡ δεσποτεία τοῦ πραθέντος στασιασθῇ, οὐ δίδωσιν ὁ ἀγοραστὴς τὴν τιμήν, εἰ μὴ λάβῃ περὶ ἐκνικήσεως ἀξιοπίστους ἐγγυητάς.“

[ιεʹ.] Ὅτι ἐγγυήσατο ὁ υἱὸς τὸν αὐτοῦ πατέρα ὥστε διηνεκῶς καθυπηρετεῖν τοῦτον βασιλείῳ πατρικίῳ τῷ σκληρῷ, εἰ δὲ μή, ἐκτίσματι χρυσικῆς ποσότητος ἑαυτὸν ὑποτέθεικε. καὶ προσελθὼν τῷ μαγίστρῳ ἀπηλλάγη τῆς ἐνοχῆς, ψηφισαμένου ἐκείνου οὕτως· τὸ γεγονὸς ἐγγυητικὸν σύμφωνον, εἰ καὶ ἐκτίσματι χρυσικῆς ποσότητος ὠχύρωτο, πάντῃ παράνομον ἐτύγχανεν, ὡς μικροῦ τὴν ἐλευθερίαν ἀφῃρημένον τοῦ ἐγγυηθέντος. παρανόμου δὲ τοῦ συμφώνου ὄντος οὐδὲ ἡ γενομένη ἐπερώτησις κρατεῖ. ἔνθεν τῆς μὲν ἐγγύης ἠλευθέρωται, οἷα μηδὲ τὴν ἀρχὴν ἔνοχος γεγονώς· δεδικαίωται δὲ ἀπολαβεῖν καὶ ὅσα συστήσῃ νομίμως δικαιωθῆναι[3] χάριν ὧν διῴκησεν ὁ ἐγγυηθείς.

[ιςʹ.] Ὅτι δανείσας τὶς ἑτέρῳ νομίσματα νʹ ἔλαβεν ἐπὶ τούτοις καὶ ἐγγυητήν, εἶτα καὶ ἕτερα δανείσας αὐτῷ, καὶ κατὰ μέρος δανείζων καὶ ἀπολαμβάνων χρυσίον, τέλος ἀγνώμονος ἐπειράθη τοῦ χρεώστου. διὸ καὶ προσῆλθε τῷ μαγίστρῳ, καὶ ἀπορίας ἀναφανείσης τῷ χρεώστῃ ἐπειρᾶτο κατέχειν τὸν ἐγγυητήν. ὁ δὲ μάγιστρος ἐσημειώσατο οὕτως· τοῦ δὲ πράγματος ἠκριβωμένου διέγνωσται, ὡς ξʹ μὲν καὶ γʹ δεδάνεισται, καταβέβληται δ' ἐκ τούτων κζʹ, καὶ ἐπειρᾶτο ὁ δανειστὴς τὸν ἐγγυητὴν τὰ λςʹ ἀπαιτεῖν. ἀλλ' οὐκ ἔδοξεν εὐθὺς τοῦτο. ἐπὶ γὰρ μόνοις τοῖς νʹ νομίσμασιν ὁ ἐγγυητὴς ἔνοχος γέγονε,

---

[1] Basil. XXVI, 1, 71. [2] Cf. Suppl. edit. Basil. Heimb. p. 266. [3] An δοθῆναι?

καὶ εἰκότως ὅσα μετὰ τὴν ἐγγύην τῷ δανειστῇ παρεσχέθη, εἰς τὴν τῶν ν' νομισμάτων ὁμολογίαν ἐδέχθη. οὐκοῦν ὑπεξαιρεθέντων τῶν κζ' νομισμάτων ὁ ἐγγυητὴς εἰς κγ' νομίσματα καταδεδίκασται. ἕξει δὲ ἀγωγὴν ὁ δανειστὴς εὑρίσκειν περιουσίαν τοῦ πρωτοτύπου, κἀκεῖθεν ἱκανοῦσθαι τὰ ιγ' νομίσματα.

ΤΙΤΛΟΣ ξϛ'.

Περὶ[1] φόνου, καὶ τίς ὀφείλει ἐγγράφεσθαι κινῶν τὸν φόνον, καὶ οτι ἡ γυνὴ μὴ ἐγγραφομένη κινεῖ, καὶ ὅτι ἡ διάταξις[2] τοῦ ἀνδρός ἐστι, καὶ περὶ συκοφαντίας.

[α'.] Ἀμφίβολον ἐνέπεσε γυναικὸς κινούσης περὶ φόνου τοῦ ἰδίου ἀνδρὸς, καὶ ὁ ἐπὶ τοῦ κανικλείου καὶ ὁ πρωτοσπαθάριος μαλακηνὸς μὴ δύνασθαι ταύτην ὅλως κινεῖν περὶ φόνου τοῦ ἰδίου ἀνδρὸς ἔλεγον, ὁ δὲ κοιαίστωρ καὶ ὁ[3] πρωτοσπαθάριος σέργιος κινεῖν μὲν αὐτὴν ἔλεγον, μετ' ἐγγραφῆς δὲ, ὁ βέστης δὲ καὶ μὴ ἐγγράφεσθαι ταύτην ἀλλὰ καὶ χωρὶς ἐγγραφῆς κινεῖν ἀποφαίνεται. τοιαύτης οὔσης ἀμφιβολίας ἐπετράπησαν μὲν ἀμφότεροι σημειώσασθαι, καὶ ὁ μὲν μαλακηνὸς οὐδόλως κεκίνηκε τὴν χεῖρα, ὁ δὲ κοιαίστωρ εἰ καὶ κεκίνηκεν, ἀλλ' ἀδρανῶς καὶ ὡς ἀπὸ νάρκης καὶ τοῖς ἑτέρου κέλεσι φέρουσαν ὄνειδος. ὁ δὲ βέστης ἐποιήσατο μελέτην, οἵαν, ὦ θεὲ μεγάλε, οὐδέποτέ τις ὡς οἶμαι συνεγράψατο· ὑπέγραψάν τε ἐν ταύτῃ πάντες οἱ κριταὶ, εὐχαριστήσαντες ὅτι εἰς φῶς προήχθη, ἃ καὶ τοῖς παλαιοῖς καὶ τοῖς νῦν ἐλάνθανον καλῶς τοῖς νόμοις περιειλημμένα. ἡρμήνευσε δὲ καὶ τέθεικε νόμιμα, ἃ κἀνταῦθα ὡς ἐν ἐπιτομῇ παρεξεβλήθη[4].

[β'.] Ἡρμήνευσε γὰρ νόμον κείμενον βι. ξ' τί. λδ'[5] λέγοντα· „Γυνὴ κεφαλικὸν ἔγκλημα οὐ κινεῖ, πλὴν ἐπὶ ἀναιρέσει γονέων καὶ παίδων ἢ πατρώνων ἢ τέκνων αὐτῶν ἢ ἐγγόνων καὶ τῶν λοιπῶν, καθ' ὧν ἄκουσα μαρτυρεῖν οὐκ ἀναγκάζεται.“ τοῦτον γὰρ τὸν νόμον προβαλλόμενοι ὅ τε κοιαίστωρ καὶ ὁ ἐπὶ τοῦ κανικλείου, ὁ μὲν ἔλεγεν, ὅτι ἰδοὺ ὁ νόμος οὐ θεσπίζει τὴν γυναῖκα τὸν τοῦ ἀνδρὸς ἐκδικεῖν φόνον, ὥστε δεῖ

---

[1] In Indice simpliciter inscribitur π. φόνων. [2] Haec non satis intelligo. [3] Verba καὶ ὁ fortasse corrupta sunt: certe non significantur diversae personae, ut ex sequentibus apparet. [4] Cf. mox c. 2-21, quae omnia ex hac μελέτῃ desumta sunt. Alia ex eadem habent tit. XXX, XLVIII et LXII. [5] Basil. LX, 34, I'. 2.

αὐτὴν ἐγγράψασθαι πρότερον καὶ οὕτω κινῆσαι καὶ συκοφαντίας ἁλῶναι ἀτονοῦσαν· ἀλλοτρία γὰρ ἡ γυνὴ τοῦ ἀνδρός. ὁ δὲ ἐπὶ κανικλείου οὐδόλως αὐτὴν παραδεχόμενος καλῶς ποιεῖν ἔλεγε διὰ τὸ τὸν νόμον περὶ τῆς γυναικὸς διαλαμβάνειν. ὁ μέντοι βέστης ἀμφότερα συλλογισάμενος ἔλεγεν, ὅτι τὸ παραλελειμμένον περιεργάσασθε· τὸ δὲ περιφανῶς εἰρημένον παρήλθετε. ἀποφαίνεται γὰρ οὗτος ὁ νόμος γυναῖκα ἐγκληματικὸν δικαστηρίον μὴ κινεῖν, πλὴν εἰ μὴ ἐπὶ ῥητῶν προσώπων· καὶ πόθεν τοῦ ἀνδρὸς μὴ συγκατειλημμένου τοῖς ῥητοῖς προσώποις ἐγγράψασθαι τὴν γυναῖκα καὶ οὕτω τὴν δίκην γυμνάσαι ἀπεφήνασθε; χρῆναι γὰρ ὑμᾶς δυοῖν θάτερον εἰπεῖν· ἢ μὴ ἐγγράψασθαι τὴν κινοῦσαν, ὅτιπερ ἐστὶν ἀμεμφὲς, ἢ τὴν δίκην ταύτην τέλεον ἀποπεφράχθαι, ὅπερ ἀκόλουθον μὲν ὥσπερ ἐπ᾽ ἀντιστροφῆς, ἐκφέρει δὲ τὴν ἔνστασιν εἰς τὸ ἀτοπώτατον. ἀλλ᾽ ἐκ τούτων δυσὶν ἀνεχέθητε παρανομήμασιν· ἑνὶ μὲν τῷ μὴ συγχωρεῖν ὑπὲρ ἀνδρὸς λέγειν τὴν γυναῖκα ἀναγκαζομένην ὑπὸ τοῦ νόμου πενθεῖν, ἑτέρῳ δὲ ὅτι καὶ γυναῖκα εἰσάγετε ἐναντίως τοῖς νόμοις ἀλλότρια κινεῖν ἐγκλήματα· εἰ καὶ ἕτερος ὑμῶν γνοὺς τὴν περιτροπὴν μηδὲ γραφομένην ἔφη δέχεσθαι τὴν γυναῖκα. ἡμεῖς δὲ οὐκ ἄλλως τὸν ἀνεγνωσμένον νόμον παρέλθομεν, πρὶν ἢ φανερὸν καταστήσομεν, ὅτι ὁ αὐτὸς ἐθέλει τὸν τοῦ ἀνδρὸς φόνον ἐκδικεῖν τὴν γυναῖκα. παρεώραται, φατὲ, ἐν τῷ ῥητῷ γυνὴ καὶ ἀνὴρ, καὶ πῶς κινήσει τὶς τούτων ὑπὲρ θατέρου; ἀλλ᾽ εἰ διὰ τὸ παραλελειμμένον ἐλαύνετε τὴν γυναῖκα τῆς δίκης, ἐξελάσετε καὶ τὴν μάμμην τῆς τῶν ἐγγόνων ἐκδικήσεως; οὐδὲ τούτων γὰρ ὁ νόμος ἐμνήσθη, ὥσπερ τοὺς τῶν πατρώνων ἐγγόνους εἴρηκεν. ἀλλὰ τὰ παραλελειμμένα τοῦ νόμου ἢ ἐκ τῆς διανοίας τοῦ νομοθέτου ἢ ἐξ ἄλλων νόμων δεῖ ἀναπληροῦν. ὁ μὲν οὖν νόμος δίδωσι γυναικὶ ἔγκλημα γυμνάζειν καὶ ὑπὲρ τῶν λοιπῶν, καθ᾽ ὧν ἄκουσα μαρτυρεῖν οὐκ ἀναγκάζεται. οἱ δὲ ἀντιλέγοντες, καὶ τί τοῦτο; φασίν· ἡ γυνὴ καὶ ἄκουσα νέμει μαρτύριον κατὰ τοῦ ἀνδρὸς ἐν τῷ περὶ καθοσιώσεως δικαστηρίῳ. ἀλλ᾽ οὐ τοῦτο φησὶν ὁ νόμος· ἐπεὶ εἰ τοῦτο δώσομεν, καὶ ὁ υἱὸς καὶ ὁ δοῦλος εἴργεται τὴν τοῦ πατρὸς καὶ δεσπότου ἐκδικεῖν σφαγὴν, καὶ οὗτοι γὰρ ἀναγκάζονται μαρτυρεῖν περὶ καθοσιώσεως κατὰ τοῦ πατρὸς καὶ τοῦ δεσπότου. ἵνα[1] γὰρ μὴ ἐξῇ τῇ γυναικὶ καὶ τοῖς λοιποῖς τοῦ ἀνδρὸς ὑπεξουσίοις λέγειν, ὅτι δεδιότες τὴν ἐξουσίαν τοῦ τῆς φαμηλίας πατρὸς

---

[1] Idem locus supra in tit. XXX c. 5 relatus reperitur.

ἐσιώπων, ἐδίδαξεν αὐτοὺς ὁ νόμους ὅτι πρὸς τὸ τοῦ βασιλέως κράτος οὐδέν ἐστιν ὁ τῆς φαμηλίας πατὴρ, ἀλλὰ καὶ οἱ ὑπεξούσιοι τούτου συνυπεξούσιοι εἰσὶ τούτῳ· δοῦλος δὲ τὴν τοῦ συνδούλου κατὰ τοῦ δεσπότου ἐπιβουλὴν καὶ ὑπεξούσιος τὴν τοῦ [συν]υπεξουσίου ἐπαινετῶς καταμηνύει· ὁ γὰρ συνειδὼς ἐν τῷ κατασιωπῆσαι τὴν πρᾶξιν συγκατακρίνεται. οὐκοῦν διὰ τὸ γυναικὶ καὶ υἱοῖς καὶ δούλοις ἐπιτετράφθαι ἀνδρὸς καὶ δεσπότου καὶ πατρὸς[1] *κατηγορεῖν ὑπὲρ αὐτοκράτορος, κωλύειν χρὴ τούτους ὑπὲρ ἀνδρὸς καὶ πατρὸς καὶ δεσπότου ἀγωνίζεσθαι, ἀλλ᾽ ἐκεῖνο σκοπεῖν, ὡς εἰ δούλῳ τῆς ἀναιρέσεως ἕνεκε τοῦ δεσπότου κινεῖν ἐφεῖται, πολλῷ μᾶλλον τῇ γυναικί· οὐ*[2] *γὰρ ἄκουσα τούτου καταμαρτυρεῖ, τὸ δ᾽ ἀληθὲς οὐδ᾽ ἑκοῦσα εὐσχημόνως τοῦτο τελεῖ. εἰ γάρ τις τρυφῶν καὶ ἐκδεδιῃτημένος καὶ νεάζων καὶ τὴν ὄψιν οὐκ ἀγενὴς παρέλθῃ κινῶν δίκην κατά τινος, εἶτα τὴν ἐκείνου καλέσει γυναῖκα πρὸς μαρτυρίαν, ἡ δ᾽ ἀναίδην εἰς τὸ μέσον φοιτήσασα ὑπὲρ τοῦ ξένου κατηγορεῖ τοῦ ἀνδρὸς, τίς αὐτὴν ἐξελεῖται μεγάλης μέμψεως, καὶ λογίσαιτο ἂν τὰ πρὸς τὸν ξένον αὐτῇ ἀναμάρτητα*[3]*, ἢ πῶς τοῦ λοιποῦ συμβιώσεται αὐτῇ τὸ ἔνδον ὁ ἀνήρ; καὶ οὐ καινὴ τοῦτο πρόφασις διαζυγίου ἀναφυήσεται παρὰ τὰς διηγορευμένας τῷ νόμῳ; ὑπὲρ πατρώνων φησὶν ὁ νόμος καὶ παίδων καὶ ἐγγόνων αὐτῶν δεῖν ἔγκλημα κινεῖν τὴν γυναῖκα, καὶ*[4] *ἡ ἀπελευθέρα τὸν φόνον ἐκδικεῖ τοῦ πάτρωνος, ὅτι μηδὲ καταμαρτυρεῖ τούτου, εἴτε ὑπόκειται ἀχαριστίας κολάσει εἴτε καὶ μὴ, ἀλλὰ μόνην τιμὴν χρεωστεῖ· καὶ αἱ ποινάλιαι*[5] *γὰρ οἷς ἐφεῖται κινεῖν ἐπιβάλλονται οὐχ οἷς ἔξεστι, καὶ οἱ μὴ ἐπιβεβλημμένοι δέει τιμᾶν ὀφείλουσι τοὺς πάτρωνας. εἰ οὖν ὁ πάτρων γήμῃ τὴν ἀπελευθέραν, εἰς τιμιωτέραν τάξιν ἀναβιβάσει ταύτην ἢ ἀτιμωτέραν πάντως; εἰ οὖν ὁ γήμας τὴν ἀπελευθέραν σφαγῇ, ἀποστερήσει τὶς τὴν γαμετὴν αὐτοῦ τιμιωτέραν γεγενημένην κινεῖν περὶ τοῦ φόνου τοῦ ἀνδρὸς καὶ πάτρωνος; καὶ εἰ μὲν ἥττονος ἦν τύχης τουτέστιν ἀπελευθέρας ἠδύνατο κινεῖν, ὅτε δὲ εἰς τιμιωτέραν προέβη τάξιν καὶ γαμετὴ ἀντὶ ἀπελευθέρας ἐκλήθη, τότε κωλυθήσεται κινεῖν τὸν φόνον τοῦ ἰδίου ἀνδρός; εἰ οὖν τοῦτο δώσομεν, συμβαίνει δογματίζεσθαι τὸ τιμιώτερον ἀτιμώτερον· οὕτω μὲν οὖν ἐκ τῆς ἐννοίας τοῦ νόμου καὶ τῶν ῥημάτων αὐτοῦ δέδεικται σαφῶς, ὅτι καὶ γυναικὶ ἐπιτέτραπται τὸν τοῦ ἀνδρὸς πολυπραγμονεῖν φόνον, διότι μηδὲ ἄκουσα τούτου καταμαρτυρεῖ.*

[1] Sic Codex. Rectius: *πατρὸς καὶ δεσπότου*. [2] Cf. supra tit. XXX c. 6. [3] Cod. *οὐκ ἂν ἁμάρτ.* [4] Cf. tit. XXX c. 10. [5] Lege *ποιναί*.

[γ΄.] Ὅτι ἀνὴρ καὶ γυνὴ ἴδιοι ἀλλήλων εἰσί. συναπτόμενοι[1] γὰρ ἀνὴρ καὶ γυνὴ ἅμα τῷ γάμῳ τὴν ἀγχιστείαν συνιστῶσιν ἀλλήλοις, καὶ προστίθεται τῷ ἀδελφῷ τοῦ ἀνδρὸς ἡ νύμφη καὶ τῇ ἀδελφῇ τῆς γυναικὸς ὁ γαμβρός. ἔπειτα γεννωμένων παιδίων οἱ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς [ἀδελφοὶ] θεῖοι τῶν τικτομένων λέγονται, κἀντεῦθεν γένος νόμιμον ἀρχὴν λαμβάνει τὸ ἐξ ἀῤῥενογονίας καὶ θηλυγονίας μίαν νεωτέροις χρόνοις ἀπενεγκάμενον δύναμιν εἰς διαδοχήν. ὧν τοίνυν τὰ σπέρματα τῆς νομίμης ἀρχὴ γίνονται συγγενείας, οὐκ ἂν ἔγωγε τούτους μηδὲν εἶναι πρὸς ἀλλήλους εἰπεῖν προαχθείην. ἐρυθριῶ γὰρ τὸν νόμον διδάσκοντά με μὴ ἄλλως τῶν ἐκ πλαγίου συγγενῶν τοὺς βαθμοὺς μετρεῖν, πρὶν ἢ ἐπιστῶ τῷ αἰτίῳ[2] τῆς γεννήσεως, κἀκ τούτου πρὸς ἑαυτὸν τοὺς ἀποδιεστῶτας ἑνώσω κλάδους ὥσπερ διὰ μιᾶς ῥίζης. πῶς δ᾽ ἂν τὸν ἄνδρα μὲν καὶ τὴν γυναῖκα [οἰκειώσω] τοῖς ἐκείνων συγγενέσιν, ἀποδιαστήσω δὲ τούτους ἀλλήλων;

[δ΄.] Ὅτι οὐκ ἐξ αἱμάτων μόνον ἡ συγγένεια, ἥτις καὶ φυσικὴ λέγεται, ἀλλὰ καὶ ἡ νόμῳ δογματισθεῖσα, ὡς ἐπὶ τῆς θέσεως, συγγένεια κέκληται, καὶ ὁ ἀνὴρ τῆς γυναικὸς συγγενὴς μὲν ἐστὶν, οὐ μέντοι ὡς φυσικὴν ἔχων συγγένειαν τὴν ἐξ αἵματος, ἀλλ᾽ ὡς τὴν νόμῳ συνισταμένην συγγένειαν φέρουσαν[3].

[ε΄.] Ὅτι οὐ ξένη τοῦ ἀνδρὸς ἡ γυνὴ, ἥτις διὰ τὴν πρὸς τὸν ἄνδρα συνάφειαν καὶ τῶν ἐκείνου συγγενῶν συγγενὴς κεκανόνισται. καὶ ὅτι παρὰ γνώμην οὐ καθέλκεται εἰς μαρτύριον κατὰ τῶν οἰκείων τοῦ ἀνδρὸς, καὶ πῶς τὸν παρασχόντα ταύτῃ τὴν πρὸς ἐκείνους αἰδῶ καὶ οἰκείωσιν οὐκ οἰκεῖον οὐδὲ αἰδοῖον ἐξηγήσεται; ἢ πῶς τὸν μὲν ἀνδραδέλφου θάνατον καὶ τῶν ἄλλων αὐτῆς ἀγχιστῶν πάρεστιν αὐτῇ ζητεῖν, ἐπεὶ μηδὲ καταμαρτυρεῖ τούτων μὴ βουλομένη, τὸν δὲ τοῦ ἀνδρὸς κατὰ νόμον πενθοῦσα οὐ δύναται ἐκδικεῖν καὶ ἀνακλαίεσθαι;

[ϛ΄.] Ὅτι[4] τῆς ἀγχιστείας γενάρχαι τυγχάνουσιν οἱ συναφθέντες πρὸς γάμον. τὸ δὲ γεννῆσαν οἰκειότητα οὐκ ἄν ποτε πρὸς ἑαυτῷ ἀνοικείως σχοίη ἢ ἀνοίκειον ὀνομασθείη. ἐπεὶ δὲ τοῖς νόμοις[5] ἐστὶν, ὅτι μία μὲν ἐστὶν ἡ συγγένεια φυσικὴ, ἑτέρα δὲ ἡ λεγιτίμα τὴν θέσιν εἰσάγουσα, τὴν ἐκ τῶν δύο τούτων, φύσεώς τε καὶ νόμου, συνισταμένην συγγένειαν λεγιτίμαν τίποτ᾽

---

[1] Idem jam supra tit. LXII c. 2. [2] Cod. μετρίῳ. [3] Hoc corruptum est. Legendum φέρων, vel φέρουσιν, sc. ὁ ἀνὴρ καὶ ἡ γυνή. [4] Cf. tit. LXII c. 2. [5] In marg. λεί (h. e. λείπει). Scil. verbum ἐγνωσμένον deest.

ἂν ὀνομάσειέ τις ἢ οὐδὲν, καὶ τί τοσοῦτον αὐτὸν ἠδίκηκεν ὁ τοῦ πατρὸς αὐτοῦ γάμος;

[ζ′.] Βι. κη′ τί. ε′[1]· „Ἀγχιστεία ἐστὶν οἰκειότης προσώπων ἡμῖν συνημμένων συγγενείας ἐκτός. οἷον οὐ δύναμαι λαμβάνειν τὴν ἐμὴν προγόνην ἢ νύμφην. οὐδὲ τὴν πενθεράν μου οὐδὲ τὴν μητρυάν μου, ἐπειδὴ μητέρων τάξιν ἔχουσι.“ παρατηρητέον τό· „μητέρων τάξιν ἐπέχουσιν,“ καὶ μὴ ὥσπερ ἐκ συνεκδρομῆς διαφύγῃ σὲ ὁ τοῦ νόμου σκοπὸς, ὥς φησι βι. ξ′ τί. λδ′ κεφ. λδ′.

[η′.] Ὅτι „δύναται“ φησὶν ὁ νόμος ἐν βι. ξ′ τί. λδ′ κεφ. κϛ′· „καὶ γυνὴ δημόσιον ἔγκλημα κινεῖν, ἐὰν ἰδίαν ἀδικίαν ἐκδικεῖ.“ τὸ δὲ ἰδίαν ἀδικίαν καὶ ἐπὶ τῶν συγγενῶν καὶ ἰδίων τῆς γυναικὸς τέτακται. καὶ ὁ Θαλέλαιος ἐν τῇ παραγραφῇ ὅτι „γυνὴ νοεῖται ἰδίαν ἀδικίαν ἐκδικεῖν, εἰ καὶ τὸν θάνατον τοῦ ἰδίου ἀνεψιοῦ βούλεται ἐκδικῆσαι.“ οὐκοῦν ἐφ᾽ ὧν συγκεχώρηται κινεῖν, ἰδίαν αἰτίαν γυμνάζειν λέγεται καὶ ὑπὲρ ἀνεψιοῦ πολλάκις[2] καὶ ἀδελφοῦ.

[θ′.] Βι. ξ′ τί. α′[3]. Ὅτι φησὶν ὁ νόμος· „οὔτε ἡ μήτηρ διεκδικοῦσα τὸν φόνον τοῦ ἰδίου παιδὸς οὔτε ὁ κληρονόμος προσταχθεὶς παρὰ τοῦ διαθεμένου [ἐκδικῆσαι] τὸν αὐτοῦ θάνατον καὶ ἀποτυχόντες, ὑποκείσονται τῇ περὶ συκοφαντίας ἀλλὰ συγγνωσθήσονται ἀμφότεροι.“ καὶ ὁ Θαλέλαιος[4] διὰ τῆς παραγραφῆς σημαίνει ὅτι „ἐν πᾶσι τοῖς ἐγκλήμασιν ἀπήλλακται πάσης συκοφαντίας ἡ μήτηρ, ἆρα οὖν [εἰ καί τις] ἦν τῶν μὴ ἐξωτερικῶν πολλῷ πλέον ἔχει τὸ προνόμιον τοῦτο.“

[ι′.] Βι. ξ′ τί. λδ′ κεφ. η′[5]. Ὅτι φησὶν ὁ νόμος· „χωρὶς τῶν κεκωλυμένων οἱ ἄλλοι δύνανται κινεῖν τὰ δημόσια. κωλύονται δέ τινες διὰ φύσιν ἢ ἡλικίαν, ὡς γυνὴ καὶ ἄνηβος· ἄλλοι ὡς ἐνόπλως στρατευόμενοι, ἢ ὡς αἰσχροκερδεῖς καὶ λαβόντες ἐπὶ τῷ κατηγορῆσαι, καὶ οἱ δύο κατηγορίας καθ᾽ ἑτέρων ἐγγραψάμενοι· ἄλλοι δι᾽ ὑποψίαν συκοφαντίας, ὡς οἱ ψευδομάρτυρες· ἄλλοι διὰ πενίαν ὡς μὴ ἔχοντες ν′ νομισμάτων περιουσίαν. οὗτοι δὲ πάντες ἐγκλήματα ἴδια καὶ φόνον τῶν συγγενῶν ἐκδικεῖν δύνανται.“ μὴ[6] λάθῃ σε ἡ γυνὴ ἐν τῷ ῥητῷ πρώτῃ κειμένη, καὶ γνῶθι, ὅτι ἴδια ἐγκλήματα καὶ φόνον συγγενῶν ἐκδικεῖν δύναται.

[1] Basil. XXVIII, 5, 1. [2] Cod. πολλῷ. Forte πολλῷ πλέον. [3] Basil. LX, 1, 29. [4] Cf. Basil. ed. Heimb. V p. 253. [5] Cap. 8—11. [6] Sequentia παραγραφὴν Thalelaei sapiunt inter scholia Basilicorum hodie non extantem.

[ια΄.] Ὅτι γυνὴ ἐγκληματίζειν οὐχ οἵα τε ἐστὶν εἰ μὴ ὑπὲρ συγγενῶν κἀκείνων καθ᾽ ὧν ἄκουσα οὐ[1] μαρτυρεῖ. καὶ ὅτι ταῖς τοιαύταις ἀγωγαῖς ἐγχειροῦσα οὔτε ἐγγραφαῖς οὔτε συκοφαντίαις ὑπόκειται.

[ιβ΄.] Ὅτι φησὶν ὁ νόμος[2]· „ἡ διάταξις βούλεται τὸν συκοφαντήσαντα ἐπὶ δημοσίῳ ἐγκλήματι καὶ ἀτιμοῦσθαι καὶ περιορίζεσθαι· μόνον μέντοι ἂν ἀλλοτρίαν κατηγορίαν ἐκίνησεν ὡς ἰδίαν ἢ ἰδίᾳ αἰτίᾳ.“ καὶ ἡ παραγραφή[3]· „μὴ νομίσῃς, ὅτι ὡς προκουράτωρ ἐκίνησεν, ἀλλ᾽ ὅτι ἀλλότριον ἔγκλημα ἠθέλησε κινῆσαι. οὐδὲ γὰρ οἱ ἰδίας ἀδικίας καλῶς κινοῦντες ὑπόκεινται.“ ὅρα καὶ τοῦτον τὸν νόμον σύμφωνον τῷ ἑτέρῳ[4]· ὁ μὲν γὰρ τῇ γυναικὶ καὶ τῷ συκοφάντῃ δίδωσιν ἴδια καὶ ἰδίων κινεῖν ἐγκλήματα, ὁ δὲ τὸν συκοφάντην συκοφαντήσασθαι ἀφίησιν, ἐὰν μὴ ἀλλοτρίαν ἀλλ᾽ ἰδίαν ἢ ἰδίᾳ αἰτίᾳ κατηγορίαν συνεστήσατο. οὐκοῦν ἀποδέδεικται διὰ πολλῶν, ὅτι γυνὴ ἴδιον ἢ ἰδίᾳ αἰτίᾳ ἔγκλημα κινοῦσα οὐκ ἐνέχεται ὡς συκοφάντης, καὶ διὰ τοῦτο οὐδὲ ἐγγράφεται· διὰ γὰρ τὴν συκοφαντίαν ἡ ἐγγραφή.

[ιγ΄.] Βι. ξ΄ τί. μβ΄ κεφ. κβ΄. Ὅτι γυνὴ καὶ ἄνηβος ἐξαιρεῖται[5] τῆς τοῦ συκοφάντου καταδίκης. φησὶ γάρ· „ὁ ἐπίτροπος ὀνόματι τοῦ ἀνήβου πλαστὴν ἢ οὐ καθήκουσαν εἰπὼν τὴν διαθήκην οὐκ ἐκπίπτει τῶν λεγατευθέντων αὐτῷ[6]. εἰ δὲ καὶ κεφαλικῶς ὀνόματι τοῦ ἀνήβου κατηγορῇ πατρῴου ἀπελευθέρου, εἰ καὶ ἐκπίπτει τῆς ἐναντιώσεως τῆς διαθήκης, ἀλλ᾽ οὐ τέως ὡς συκοφάντης[7] ἀτιμοῦται, ὃς οὐ δι᾽ ἔχθραν ἰδίαν ἐν προσχήματι τοῦ ἀνήβου ἐκίνησεν, ἀλλ᾽ ἴσως ἀναγκαζόμενος ὑπὸ τῆς μητρὸς τοῦ ἀνήβου καὶ τῶν ἐπελευθέρων αὐτοῦ.“ ἐκ τούτων συνελόντα χρὴ λέγειν, ὡς ἡ ἑτέρων ἐγκλήματι βοηθοῦσα πολλῷ μᾶλλον ἑαυτῇ βοηθήσει. ἐπὶ γὰρ τῶν τοιούτων καὶ οἱ ἐντειλάμενοι οὐκ ἀνεύθυνοί εἰσιν· „ὑποπίπτει[8] γὰρ τῷ νόμῳ καὶ ὁ ὑποβαλὼν ἢ ἐρεθίσας ἄλλον εἰς ἐγκληματικὴν κατηγορίαν, καὶ ὁ ἐντειλάμενος εἴτε δι᾽ ἑαυτοῦ εἴτε δι᾽ ἑτέρου· καὶ ὁ διακονήσας τῇ τοιαύτῃ ἐντολῇ· καὶ ὁ ὑποβληθείς, εἰ μὴ νικήσει τὴν κατηγορίαν, εἴτε συκοφάντης ἐδείχθη εἴτε ἀπέστη, καὶ οὗτοι ὑπόκεινται.“

[ιδ΄.] Ὅτι νεαρὰ ἐκπεφώνηται νομοθεσία[9] ἐκ παλαιῶν

---

[1] Cod. οὐκ ἑκοῦσα. [2] Basil. LX, 1, 35. [3] Cf. Basil. ed. Heimb. V p. 255. [4] Scil. Basil. LX, 34, 11, qui locus supra c. 10 excitatus est. [5] Cod. ἄλλους ἐξαιτεῖται. [6] Cod. αὐτῇ. [7] Cod. συκοφαντία. [8] Basil. LX, 1, 1 (ed. Heimb. V p. 239). [9] Intelligitur Nov. Constantini Porphyrogeniti, de qua cf. Mortreuil II p. 346.

νόμων τὰς ἀφορμὰς δεξαμένη, καὶ φησὶ κολάζεσθαι τὸν φονέα ποτὲ μὲν τῇ ἐκτίσει τοῦ τρίτου τῆς καθαρᾶς περιουσίας αὐτοῦ, ποτὲ δὲ τοῦ διμοίρου, καὶ τὸ μεθοδευόμενον δίδοσθαι τῇ γυναικὶ καὶ τοῖς παισὶ τοῦ θανόντος εἰς μικρὰν παραψυχὴν τῆς αὐτῶν δυσκληρίας· εἰ δὲ μὴ ὑπεῖεν παῖδες τοῖς ἀνιοῦσι καὶ τῇ γυναικὶ τοῦ ἀνῃρημένου κατ' ἴσον· εἴπερ δὲ μήτε γυνὴ μήτε παῖδες μήτε ἀνιόντες εἰσὶ, τοὺς ἄλλους ἐκ νόμου καλεῖσθαι συγγενεῖς πρὸς τὴν δήλωσιν μὴ ῥαθυμήσαντας.

[ιε΄.] Ὅτι φησὶν ὁ νόμος[1]· „μὴ ἐκδικῶν ὁ πάτρων τὸν ἀπελεύθερον ἐκπίπτει τοῦ ἁρμόζοντος αὐτῷ πατρωνικοῦ μέρους, ἐπειδὴ πάντας τοὺς κληρονόμους καὶ τοὺς ἐν τάξει κληρονόμων καθήκοντας εἶναι δεῖ περὶ τὴν ἐκδίκησιν τοῦ τελευτήσαντος.“ τίνες δὲ εἰσὶ κληρονόμοι καὶ τίνες ἐν τάξει κληρονόμων; οἵ τε ἐκ φυσικῆς συγγενείας καὶ οἱ ἐκ νόμων, οὓς καὶ ἐν τάξει κληρονόμων εἶπεν, ὡς οἱ πάτρωνες καὶ οἱ θετοὶ υἱοὶ καὶ οἱ διὰ γάμον συναπτόμενοι, οὓς πάντας ἢ καθήκοντας εἶναι δεῖ περὶ τὴν ἐκδίκησιν τῶν τελευτησάντων[2], ἢ μὴ προσδοκᾶν κέρδος ἐξῆν ἀλλὰ ζημίαν.

[ις΄.] Βι. ξ΄ τί. μβ΄[3]. Ὅτι „ὁ ἀνὴρ μὴ ἐκδικῶν τὸν φόνον τῆς γυναικὸς ἀφαιρεῖται τὴν προῖκα.“ εἴτε γὰρ ἐκ διαθήκης περιέρχεται ἡ προῖξ κέρδος αὐτῷ ἢ ἐξ ἀδιαθέτου, ὅτε καλεῖται πρὸς κληρονομίαν τῆς γυναικὸς, οὐκ ἀπολαύσει ταύτης μὴ ἐπαγρυπνῶν τῇ ἀμύνῃ τῆς βιαίως ἀποῤῥαγείσης τοῦ ζῆν κατὰ νόμον συγγενοῦς αὐτῷ γυναικός.

[ιζ΄.] Ὅτι εἰ περὶ ἀνδρὸς κληρονομοῦντος γυναικὸς οὕτω νομοθετεῖται, καὶ περὶ γυναικὸς δήπουθεν τὰ αὐτὰ λελέξεται εἰς τὴν συγγενικὴν διαδοχὴν καλουμένης.

[ιη΄.] Ὅτι ἡ περιορῶσα τὸν φόνον τοῦ ἰδίου ἀνδρὸς ἄπροικος γυνὴ, οὐ λήψεται τὸ κατὰ μέρος ἁρμόζον αὐτῇ μέρος.

[ιθ΄.] Ὅτι εἰ δαπανήσας ἔτυχεν ὁ ἀνὴρ τὴν προῖκα καὶ ἀνῃρέθη, καὶ ἡ γυνὴ μὴ εὐπορίας τυγχάνουσα κατειπεῖν βουληθῇ τοῦ φονέως, ἵνα τοῦτο μὲν καὶ τὸν ἄνδρα ἐκδικῇ τοῦτο δὲ καὶ ἑαυτῇ τὴν δυσκληρίαν ἰάσηται, τίς οὐ προσδέξαιτ' ἂν ταύτην λογισμοῖς δικαίοις ἑπόμενος, κἂν μὴ τοσοῦτοι νόμοι ὑπὲρ αὐτοῦ ἔκειντο;

[κ΄.] Ὅτι καὶ τὸν ἀκουΐλιον νόμον ὥσπερ ἀνὴρ τοῦτο δὴ καὶ γυνὴ κινεῖν ἐγκληματικῶς διὰ τὴν ἀναίρεσιν τοῦ οἰκέτου αὐτῆς οὐ κεκώλυται ἴδιον πρᾶγμα γυμνάζουσα. φησὶ γὰρ ὁ

---

[1] Basil. LX, 42, 21. [2] Cod. κληρονόμων. [3] Cap. 20.

νόμος[1]· „ὁ δεσπότης τοῦ ἀναιρεθέντος δύναται κινεῖν τὸν περὶ ἀνδροφόνων νόμον, καὶ οὐ προκρίνεται κινήσας τὸν ἀκουΐλιον.“ εἰ οὖν περὶ οἰκέτου γυνὴ κινεῖ, πῶς οὐ κινήσει περὶ ἀνδρός, οὗτινος ἰδία ἐστὶ καὶ λέγεται;

[κα΄.] Ὅτι διὰ τοῦτο ἐπὶ μέσου ἀνδρὸς καὶ γυναικὸς οὐ συνίσταται δωρεά, ὅτι ὁ νομοθετήσας ἐλογίσατο, ὅτι κοινὰ μᾶλλον δεῖ εἶναι γυναικὶ τὰ τοῦ ἀνδρὸς καὶ ἀνδρὶ τὰ [τῆς] γυναικός, ἡ δὲ δωρεὰ διορισμός ἐστιν ἰδίου καὶ ἀλλοτρίου· μανθάνει γὰρ ὁ λαβὼν διὰ τοῦ δοθέντος ἀλλότριον ἡγεῖσθαι τὸ μὴ δοθέν.

[κβ΄.] Ὅτι[2] ἐπὶ τῶν ἀπὸ μέθης συμβαινόντων φόνων [ἐπὶ] πενταετίαν ἐξορίαν ἔταξεν ἀδριανὸς ὁ βασιλεύς, τὴν δι᾽ αἵματος τιμωρίαν κωλύσας καὶ τὴν εἰς τὸ δίμοιρον δήμευσιν ἀποδεξάμενος, ἐξ ἀντιστροφῆς οἴνου[3] αὐτοῦ τοῦτο πράξαντος· οὐ γὰρ προϋπεῖναι ἔχθραν ἢ μῖσος, ἀλλὰ μᾶλλον τοῦ οἴνου ἔργον εἶναι τὸν φόνον. τὸν δὲ ἄνθρωπον τὸν ξενοδοχήσαντα καὶ παρασχόντα τὸν οἶνον τιμωρεῖσθαι ἐλαφρῶς, ὡς μὴ αὐτὸν πράξαντα τὸ ἐναντίον, ἀλλ᾽ ὡς ὑποδοχέα γενόμενον τοῦ κακοῦ.

[κγ΄.] Ὅτι φησὶν ὁ νόμος[4]· „οὐκ ἐφεῖται ἀδελφὸς κατὰ ἀδελφοῦ δημόσιον ἔγκλημα κινεῖν, ἐπεὶ ἐξορίας ποινῇ ὑποπίπτει.“

[κδ΄.] Ὅτι ἐφόνευσέ τις σκηπτοφόρον καὶ προσέφυγε τῇ ἐκκλησίᾳ. οἱ δὲ τοῦ φονευθέντος ἐκίνησαν παρὰ τῷ μαΐστωρι[5], καὶ ᾠκονόμησαν οἱ δικασταὶ κατ᾽ αὐτοῦ ἀπαλλαγῆναι τοῦτον ποινῆς προσφυγόντα τῷ ἱερῷ τεμένει· πλὴν ἔπεμψαν γραφὴν πρὸς τὸν τοῦ θέματος δικαστήν, ἵνα ἐξερευνήσῃ ἀκριβῶς τὴν ὑπόστασιν τοῦ φονέως καὶ τῶν συναραμένων αὐτῷ, καὶ πρῶτον μὲν ὑπεξέλῃ τὰς στρατείας, ἔπειτα καὶ τὰς προῖκας τῶν γυναικῶν καὶ τὸ ὑπόβολον καὶ θεώρετρον, καὶ τότε ἐκ τῆς περιττευούσης περιουσίας τοῦ φονέως τὸ μὲν δίμοιρον δῷ πρὸς τοὺς τοῦ ἀναιρεθέντος κληρονόμους, τὸ δὲ τρίτον ἐάσῃ εἶναι παρὰ τῷ φονεῖ· τῶν δὲ συναραμένων τῆς καθαρᾶς περιουσίας τὸ μὲν δίμοιρον ἀφήσῃ παρ᾽ αὐτοῖς εἶναι, τὸ δὲ τρίτον ἀποδῷ πρὸς τοὺς τοῦ ἀναιρεθέντος κληρονόμους· εἰπόντες[6] δέ, ὅτι οἰκονομωτέρῳ λόγῳ πεποιήκαμεν· οὐ γὰρ ὁ φονεὺς τῶν εὐπόρων ἦν οὐδὲ οἱ συναράμενοι· καὶ ὅτι εἰ μὴ συνήραντο οὗτοι, οὐκ ἂν ὁ φόνος ἀπετελέσθη.

---

[1] Basil. LX, 3, 23 th. 9. [2] Cf. Basil. ed. Heimb. V p. 764. [3] Cod. ἀνοῦ. [4] Basil. LX, 34, 35. [5] Cod. μαι with ϛρ above. [6] Scil. οἱ δικασταί.

[κε΄.] Ὅτι κἂν μὴ φονεύσῃ τὶς, ἀλλ' αἰτίαν παράσχῃ φόνου, εὐθύνεται[1], καὶ ὅτι ὁ φονεύων στρατιώτης ἐπὶ καθοσιώσει κρίνεται. ἐπὶ δὲ τοῦ κυροῦ ῥωμανοῦ τοῦ βασιλέως ἔστιν[2] ὁ σκευηνὰς μαγκλαβίτης ὢν εἰργάσατο φόνον, μὴ φονεύσας αὐτὸς, ἀλλ' οἱ ἄνθρωποι αὐτοῦ συμβουλῆς γενομένης παροίκου τινός. καὶ κινηθείσης τῆς δίκης οἱ μὲν ὄντες μετ' αὐτοῦ ἐτιμωρήθησαν σφοδρῶς, ὁ δὲ λεγόμενος φονεῦσαι προσφυγὼν τῇ ἐκκλησίᾳ τῶν σωματικῶν ἀπελύθη βασάνων. ὁ δὲ μαγκλαβίτης κατεδικάσθη, εἰ μὲν ἡ καθαρὰ περιουσία αὐτοῦ ὑπὲρ τὰς δέκα λίτρας εἴη μετὰ ὑπεξαίρεσιν τῆς στρατείας καὶ τῶν γαμικῶν βαρῶν καὶ τοῦ ὑποβόλου, δοῦναι πρὸς τὴν γυναῖκα τοῦ φονευθέντος καὶ τοὺς παῖδας δέκα λίτρας· εἰ δὲ οὐκ ἔχει τοσαύτης ποσότητος περιουσίαν, πρὸς τὴν οἰκονομίαν ἐλθεῖν. ἀλλ' ἐκείνου θανόντος συνεβιβάσθη ἡ γυνὴ τοῦ τελευτήσαντος.

[κϛ΄.] Ὅτι ὁ[3] κουράτωρ τοῦ δισακκᾶ ἐπῆλθε χρυσοτελῇ μετὰ λαοῦ, καὶ οὐκ ἐφόνευσε μέν τινα, πληγὰς δὲ ἐπέθηκε πολλοῖς, καὶ διαρπαγὴ γέγονε χρυσίου. καὶ προσφυγόντα ἐκεῖνον ἐν τῇ ἐκκλησίᾳ ὡρίσθη τὴν ἅπασαν αὐτοῦ περιουσίαν μὴ ὑποκειμένην στρατείᾳ δοῦναι πρὸς τὸν χρυσοτελῆ· τὴν δὲ γυναῖκα αὐτοῦ μόνην τὴν προῖκα ἀπολαβεῖν, μὴ μέντοι θεώρετρον ἢ ὑπόβολον, διὰ τὸ δημόσιον εἶναι τὸ ἀπολεσθὲν χρυσίον καὶ νικᾶν τὸν δημόσιον τὴν γυναῖκα· τὸ αὐτὸ δὲ ὑποστῆναι καὶ τοὺς συναραμένους αὐτῷ, εἴπερ οὐκ ἐξαρκῇ ἡ ἐκείνου περιουσία. ἠρώτησα· πῶς οὗτοι καὶ ἴσως εὐθυνθήσονται τῷ πρώτῳ αἰτίῳ γενομένῳ τῆς ἀπωλείας καὶ ἐπιθέτῃ; καὶ εἶπεν ὁ μάγιστρος, ὅτι δημόσιον ἐστὶ τὸ χρῆμα, καὶ ἕως οὗ πληρωθῇ νικᾷ πάντας καὶ γυναῖκας· καὶ εἰ μὲν ἔστι περιουσία ἐκ τοῦ πρώτου γενέσθαι τὸ ἱκανὸν, οὐκ εὐθύνονται οὗτοι εἰ[4] μὴ εἰς σωματικὰς ποινὰς διὰ σωφρονισμὸν, ἐὰν δὲ ἀπορία πρόσεστιν ἐκείνῳ, οὗτοι τὸ πᾶν ἀποδώσουσιν.

[κζ΄.] Ὅτι ἐκίνει γυνὴ περὶ φόνου καὶ εὑρέθη οὕτως. κουράτωρ τῆς ἁγίας σοφίας ἐπῆλθέ τινι, ἵνα καταλύσῃ τὴν οἰκίαν αὐτοῦ καὶ ἐκδιώξῃ αὐτὸν ὡς στρατιώτην ἀπὸ τοῦ ἐκκλησιαστικοῦ κτήματος. τῆς δὲ ἐπελεύσεως γενομένης μετὰ πολιτῶν καὶ διωκόμενος ἐκεῖνος ἔπληξεν ἕνα τῶν δούλων τοῦ

---

[1] Basil. LX, 39, 11. [2] Hoc corruptum est. Fortasse praenomen aliquod in eo latet. [3] Cod. post *τελευτήσαντος* uno tenore pergit *ὁ δὲ κουράτωρ*. [4] Cod. *καὶ*.

κουράτωρος οὐ καιρίως· εἶτα ἴσχυσαν οἱ δύο δοῦλοι τοῦτον καταβιβάσαι ἀπὸ τοῦ οἰκήματος, καὶ φεύγοντα αὐτὸν ἐφ' ἵππον οἱ μὲν ἐδίωκον, ὁ δὲ κουράτωρ ἑπόμενος παρεκελεύετο τοῖς δούλοις λέγων· „παιδία ἂς ἀποθάνῃ"[1]· καὶ ὁ διωκόμενος εὑρὼν θριγκὸν καὶ ἑαυτὸν ἐν αὐτῷ ἀπὸ τοῦ ἵππου ῥίψας καὶ καταληφθεὶς ὑπὸ τῶν δούλων ἀνῃρέθη σπάθαις. οὕτως ἔχοντος τοῦ πράγματος, καὶ διὰ μαρτύρων συσταθέντος [ὅτι] ὁ κουράτωρ ἀκολουθῶν διήγειρε πρὸς φόνον τοὺς δούλους, καὶ αὐτοῦ δὲ τοῦ φονέως ὁμολογήσαντος τὸν φόνον, ὁ μὲν εἷς δοῦλος θελήσει τῆς γυναικὸς ἐδόθη εἰς δουλείαν· ὁ γὰρ ἕτερος τότε μὲν ἀπέδρα, ὕστερον δὲ προσφυγὼν τῇ ἐκκλησίᾳ ἐπράθη, καὶ ἡ τιμὴ τούτου ἐδόθη τῇ γυναικί· ὁ μέντοι κουράτωρ κατεδικάσθη καὶ ἀπὸ μόνου τοῦ ἐγκελεύεσθαι καὶ ἐκκλεισθῆναι. καὶ ὁ μάγιστρος κεφαλικῶς μὲν τοῦτον τιμωρηθῆναι οὐκ εὐδόκησεν, ἀλλ' ὑπομνήσας τὸν βασιλέα εἶχε τοῦτον ἐν φυλακῇ, καὶ ὁ βασιλεὺς ἀπεφήνατο εἰς μέταλλον τοῦτον πεμφθῆναι. πλὴν κατεχομένου τούτου ἐν τῇ φυλακῇ ἡ γυνὴ τοῦ ἀναιρεθέντος μετὰ καὶ τῶν παίδων προσῆλθεν αἰτουμένη λαβεῖν ἀπὸ τοῦ καταδικασθέντος χρυσίον καὶ διαλυθῆναι, καὶ ὑπέμνησεν ὁ μάγιστρος καὶ προσέταξε τούτῳ ὁ βασιλεὺς εἰπών· ἐὰν ἔχῃ τοῦτο ὁ νόμος, γενέσθω. καὶ ὁ μάγιστρος ὥρισε, καὶ ἐγένετο ἡ συμβίβασις, καὶ ἐδόθησαν δύο λίτραι, καὶ αὐτίκα προσέταξε καὶ προεχώρησε τὸ χρυσίον εἰς ἀγορασίαν ὀφφικίων τοῦ παιδὸς, ἵνα μὴ ὕστερον κινῇ τυχὸν περὶ τῆς διαλύσεως.

[κη'.] Ὅτι[2] ἐκίνησάν τινες περὶ φόνου κατὰ τοῦ υἱοῦ τοῦ κυροῦ βαασακίου, καὶ ἐδείχθη ὁ φόνος ὅτι γέγονε παρὰ δούλου ἀγνοοῦντος τοῦ μαγκλαβίτου. καὶ ἔκρινεν ὁ μάγιστρος δοθῆναι τὸν δοῦλον τὸν φονέα τῷ γαμβρῷ τοῦ ἀνῃρημένου καὶ τοῖς υἱοῖς ἤγουν τοῖς ἀνεψιοῖς τοῦ πεφονευμένου. εἰ γὰρ καὶ ἀδελφὸς ὑπῆν τῷ τελευτήσαντι, ἀλλ' ἀνάξιος οὗτος ἐκλήθη τῆς ἐκείνου κληρονομίας, ὡς τῷ μέρει τῶν ἀντιδίκων συμπνέων καὶ συμπαίων.

---

[1] Lingua vulgaris. [2] Cf. tit. XVII c. 22, tit. XXVIII c. 6, tit. XLII c. 17.

Τ Ι Τ Λ Ο Σ ξζ'.

Περὶ ῥηγνυμένης διαθήκης καὶ ἀμνημονεύτων νέων[1].

[α'.] Ἔχων τὶς υἱὸν ἔγραψε διαθήκην ὀνομάσας τὸν υἱὸν κληρονόμον. τοῦ υἱοῦ τελευτήσαντος τὴν διαθήκην ἐκεῖνος οὐκ ἤμειψεν, ἀλλ' ἐγκυμονούσης τῆς γυναικὸς αὐτοῦ ἐτελεύτησε καὶ αὐτὸς ἐπὶ τῇ πρώτῃ διαθήκῃ. ἦν οὖν ἀμφιβολία περὶ τῆς διαθήκης, εἰ νόμιμόν ἐστι ῥηχθῆναι αὐτὴν ὡς ἀμνημονεύτου καταλειφθέντος τοῦ υἱοῦ. ἔδοξε ῥηχθῆναι τὴν διαθήκην κατὰ τὰς ἐνστάσεις. τὰ μέντοι λεγάτα καὶ τὰ φιδεϊκόμισσα καὶ αἱ ἐλευθερίαι εἰσὶν ἐῤῥωμέναι. προσγεγραμμένον οὖν ἐστὶν ἔξωθεν σχόλιον εἰς τό· „ῥήγνυται κατὰ τὰς ἐνστάσεις“ καὶ ἐστὶ τοῦτο σχόλιον ἀπὸ τῶν δὲ ἰουδικίις. ῥητῶς δὲ ὁ νόμος περὶ τῶν ψυχῶν οὔ φησιν ὅτι σώζονται ἢ ὅτι ἀκυροῦνται, ἀλλ' ἢ ὅτι καὶ ἄλλα τὰ τοῖς νόμοις ἐγνωσμένα περὶ τῶν ψυχῶν εἴρηται. ἐπὶ γὰρ τὸ παλαιὸν ἔθος ἦν τοῖς τελευτῶσι καταλιμπάνειν χρήματα, ἵνα τὸ τῆς Θεσσαλονίκης τυχὸν ἱπποδρόμιον γένηται ἢ ἵνα κτισθῇ λουτρὸν ἢ τῷ δήμῳ τέρψις τὶς γένηται· τοῦ δὲ χριστιανισμοῦ ἐλθόντος ταῦτα πάντα ἀνῄρηνται, καὶ ἡ τῆς ψυχῆς ἐπιμέλεια πλείονα τῶν σωμάτων ἔσχε χώραν. ὅθεν[2] θέλων ὁ ἰουστινιανὸς ἐν τῇ ἀνακαθάρσει τῶν νόμων φυλάξαι τὴν σημασίαν τῶν ῥημάτων, ὅτι πολλάκις οἱ χρόνοι ἔθη τινὰ ἀλλάσσουσι καὶ ἄλλα ἐπικρατέστερα ποιοῦσιν, εἶπε τὰ τοῖς νόμοις διεγνωσμένα, δηλῶν[3] τὰ ψυχικά.

[β'.] Ὅτι ἔχων τὶς ἓξ παῖδας τοὺς μὲν δύο ἀμνημοσύνῃ καθύβρισε, τοὺς δὲ δύο κληρονόμους κατέστησε τῆς ἀκινήτου οὐσίας, τοὺς δὲ ἑτέρους δύο ἀνὰ λιτρῶν ιβ' ἐν αὐτοκινήτοις καὶ κινητοῖς λαβεῖν διαταξάμενος ἔθανεν. ἐτελεύτησε δὲ τούτου ἡ σύζυγος κληρονόμους ἐνστησαμένη τῆς ἁπάσης οὐσίας, οὓς ὁ πατὴρ τῆς ἀκινήτου οὐσίας ἔλιπε, τοὺς δὲ ἀμνημονεύτους δύο ἀνὰ δύο λιτρῶν λαμβάνειν ἐνετείλατο, καὶ τοὺς ἑτέρους δύο τοὺς ἀνὰ ιβ' λιτρῶν λαβεῖν ὁρισθέντας ἐκ τῆς κινητῆς καὶ ἀκινήτου περιουσίας τοῖς ἐπιτρόποις ὥρισε διοικῆσαι ὡς βούλονται, ἐπαγαγοῦσα μὴ ἐξεῖναι τοῖς παισὶ κληροδοσίαν ἐπιζητεῖν κατὰ τῆς τοῦ πατρὸς διατάξεως. εἶτα οἱ φιλοτιμηθέντες ἐκ τοῦ πατρὸς λαβεῖν ἀνὰ λιτρῶν ιβ' ἐκίνησαν ἀθετοῦντες τὴν διαθήκην τῆς μητρὸς καὶ τὴν πατρικὴν διάταξιν· ἐπεζήτησαν

---

[1] Index: *υἱῶν*, quod praestat. [2] Cod. *ῥώῥ..* [3] Cod. *δηλοῦν*.

ὁμοίως καὶ οἱ παρὰ τοῦ πατρὸς καταλειφθέντες ἀμνημόνευτοι, παρὰ δὲ τῆς μητρὸς ἀνὰ δύο λιτρῶν ὁρισθέντες λαβεῖν. καὶ οἱ μὲν ἐπιζητοῦντες διὰ τὴν τοῦ πατρὸς [διάταξιν] ἀναπλήρωσιν καὶ ἔλαβον [ἐκ] συμβιβάσεως ταῦτα· οἱ δὲ ἀμνημόνευτοι κατὰ μὲν τῆς διαθήκης τοῦ πατρὸς ἐναντίωσιν, κατὰ δὲ [τῆς] τῆς μητρὸς μέμψιν ἔδοξαν κινεῖν. καὶ ἡ μὲν ἐναντίωσις καὶ παντελῆ τῆς διαθήκης ῥῆξιν ἐργάζεται, ὅτε μὴ οἰκεῖος γέγραπται κληρονόμος ἀλλ' ἐξωτικὸς, ὥστε σχολάζειν καὶ τὰ λεγάτα, ἢ τῶν ἐνστάσεων μόνων, ὅτε τῶν οἰκείων οἱ γεγραμμένοι εἰσίν· ἡ δὲ μέμψις τὸ τρίτον ἀναπληροῖ. καὶ φησί τις νόμος[1]· „ἔχουσά τις παῖδας τὸν ἕνα ἔγραψεν εἰς γ' οὐγγίας καὶ τοῦ ἄλλου παρημέλησε καὶ ἐξωτικὸν ἔγραψεν εἰς θ' οὐγγίας. κατὰ τοῦ ἐξωτικοῦ μόνου κινεῖ ὁ παραμεληθεὶς, καὶ λαμβάνει τὰς ἓξ οὐγγίας, καὶ εὑρίσκεται ἡ τελευτήσασα ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου κληρονομουμένη. συντρέχει γὰρ αὐτῷ ἐξ ἀδιαθέτου ἐγγεγραμμένος κληρονόμος ἀδελφὸς αὐτοῦ καὶ λαμβάνει τὰς ἑτέρας γ' οὐγγίας." ὁρᾷς πῶς ἐξ ἀδιαθέτου εἶπε κληρονομεῖσθαι τὴν κληρονομίαν τὸ τὸν ἐξωτικὸν ἀποστῆναι, καὶ εἰ μὴ ὁ ἕτερος συγκληρονόμος τῶν οἰκείων ἦν, οὐκ ἂν τὸ ἐκ μέρους ἐῤῥῶσθαι τὴν διαθήκην προσῆν. καὶ πάλιν[2]· „ἐὰν ὁ υἱὸς ἀμνημόνευτος εὑρεθῇ, οὐκ ἔῤῥωται ἡ διαθήκη, κἂν πρὸ τοῦ πατρὸς ἀποθάνῃ, οὔτε ῥήγνυται ἡ προγεγραμμένη." καί[3]· „ἐὰν ὑπὸ αἵρεσιν γράψω κληρονόμον, ἀμνημόνευτον ἐάσας τὸν κυοφορούμενον, καὶ τεχθῇ ἠρτημένης αὐτῆς, ῥήγνυσι τὴν διαθήκην καὶ οὔτε τοῖς ὑποκαταστάτοις χώρα." καί[4]· „ἔγγονος ἐπανιὼν καὶ γενόμενος αὐτεξούσιος[5] ῥήσσει τὴν διαθήκην. δεῖ οὖν καὶ αὐτὴν προασφαλίζεσθαι διὰ τοῦ γεγράφθαι κληρονόμον ἢ ἀπόκληρον." οὕτω καὶ ἡ ἰουστινιάνειος θεσπίζει διάταξις[6]· „μὴ ἐξέστω παντελῶς πατρὶ ἢ μητρὶ ἢ πάππῳ ἢ μάμμῃ ἢ προμάμμῃ τὸν ἴδιον υἱὸν ἢ θυγατέρα ἢ τοὺς λοιποὺς παῖδας ἀμνημονεύτους καταλιμπάνειν ἢ ἀποκληρονόμους ἐν τῇ ἰδίᾳ διαθήκῃ, κἂν εἰ διὰ οἱασδήποτε δωρεᾶς ἢ λεγάτου ἢ φιδεϊκομίσσου ἢ ἄλλου οἱουδήποτε τρόπου τὴν ἐκ τῶν νόμων ὀφειλομένην αὐτοῖς μοῖραν παράσχοιεν, εἰ μὴ τυχὸν ἀχάριστοι ἀποδειχθεῖεν, καὶ ταύτην ἐγγράψειεν οἱ γονεῖς καὶ ἀποδείξειεν ἀληθῆ," καὶ ἑξῆς. „εἰ δὲ ταῦτα" φησὶ „μὴ παραφυλαχθεῖεν, μηδὲν γίνεσθαι πρόκριμα τοῖς ἀπὸ κληρονόμων γραφεῖσι παι-

---

[1] Basil. XXXIX, 1, 15. [2] Basil. XXXV, 8, 7. [3] Basil. XXXIX, 2, 5. [4] Ibid. c. 13. [5] Lege ὑπεξ. [6] Nov. 115 c. 3.

σὶν, ἀλλ' ὅσον εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἀνήκει τῆς διαθήκης ἀκυρουμένης, εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι, ὥστε μήτε πεπλασμέναις αὐτοὺς κατηγορίαις κατακρίνεσθαι ἤ τινα περιγραφὴν ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν. εἰ μέντοι συμβαίνει ἔν τισι τοιαύταις διαθήκαις λεγάτα τινὰ ἢ φιδεϊκόμισσα ἢ ἐλευθερίας ἢ ἐπιτρόπων δόσεις καταλειφθῆναι, ταῦτα πάντα κελεύομεν πληροῦσθαι καὶ δίδοσθαι ἐκείνοις οἷς κατελείφθη, ὡς εἰ καὶ κατὰ τοῦτο τὸ μέρος μὴ ἀνατραπεῖσα ἡ διαθήκη ἐκράτει.“ καὶ ἡ ταύτῃ ἑπομένη διάταξις[1] οὕτω διασαφεῖ, ἢ τὴν μέμψιν κινεῖσθαι ἀναιρεῖ καὶ τὸ τρίτον ἀναπληροῖ· „εἰ δέ τινες καὶ κληρονόμοι ὀνομασθεῖεν καὶ τοῖς ῥητοῖς πράγμασιν ἀρκεσθῆναι προσταχθεῖεν, ἐν τούτοις τὴν μὲν διαθήκην μὴ ἀνατρέπεσθαι προστάττομεν, ὅπερ δὲ ὑπέλαττον τῆς ἐκ τῶν νόμων μοίρας αὐτοῖς καταλειφθῇ, τοῦτο κατὰ τοὺς ἄλλους νόμους παρὰ τῶν κληρονόμων ἀναπληροῦσθαι. μία γὰρ ἡμῖν φροντὶς τοῦ τὴν ὕβριν τῆς ἀγνωμοσύνης καὶ τῆς ἀποκηρύξεως ἀνελεῖν.“ καὶ αὖθις[2]· „ἡνίκα εἷς παῖς δύναται κινεῖν μέμψιν κατὰ πατρῴας διαθήκης, θεωρείσθω τὸ ποσὸν τῆς οὐσίας τοῦ πατρὸς ἣν ἐκεῖνος ἐν τῷ τελευτᾶν κατέλιπε.“ φανερὸν οὖν κατέστη, ὡς ἡ μὲν τοῦ πατρὸς διαθήκη ὅσον κατὰ τὰς ἐνστάσεις ἠκυρώθη διὰ τὴν ἀμνημοσύνην τῶν δύο παίδων, καὶ ἐξίσης καὶ ουτοι τοῖς λοιποῖς γεγραμμένοις παισὶ τὴν οὐσίαν ἐπεμετρήσαντο. ἀπὸ δὲ τῆς μητρῴας οὐσίας τὸν φαλκίδιον λήψονται ὡς μὴ τὸ νόμιμον κομισάμενοι.

[γ'.] Ὅτι ἔγραψέ τις οὕτως· ὡς ποιήσουσιν οἱ ἐπίτροποί μου τὴν πρόνοιαν τῶν ὀρφανῶν καὶ ἀνηλίκων μου παίδων, ἵνα ἔχωσι τὸν μισθόν. ἦν δὲ καταλιπὼν υἱοὺς ἀφήλικας ἀμνημονεύτους, καὶ ἔλεγον οἱ ἐναντίοι τούτοις, ὅτι οὐκ εἰσιν ἀμνημόνευτοι· ἰδοὺ γὰρ ἐμνημόνευσε τούτων ἐν τῷ εἰπεῖν ὡς ποιήσουσιν οἱ ἐπίτροποι μετὰ τῶν ἀνηλίκων παίδων. ἀλλ' ὁ δικαστὴς εἶπεν· εἰ μὲν μόνοι ἀφήλικες οἱ μνημονευθέντες ἐτύγχανον, οὐχὶ καὶ οἱ λοιποὶ παῖδες, οὐχ οὕτως εἶχε λόγον πρὸς ἐνστάσεως ἀπόδειξιν τὸ τοιοῦτον ῥητὸν, ὅτιπερ καὶ τὸ „ὡς ποιήσουσιν οἱ ἐπίτροποί μου“ πρὸς οἶκτον ἀφορᾷ, καὶ ἔλεγον[3] τὸν παρὰ τῶν ἐπιτρόπων τοῖς ἀφήλιξι παισὶν ἐξαιτούμενον οὐχὶ πρὸς κληρονομίας ἔνστασιν καὶ μνημοσύνης ἀπόδειξιν. ἐὰν γὰρ

---

[1] I. e. Nov. 115 c. 5 pr. [2] Basil. XXXIX, 1, 38. [3] Videtur legendum ἔλεον, ut post ἀπόδειξιν suppleatur ἀρκεῖν.

πολλῶν ὄντων ἀφηλίκων εἴπῃ ὁ πατήρ· ὁ ἀφῆλίξ μου προνοηθήτω παρὰ τῶν ἐπιτρόπων, οὐ δοκεῖ τοῦτο ἔνστασις [εἶναι][1]. καὶ νόμος[2]· „ὀνομαστὶ ἀπόκληρον ποιῆσαι ἐστὶ τὸ εἰπεῖν τὸ ὄνομα ἢ τὸν χρηματισμὸν ἢ τὸ ἐπώνυμον. τὸ δὲ εἰπεῖν· ὁ υἱός μου ἀπόκληρος ἔστω, εἰ μὲν μόνος ἐστὶν, ἔῤῥωται· εἰ δὲ πολλοὶ, οὐδεὶς ἀπόκληρος γίνεται." εἰ γὰρ καὶ ἀορίστως τὶς ἐνίστησι καὶ ἀποκληροῖ, καὶ ἀπὸ ἐπιτηδευμάτων καὶ τέχνης καὶ ἡλικίας καὶ χρωμάτων, ἀλλ᾽ ὀφείλει πᾶσα φράσις σαφῶς δηλοῦν τὸ ὑποκείμενον πρόσωπον. „ἔῤῥωται" γάρ φησιν[3] „ἡ ἔνστασις εἰ καὶ τὸ ὄνομα τοῦ κληρονόμου [μὴ] λεχθῇ, ἀλλ᾽ ὁμολογούμενον γνώρισμα μὴ ὂν ἐφύβριστον."

ΤΙΤΛΟΣ ξη'.

Περὶ ὅρκου καὶ συκοφαντίας.

[α'.] Εἰ ἐνάγω κατά τινος ὡς λαβόντος παρ᾽ ἐμοῦ[4] νομίσματα, ὁ δὲ ἀπαρνεῖται, αἰτήσομαι δὲ ἐγὼ ὀμνύειν περὶ τούτου, ἀπαιτοῦμαι πρῶτον αὐτὸς ὀμνύειν τὸν περὶ συκοφαντίας, κἀκεῖνος τὸν ἐντελῆ. εἰ δὲ παρέξω μάρτυρας ἐπὶ τούτῳ, εἰ μὲν ὀμώσουσιν οἱ μάρτυρες, ἀπαιτεῖται ἐκεῖνος τὸ χρυσίον· εἰ δὲ μὴ, ἐπιλογὴν ἔχει ὁ κατηγορούμενος ἢ τοὺς μάρτυρας αἰτεῖν ὀμνύειν ἢ τὸν κατήγορον. τότε δὲ ὁ κατήγορος ἀντεπάγει μὴ δυναμένου [τοῦ] κατηγορουμένου αἰτεῖν τὸν περὶ συκοφαντίας.

[β'.] Ὅτι τινὸς κρατήσαντος δουλείαν καὶ λειπασθέντος, οἱ ἐγγυηταὶ αὐτοῦ εὐθυνόμενοι ἄλλην ἔλεγον τὴν τοῦ πρωτοτύπου περιουσίαν καὶ οἰκεῖον ταύτην θέσθαι κέρδος, ὁ δὲ ἁπλῶς ἀπολογούμενος ἀπογραφὴν ἐνεφάνιζε τῶν πραγμάτων καὶ κατ᾽ ἐκείνην ᾔτει εὐθύνεσθαι. οἱ δὲ ἐγγυηταὶ ᾐτοῦντο τὸν τῆς ἀποκρυβῆς ὅρκον ἐκτελέσαι, ὁ δὲ τὸν τῆς συκοφαντίας ἀντῄτει. καὶ ὡρίσθη ἀμφότερα γενέσθαι, καὶ ἐδικαιώθη ὁ ἀπογραψάμενος μὴ εἰς πλέον τῆς ἀπογραφείσης ὑπάρξεως εὐθύνεσθαι, μηδ᾽ ὁρκίζεσθαι αὖθις παρά τινος, κἂν ἐπέλθῃ τὶς εὐθύνῃ. φησὶ γὰρ ὁ νόμος[5]· „ἡ δίκη ὅρκῳ κατὰ συναίνεσιν ἑκατέρου μέρους ἢ τοῦ ἀντιδίκου ἐπιφέροντος ἐπενεχθέντι ἢ συγχωρηθέντι τμηθεῖσα οὐδὲ τῷ προσχήματι τῆς ἐπιορκίας ἀναψηλαφᾶσθαι δύναται."

---

[1] In Cod. parva lacuna est. [2] Basil. XXXV, 8, l. 2. [3] Basil. XXXV, 9, 9.
[4] Cod. ἐμοί. [5] Basil. XXII, 5, 43.

[γ΄.] Ὅτι[1] ἐὰν εἰσέλθῃ τὶς εἰς οἰκίαν τινὸς καὶ λάβῃ πρᾶγμα αὐτοῦ ἢ ζῶα, καὶ οὐκ ἔστι δῆλον τί ἀφῃρέθη, γνωσθῇ δὲ ὅτι εἰσῆλθε, προτιμᾶται ὁ ἐνάγων, καὶ ὀμνύει τί ἀπώλεσε καὶ πόσου ἦσαν ἄξια. καὶ οὗτος ὁ ὅρκος λέγεται ἔνδικος, τουτέστιν ὁ δικαίως ἐπιφερόμενος καὶ μετὰ δικαιοσύνης. ἐπεὶ γὰρ ἀνάρχως ἀφῃρέθην πράγματα, ἐνδίκως προτιμῶμαι ἐγὼ ὀμνύειν, τί ἀπώλεσα, καὶ τούτῳ πλεονεκτῶ τοῦ ἀντιδίκου.

[δ΄.] Ὅτι ὅτε ἐκχωρηθῇ κατὰ μαρτύρων ὅρκος, οἵτινες τούτων ἐν τῷ μέσῳ θάνοιεν, ἀντὶ ὀμωμοκότων λογίζονται.

[ε΄.] Ὅτι ὁ ἐνάγων κατά τινος ὡς χρεωστοῦντος τῷ τελευτήσαντι πατρὶ αὐτοῦ οὐκ ὄμνυσι τὸν τῆς εἰδήσεως ὅρκον, ἀλλὰ τὸν τέλειον. οὐ γὰρ χρὴ ὀμνύειν τινά· μὰ τὴν θείαν χάριν ταύτην οὐκ ἔχω εἴδησιν ὅτι χρεωστεῖς τῷ πατρί μου, ἀλλὰ γινώσκω ἀκριβῶς ὅτι χρεωστεῖς τῷ πατρί μου τόσα νομίσματα. ὁ ἐναγόμενος δὲ ὑπὲρ τοῦ τελευτήσαντος ὡς χρεωστοῦντος ἐκεῖνος ὄμνυσιν, ὅτι οὐκ ἔχει εἴδησιν ὅτι ἐχρεώστει ὁ τελευτήσας. καὶ γὰρ ὁ ἐνάγων, εἰ μὴ γινώσκει τὸ ἀληθὲς, πῶς ἐνάγει περὶ τούτου;

[ς΄.] Ὅτι ἐὰν ἡ ἐκ συναινέσεως λύουσα τὸν γάμον ἐν τῇ διαλύσει ὀμόσῃ, ὅτι οὐδὲν ἀφείλατο, ἢ ὁ ἀνὴρ αὐτῆς ὀμόσῃ ὁμοίως, οὐ δύναται ὕστερον περὶ ὑφαιρέσεως κινεῖν. μετὰ γὰρ τὸν σωματικὸν ὅρκον πᾶσα ἀντιλογία σχολάζει, καὶ οὐ δύναται λέγειν τὶς, ὅτι παράνομον ἦν τὸ σύμφωνον τῆς διαλύσεως καὶ διὰ τοῦτο οὐδὲ ὁ ὅρκος ἰσχύει. περὶ μὲν γὰρ τῆς λύσεως τοῦ γάμου ἀτονεῖ, περὶ δὲ τὰ ἄλλα ἰσχύει.

[ζ΄.] Ὅτι ὅτε[2] ἀποδείξεις ἔχων ὁ νέος οὐ χρήσεται ταύταις, ἀλλ' ἕλκεται[3] ὅρκον, ἔχει ἀποκατάστασιν· ὅτε δὲ ἀπορῶν ἀποδείξεων κατὰ τὸν καιρὸν τοῦ ἀγῶνος ἐκδικητὴν καὶ σύνδικον ἔχων τὸν ὅρκον ἐπήγαγε, τῷ κοινῷ νομίμῳ χρησάμενος καὶ ᾧτινι οἱ τέλειοι, οὐκ ἀποκαθίσταται. καὶ φησὶ βι. ι΄ τί. δ΄ κεφ. μη΄[4]· „παλαιός ἐστιν ὁ κανὼν τῆς διατάξεως λέγων μὴ δοκεῖν τὸν ἐλάττονα ἐν ἐκείνοις περιγράφεσθαι, ἐν οἷς τῷ κοινῷ νομίμῳ χρῆται." καὶ βι. κβ΄ τί. ε΄ κεφ. λβ΄[5]· „ὁ ἐπίτροπος ἐν ἀπορίᾳ πάσης ἀποδείξεως ὅρκον ἐπιφέρει καὶ τότε ἀποκλείει τὸν ἄνηβον." καὶ γὰρ χρησάμενος τῷ κοινῷ νομίμῳ καὶ διὰ τοῦ ἐκδικητοῦ ὅρκον ἀπαιτήσας εἴργεται καὶ[6] τὸν ὅρκον ἀναψηλαφᾶν,

---

[1] Cf. tit. XLII c. 17. [2] Cf. supra tit. XVII c. 10. [3] An ἕληται?
[4] Basil. Heimb. c. 59. [5] In Basil. Heimb. est c. 35. Cf. supra tit. XVI c. 8.
[6] Cod. εἰς.

καὶ ὡς[1] ἀπὸ καινοῦ δικαιώματος τοῦ ἀντιδίκου ὕστερον ἀναφανέντος πρὸς δευτέρους ἀγῶνας παρὰ τὸν νόμον παλινδρομεῖν. ὅτι φησὶ [βι.] κβ' τί. ε' κεφ. κε'[2]· „ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ὅρκον ἐπιφέρειν καὶ οὕτω ἐπιψηφίζεσθαι. ἐὰν οὖν [ὁ] καταδικασθεὶς εὑρηκέναι λέγῃ μετὰ ταῦτα δικαιώματα καὶ μόνοις αὐτοῖς θέλῃ χρήσασθαι, ἄνωθεν κινεῖ. εἰ δὲ ὁ ἀντίδικος ἐπάγει τὸν ὅρκον, οὐκ ἀναψηλαφᾶται ἡ ὑπόθεσις.“ καὶ πάλιν[3]· „αἰτία ὅρκῳ τμηθεῖσα, ἐκ συναινέσεως ἐπαχθέντος ἢ τοῦ ἐνάγοντος ἐπαγαγόντος ἢ συγχωρήσαντος ἢ ἐπενεχθέντος αὐτῷ, οὐ δύναται ἀναψηλαφᾶσθαι ὡς ἐπιορκίας γενομένης, εἰ μὴ τοῦτο ἰδικῶς ἐπιτρέπει.“ παραγραφὴ τοῦ „ἰδικῶς“· „ἐπὶ τοῦ ὀμόσαντος περὶ τοῦ καταλελειμμένου λεγάτου ὡς καταλελειμμένου· ἀναδίδωσι γὰρ ὁ ὀμόσας ὅπερ ἔλαβε, μηδὲ ἐκ τῆς ἐπιορκίας κερδαίνει.“ καί[4]· „ὅτε περὶ μέρους ὀμόσῃ τὶς, οὐκ ἐνάγεται, περὶ οὗ ὤμοσεν, οὔτε οἱ διάδοχοι αὐτοῦ· ἀναιρεῖται γὰρ ἡ ἀγωγή.“

ΤΙΤΛΟΣ ξθ'.

Περὶ ὅρκων τῶν ἐκδίκησιν ἐχόντων[5].

[α'.] „Οὐδεὶς[6] κατὰ θεοῦ ὀμόσας ἐσχάτως κινδυνεύει. ἱκανὸν γὰρ ἔχει τιμωρὸν τὸ θεῖον.“ εἰ δὲ ἐπικρήμαται ποινὴ καὶ αὕτη ἔσχατον, ἀλλ' οὐ κατὰ τῶν ἐν δίκῃ ὀμνύντων ἀλλὰ βλασφημῶν καὶ καταφρονητῶν καὶ κατὰ θεοῦ γλωσσαλγούντων. οὐ τολμώντων τὸ ὅλον ἀνθρωποπρεπῶς βλασφημεῖν .... καὶ κεφ.[7] ὀμνῦντες ἐσχάτως τιμωροῦνται, οὐ μᾶλλον διὰ τὴν ἐπιορκίαν ἢ τὰ βλάσφημα ῥήματα. ἔνι δὲ καὶ ποινὴ κατὰ τῶν ἐπὶ χρήμασιν ἀλλὰ μὴ κατὰ θερμότητα κατὰ βασιλέως ὀμνύντων, οἳ ῥοπαλίζονται· καὶ ἐφ' ἑτέρων παραπλησίων· ὥς φησι βι. κβ' τί. ε' κεφ. ι'[8]. ζημία δὲ ἡ ἔκπτωσις τῆς ἀγωγῆς· ὡς

---

[1] Cod. ὡς καί. [2] In Basil. Heimb. est c. 31. [3] Basil. XXII, 5, 43. Ibi tamen hic locus paulo aliter habet, et παραγραφή mox addita deest. [4] Bas. XXII, 5, 7. 9. [5] Non concordat cum indice, qui hunc titulum plane non habet. Equidem crediderim ψευδότιτλον esse, deesse autem integros titulos 69 et 70 in indice exhibitos. — Fortasse etiam hoc loco olim legebantur, quae praestat scholium Ὁ Ῥωμανὸς in Basil. apud Heimb. II p. 485. [6] Basil. XXII, 5, 44. [7] Lego: οἱ τολμῶντες τὸ ὅλ. ἀνθρ. βλ. καὶ κατὰ τριχὸς καὶ κεφαλῆς ὀμνῦντες κτλ. Cf. Nov. 77. [8] In Basil. Heimb. est c. 13 tom. II p. 542.

ἐπὶ τοῦ ὀμόσαντος ἐκ τῶν δικαζομένων μὴ δεδωκέναι χρήματα ἢ ἐπαγγείλασθαι καὶ ἐντὸς ὡρισμένου χρόνου ἑαλωθέντος[1], καὶ τοῦ ὀμόσαντος καταλειφθῆναι λεγάτα καὶ εὑρεθέντος ψευδοῦς[2], καὶ τοῦ ὀμόσαντος κατὰ τὴν ἐσχάτην πασῶν νεαρὰν ἄλλο μὲν πράττοντες ἄλλο δὲ προσποιούμενοι[3].

[β'.] Ὅτι ἐπὶ ἀπορίᾳ πασῶν ἀποδείξεων ὅρκος ἐπάγεται· ὅτε δὲ ἐστί τις ἀπόδειξις, οὐκ ἐπάγεται ὅρκος. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος. τῆς γὰρ τοῦ γοργοπλούτου θυγατρὸς λεγούσης, τὸν ὕπατον λαβεῖν χρυσίον ὑπὲρ[4] τοῦ πατρὸς αὐτῆς ὑπὲρ τοῦ πετρίου, καὶ τῆς μὲν τοῦ ὑπάτου θυγατρὸς ἀρνουμένης τῆς δὲ τοῦ γοργοπλούτου θυγατρὸς ἐπαγαγούσης ὅρκον αὐτῇ, οὐκ ἐδέξατο τοῦτον αὐτὸς, σημειωσάμενος οὕτως· ὁ αἰτηθεὶς ὅρκος χώραν οὐκ ἔχει. τοῦ γὰρ λεγομένου δοῦναι τὸ χρυσίον οὐκ[5] ἀγνοουμένου ἀλλὰ καὶ πολλὰ εὐποροῦντος τῶν ἀπογραφομένων, οὐκ ἐνὸν εἰ ἐδόθη χρυσίον διαλαθεῖν.

[γ'.] Ὅτι ὅτε ἐνάγει τὶς καὶ ἐπέρχεται ἴσως αὐτῷ ὅρκος, τότε καὶ διαβολαῖον ὀφείλουσι σκοπεῖσθαι, ἵνα μὴ δεχθῇ εἰς τὸ ὀμνύειν· οἷον ὅτι μοναχός ἐστιν ἢ αἱρετικὸς ἢ κλέπτης καὶ τὰ λοιπά. ὅτε δέ τις ἐνάγεται παρά τινος καὶ ἐπιφέρεται αὐτῷ ὅρκος ἐξ ἀπορίας τῶν ἀποδείξεων τοῦ ἐνάγοντος, τότε οὐκ ἔχει ἰσχὺν ὁ ἐνάγων παραγράφεσθαι, ἵνα μὴ ὀμώσῃ ὁ ἀντίδικος, λέγων εἶναι μοιχὸν ἢ πόρνον ἢ αἱρετικόν. ἐπεὶ καὶ ὁ ἑβραῖος ἐνάγων κατὰ χριστιανοῦ οὐκ ὀμνύει καὶ ζημιοῖ τοῦτον, ἀλλ' ὁ χριστιανὸς ὀμνύει ὡς μηδὲν λαβὼν, καὶ χριστιανῶν εναγόντων κατὰ ἑβραίου οὐκ ὄμνυσιν ὁ χριστιανὸς, ἀλλ' ὁ ἑβραῖος ὅτι οὐδὲν χρεωστεῖ.

[δ'.] Βι. κε' τί. η' κεφ. ιγ'· „Εἴτε ἐξ ἐπαγωγῆς τοῦ δανειστοῦ ὀμόσει μὴ χρεωστεῖν ὁ χρεώστης, εἴτε κατὰ ψῆφον γοῦν ἄδικον ἐλευθερωθῇ, λύεται τὸ ἐνέχυρον.“

[ε'.] Ὅτι[6] ἔνθα μάχεται προλήψει, ὁ εναγόμενος καὶ ἀρνούμενος οὐ προτιμᾶται εἰς τὸν ὅρκον, ἀλλ' ὁ ἐνάγων. καὶ τοῦτο ὁ μάγιστρος ἔκρινε. πολλῶν γὰρ κινούντων κατὰ τοῦ μαγίστρου τοῦ σκληροῦ ὡς ἀφελομένου ἐκ τούτων χρυσίον καὶ ἄλλας εἰσαγαγόντος αὐτοῖς κακώσεις καὶ φυλακὰς, ὁ μάγιστρος ἔνθα μὲν συνίστησί τις τὴν ἄλλην κάκωσιν καὶ τὰ δεσμὰ, τότε τὸν ἐνάγοντα ἐδέχετο ὀμνύειν, τί ἀπώλεσεν. ἔλεγε

---

[1] Cf. Basil. VII, 4, 5. [2] Cf. Basil. XXII, 5, 55. [3] Haec ultima explicare frustra studui. [4] Lege παρά. [5] Cod. οἴκου. [6] Cf. tit. XXIII c. 7.

γὰρ, ὅτι προλήψει μάχεται ὁ μάγιστρος[1]. ἐπεὶ γὰρ ἔτυψε τὸν ἄνθρωπον ἢ ἐδέσμευσεν ἢ ἄλλως ἐκάκωσε, εἰκός ἐστι καὶ τὸ ἐπιφερόμενον παρὰ[2] τοῦ ἀνθρώπου αὐτοῦ ἀφελέσθαι ἢ αὐτὸν ἢ ἀνθρώπους αὐτοῦ, καὶ διὰ τοῖτο πιστός ἐστιν ὁ ἐνάγων. ἔνθα δὲ μὴ προηγεῖται ἑτέρα τὶς κάκωσις τῆς ἀφαιρέσεως ἢ βία, τὸν ἐνάγοντα ....[3] κατὰ δημοσίων ποιήσας ἀπόδοσιν οὐ δύναται ἀναργυρίαν ἀντιτιθέναι οὐδὲ ὅρκον ἐπάγειν.

Ὅτι ἐὰν περικοπῇ ὁ χρόνος τῆς διετίας ἐπὶ τοῦ δανείου, καὶ λέγει ὁ γράψας δανείσασθαι ὅτι οὐδὲν ἔλαβεν, ὀφείλει ὁ λέγων δανεῖσαι ἀποδεικνύειν ὅτι ἐδάνεισε. χρόνον δὲ οὐκ ἔχει ὀλίγον, ἀλλὰ μέχρι τριακονταετίας ὅτε βούλεται ἀποδείκνυσιν. ὁ δὲ ἀποδείξεων ἀπορῶν ἐξουσίαν ἔχει ὅρκον ἐπάγειν τῷ ὀφειλέτῃ. δύναται δὲ καὶ οὗτος ἀντεπάγειν τὸν ὅρκον.

ΤΙΤΛΟΣ οα'.

Περὶ ἀναργυρίας.

[α'.] Ὅτι ἡ ρ' νεαρὰ διορίζεται περὶ τῆς ἐπὶ προικὸς ἀναργυρίας. οὕτω φησίν· ὅτι εἰ μὲν ἐπὶ δύο μόνοις ἐνιαυτοῖς συνοικήσας τῇ γαμετῇ ὁ ἀνὴρ μὴ λάβῃ τὴν προῖκα, μηδὲν ἀδικείσθω ἐκ τῆς σιγῆς, μηδὲ οἱ κληρονόμοι αὐτοῦ, ἀλλ' εἴσω ἑτέρου ἐνιαυτοῦ τὰ τῆς μέμψεως κινείσθω. εἰ δὲ ὁ γάμος εἰς πλείονα χρόνον συνέστη, ἐλάττονα μέντοι τῆς δεκαετίας, τότε ἀναιρείσθω τῷ ἀνδρὶ ἡ μέμψις. τοῦτο δὲ ὁ μάγιστρος οὕτως ἑρμηνεύει, ὅτι ἐὰν[4] ἐπὶ ι' ἐνιαυτοὺς διαρκέσαντος τοῦ συνοικεσίου, εἰ μὲν ὁ ἀνὴρ δείξει ἐξ ἐγγράφου διαμαρτυρίας κατὰ τὴν νεαρὰν, ὡς ἐμέμψατο καὶ ἐπεζήτησε τὴν προῖκα, ὁ δὲ ὑποσχόμενος ταύτην ἔνοχος ὢν χρέεσι δημοσιακοῖς ἢ ἑτέραις τισὶν αἰτίαις οὐκ ἠδύνατο καταβαλεῖν ταύτην, τότε ἡ γυνὴ οὐ κατὰ τοῦ ἀνδρὸς κινήσει τὴν περὶ προικὸς ἀγωγὴν, ἀλλὰ κατὰ τοῦ ὑποσχομένου ἔχει τὴν ἀγωγὴν τῆς προικός. ἀλλ' ὀρθῶς κινοῦσα κατὰ τοῦ ἀνδρὸς ἀπαιτεῖ ταύτην, εἰ μὴ ἀφῆλιξ ἐστὶν ὁ ἀνήρ· εἰ γὰρ ἀφῆ-

---

[1] Scil. ὁ σκληρός. [2] Cod. κατά. [3] Magna, ni fallor, hoc loco lacuna est. Nam quae sequuntur, potius ad tit. περὶ ἀναργυρίας pertinent, titulorum autem 69 et 70, quorum in indice mentio fit, nullum vestigium est. In Codice autem lacuna non apparet, nam ibi sic est: τὸν ἐνάγοντα κατὰ δημοσίων κτλ.
[4] Aut delendum illud ἐὰν, aut ἀνακόλουθον statuendum est.

λιξ ἐστὶ καὶ σιγήσει ἐπὶ ιβ' ἐνιαυτούς, καὶ οὕτως ἀπαιτεῖται· εὑρίσκεται γὰρ κζ' χρόνων, ὅτε τὴν προῖκα ἐπιζητεῖται, καὶ οὐκ ἐστὶν ἀφῆλιξ ὑπερβὰς τὸν κε' ἐνιαυτόν. ὁ δὲ σιγήσας[1] ἐπὶ ι' ἐνιαυτόν, εἴτε τέλειος εἴτε ἀφῆλιξ, καὶ ἀπαιτηθεὶς τὴν προῖκα οὐκ ἀποκλείεται κινεῖν κατὰ τοῦ ὑποσχομένου. εἰ δὲ ἐντὸς τῶν ι' οὐ ζητήσει τὴν προῖκα καὶ λυθῇ ὁ γάμος, οὐδὲ τότε ἐξ ὀρθοῦ αὐτὸς ἀπαιτεῖται τὴν προῖκα, ἀλλ' ἡ γυνὴ καὶ κατὰ τοῦ ἀνδρὸς καὶ [κατὰ] τοῦ ὑποσχομένου ἔχει τὴν ἀγωγὴν, καὶ δεικνύων ὁ ἀνὴρ ὅτι ἐζήτει τὴν προῖκα, διὰ δέ τινας αἰτίας οὐ κατεβάλλετο αὐτῷ, ἀθωοῦται, καὶ ἡ γυνὴ ἐπιγινώσκουσα τὸν κίνδυνον ἔνοχον ἔχει τὸν ὑποσχόμενον· εἰ δὲ μὴ δείξῃ ὁ ἀνὴρ ὡς ἐπεζήτησε τὴν προῖκα καὶ ἄπορος ὤφθη ὁ ὑποσχόμενος αὐτὴν, ἡ γυνὴ[2] ἐκεῖνον μὲν ἀφίησι, κινεῖ δὲ κατὰ τοῦ ἀνδρὸς καὶ ἀπολαμβάνει τὴν προῖκα· ὁ δὲ ἀνὴρ ἔχει ὡς εἴρηται τὸν λ' ετῆ χρόνον εἰς βοήθειαν τῆς ἀπὸ τοῦ ὑποσχομένου ἀπαιτήσεως. καὶ περὶ κληρονόμων ἡ αὐτὴ νεαρὰ ὁρίζεται ἐπὶ πόσοις χρόνοις ὀφείλουσι κινεῖν τὴν περὶ τῆς προικὸς ἀναργυρίαν, λέγουσα ὡς [εἰ] ἀφήλικες εἰσὶν οἱ κληρονόμοι, εἴτε τῶν τελείων εἴτε τῶν ἀφηλίκων, μὴ δύνασθαι αὐτοὺς μετὰ[3] τὸν ε' ἐνιαυτὸν τῆς τελευτῆς τοῦ ἀνδρὸς προβάλλειν ἀναργυρίαν καὶ λέγειν ὡς οὐκ ἔλαβε τὴν προῖκα ὁ ὑποσχεθείς. καὶ ἐν τούτοις καὶ ἡ νεαρά. ὁ δὲ μάγιστρος τὸ περιεχόμενον κεφάλαιον ἐν τῷ α' τί.[4] τοῦ κγ' βι. καὶ λέγον, μὴ εἶναι ἀναργυρίαν κατὰ ὁμολογίαν ἀποληπτικῆς ἐπὶ προικὶ συντεθείσης, ἐναντίον φαινόμενον πρὸς τὴν προγεγραμμένην νεαρὰν οὕτως ἑρμηνεύει· ὅτι ἔνθα μὲν μόνη ὑπόσχεσις γένηται, οἷον ὁμολογῶ σοι παρέχειν τόσα, καὶ μὴ παρακολουθήσῃ δευτέρα ἀπόδειξις τῆς ἀπολήψεως τῆς προικὸς, ἐκεῖσε διενεργοῦσι τὰ διηγορευμένα τῇ νεαρᾷ, τά τε τῆς δεκαετίας καὶ τὰ ἐντὸς ταύτης καὶ τὰ λοιπά· ἔνθα δὲ γένηται μὲν πρῶτον ὑπόσχεσις προικὸς, εἶτα ἐπιγένηται καὶ πληναρία ἀπόδειξις ὁμολογοῦντος ἐν ταύτῃ τοῦ ἀνδρὸς ὡς ἀπέλαβεν ἐκ τῆς προικὸς τάδε καὶ τάδε, ἐνταῦθα οὔτε τὰ τῆς νεαρᾶς ἔχουσι χώραν, ὥστε σκοπεῖσθαι δεκαετίαν καὶ τὰ λοιπὰ, οὔτε ἀπὸ τῆς ἀναργυρίας διδομένη δεκαετία ἰσχύει, ἀλλ' αὐτίκα λέγων ὁ ἀνὴρ μὴ λαβεῖν τὰ ἐν τῇ πληναρίᾳ ἀποδείξει ἐκβάλλεται καὶ οὐδὲ ὅρκον δύναται αἰτεῖν κατὰ τὸ αὐτὸ κεφάλαιον. μισεῖ γὰρ τὸν τοιοῦτον ἄνδρα ὁ νόμος, ὃς ὡμολόγησε μὲν ἐν τῷ πρώτῳ συμ-

---

[1] Cod. λογίσας. [2] Cod. αὐτὸς ζημιοῦται. [3] Cod. κατὰ.
[4] Cap. 76.

φώνῳ ὡς ὑπεσχέθη προῖκα, εἶτα πάλιν ἐν ἑτέρῳ τῷ[1] τῆς πληναρίας ἐβεβαίωσε καὶ τὴν ὑπόσχεσιν καὶ ὡμολόγησε καὶ τὴν προῖκα λαβεῖν καὶ τὰ εἴδη ταύτης, καὶ μετὰ ταῦτα ἀμφότερα πειρᾶται ἀρνεῖσθαι.

[β'.] Ὅτι περὶ τοῦ οὐ δόντος τὴν προῖκα καὶ μὴ ἀπολαμβάνοντος ζήτει εἰς τὸν τίτλον[2] τὸν περὶ γυναικῶν· καλῶς γὰρ ἐκεῖ γέγραπται.

ΤΙΤΛΟΣ οβ'.

Περὶ πεκουλίων.

[α'.] Ὅτι τρία εἰσὶ τὰ πεκούλια τῶν ὑπεξουσίων. καὶ ἐν μὲν τῷ ἑνὶ, ἤγουν τῷ καστρισίῳ, διατίθενται οἱ ὑπεξούσιοι· ἐν δὲ τῷ παγανικῷ οὐδ' ὅλως διατίθενται. τὸ δὲ μέσον ἐστὶ τὰ λεγόμενα ἀπροσπόριστα, ἅτινα μὲν ζῶν ὁ υἱὸς ἔχει, προτελευτῶν[3] δὲ τοῦ πατρὸς οὐ δύναται ἐπὶ τούτοις διατίθεσθαι διὰ τὸν λέγοντα νόμον· οἱ ὑπεξούσιοι μηδὲ ἐν τοῖς ἀπροσπορίστοις διατίθενται.

[β'.] Ἀνάγνωθι βι. ιθ' τί. α' κεφ. ιγ'[4]· „Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν ὁ δοῦλος κλέψῃ τι τοῦ πεκουλίου καὶ περιέλθῃ εἰς τὸν ἀγοραστὴν, χώρα τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ τὸ κλαπὲν πρᾶγμα καὶ τῇ περὶ ἀποκρυβῆς ἀγωγῇ καὶ τῇ ἐκδικούσῃ τὸ τοῦ πραθέντος τίμημα."

ΤΙΤΛΟΣ ογ'.

Περὶ εὐνούχων.

[α'.] Βι. ιθ' τί. α' κεφ. δ'[5]· „Ἡ διάταξις κελεύει, ὥστε μηδένα ῥωμαῖον εὐνουχίζεσθαι μηδὲ ἔξω τοῦ ῥωμαϊκοῦ ἐδάφους· μηδὲ γὰρ ἀγοράζειν δυνατὸν εὐνουχισθέντα ῥωμαῖον· ἀλλὰ καὶ τὸν εὐνουχίζοντα καὶ ἀγοράζοντα καὶ τὸν συμβολαιογράφον τὸν γράψαντα τὸ συμβόλαιον καὶ τὸν τελώνην τὸν κομισάμενον τέ-

---

[1] Cod. τὸν. [2] Tit. XXV. (Cf. ibi c. 52.) [3] Cod. προτελευτῶντος.
[4] Potius κθ'. Cf. Suppl. edit. Heimb. p. 258. [5] Est l. 2 C. 4, 42, ex Basil. XIX, 1, 89. Cf. Suppl. edit. Heimb. p. 261.

λος τί ὑπὲρ τούτου τιμωρεῖσθαι. τὰ δὲ βάρβαρα ἀνδράποδα εὐνουχιζόμενα ἔξωθεν τοῦ ῥωμαϊκοῦ ἐδάφους ἐξέστω πᾶσι τοῖς ἐμπόροις ἀγοράζειν καὶ πιπράσκειν."

Τ Ι Τ Λ Ο Σ οδ'.

Περὶ τῶν ὑπὸ βασιλέων[1] κρινομένων.

[α'.] „Ὅταν ἕτερόν τι τὸ νόμιμον βούληται, ἕτερον δὲ τὸ δίκαιον, μόνος ὁ βασιλεὺς τὴν περὶ τούτου τέμνει ζήτησιν, ἐπειδὴ αὐτῷ πρέπει μόνῳ τὰ τοιαῦτα τέμνειν[2]." τούτῳ τῷ νομίμῳ ἐχρήσατο ὁ βέστης ἐπὶ τοιαύτῃ ὑποθέσει. ἄνθρωπός τις ἠλέγχθη κατασκευάζων οὐκ ἀγαθὰς μαρτυρίας κατά τινος καὶ περὶ τὰς διηγήσεις τῆς δίκης ἠναντιώθη αὐτὸς ἑαυτῷ καὶ τῷ ἀντιδίκῳ συνέπαιζε καὶ μαρτυρίας συνεσκεύαζε χρημάτων δόσει καὶ ὑποσχέσει. τοῦτον τοίνυν τὸν ἄνθρωπον ἐνάγοντα κατὰ τοῦ πριμμικηρίου μιχαὴλ, πρωτοσπαθάριον ὄντα καὶ αὐτὸν, περὶ καταθήκης κατεδίκασε διὰ τὰς εἰρημένας αἰτίας, ἀφεὶς τῷ πρωτοσπαθαρίῳ χώραν, ἣν μὴ σιωπᾶν ἀγαπᾷ ἀλλ' ἐπαγωνίζοιτο καὶ πάντα λίθον κινεῖν μελετᾷ, τὴν τελευταίαν ἄγκυραν καθιέναι καὶ τὴν ἐκ τῶν ὅρκων ὑστάτην αἰτεῖν βοήθειαν. καὶ πρότερον μὲν αὐτὸν τὸν τῆς συκοφαντίας ὑπέχειν, ἔπειτα καθορκοῦν καὶ τὸν πριμμικήριον, εἰ μήγε τοὺς ὅρκους ἐννομωτάτως βασιλεὺς ἀποδοκιμάσειε διά τε τὴν ἀξιοπιστίαν τοῦ ἐναγομένου προσώπου καὶ τὴν κακίαν τοῦ ἐνάγοντος. καὶ γὰρ τὸ μὲν νόμιμον ἔχει ὑποσχεῖν τὸν ὅρκον τὸν πριμμικήριον, τὸ δὲ δίκαιον οὐ βούλεται τοῦτο διὰ τὰς κακουργίας τοῦ ἐνάγοντος, καὶ τοῦτο μόνος ὁ βασιλεὺς κρίνει κατὰ τὸν νόμον.

[β'.] Ὅτι ὁ μάγιστρος εὗρεν δίκην ἐκ προστάξεως βασιλικῆς καὶ βασιλικῇ ἐντυχὼν ἀποφάσει ἐσημειώσατο οὕτως· ὑπομνήματι βασιλικῷ ἐντυχόντες θειοτάτῳ τὸ σέβας τούτῳ καὶ τὴν προσκύνησιν ἀποδεδώκαμεν· τὸ γὰρ ἐπὶ τῇ βασιλικῇ κρινόμενον ἐξουσίᾳ τῆς ἔξωθεν οὐκ ἄν ποτε δεηθείη διατυπώσεως.

---

[1] Cod. βασιλείων. [2] l. 1 C. 1, 14. Basil. II, 6, 6.

Τ Ι Τ Λ Ο Σ οε΄.

Περὶ ἐκκλήτων.

[α΄.] Ὅτι ἐντὸς διετίας ὀφείλει δίδοσθαι ἡ ἔκκλητος καὶ ἐντὸς ταύτης περαιοῦσθαι ὡς βί. θ΄ τί. α΄ [1].

[β΄.] Ὅτι κἂν μὴ ἔκκλητος δεχθῇ, ὅμως τὸ ἐφετικὸν δοκιμάζεται. ὅπερ τοιαύτην ἔχειν διάνοιαν ὁ μ ά γ ι σ τ ρ ο ς ἔλεγεν, ὅτι ὁ κρίνων δικαστὴς οὗτος δέχεται καὶ τὴν ἔκκλητον· λέγει γὰρ ὁ δικαζόμενος ἔκκλητον δοῦναι καὶ δέχεται ταύτην ὁ δικαστὴς καὶ σημειοῦται. ἐὰν οὖν πολλάκις θυμώδης ὢν ὁ δικαστὴς οὐ δέξηται τὸν λόγον τοῦ δικαζομένου τουτέστι τὴν ἔκκλητον, ἀλλὰ μετ᾽ ὀργῆς τοῦτον ἐκβάλλει, οὐκ ἀποκλείεται ὁ ἔχων τὴν ἔκκλητον εἰς τὸ κινεῖν αὐτὴν, ἀλλὰ δοκιμάζεται τὸ ἐφετικὸν αὐτοῦ παρὰ βασιλέως ἢ παρ᾽ ἐκείνου ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ.

[γ΄.] Ὅτι τὸ λέγειν· ὅτι ἡ τοῦ ἐπάρχου ψῆφος ἐκκλήτῳ οὐχ ὑπόκειται, τοιοῦτόν ἐστιν, ὅτι τοῖς μὲν ἄλλοις δικασταῖς λαλεῖται παρὰ τῶν δικαζομένων· ἐκκλητεύομεν κρίσιν. (γίνωσκε τοῦτο, καὶ ἐστὶν ὡρισμένος ὁ καιρὸς ὑφ᾽ ὃν ὀφείλει δίδοσθαι καὶ λέγεσθαι ἡ ἔκκλητος.) ὁ τοίνυν ἔπαρχος πελεκεῖς ἔχων καὶ ξίφη προπορευόμενα κατὰ τὸ πάλαι κρατοῦν ἔθος, τῆς τοιαύτης λαλιᾶς [τῶν] δικαζομένων οὐκ ἔχει.

---

[1] Videtur legendum β΄. Cf. supra tit. VII c. 5.

I. INDEX LOCORUM,

quos *ἐκ τῶν ῥωμαϊκῶν τοῦ μαγίστρου λεγομένων* Harmenopulus desumsit.

Hexabiblos					Πεῖρα
Lib. I	tit. 1	c. 24	=		LI, 3.
„ —	„ —	„ 31	=		VI, 16.
„ —	„ 2	„ 38	=		XXXVI, 16.
„ —	„ 3	„ 19	=		XVII, 9.
„ —	„ —	„ 42	=		VIII, 23.
„ —	„ —	„ 52	=		VIII, 10.
					XXXVI, 14.
„ —	„ —	„ 56	=		XXXIX, 1.
„ —	„ —	„ 57	=		XXXIX, 4.
„ —	„ —	„ 58	=		XL, 1.
„ —	„ —	„ 67	=		VIII, 14.
„ —	„ 4	„ 19	=		XXXIII, 1. LI, 5.
„ —	„ —	„ 20	=		XXXIII, 1. LI, 5.
„ —	„ —	„ 69	=		LVIII, 1.
„ —	„ 6	„ 8	=		XXX, 76.
„ —	„ —	„ 9	=		XXX, 11. 12.
„ —	„ —	„ 10	=		XXX, 16.
„ —	„ —	„ 11	=		XXX, 26.
„ —	„ —	„ 13	=		XXX, 22.
„ —	„ —	„ 14	=		XXX, 43.
„ —	„ —	„ 22	=		XXX, 4.
„ —	„ —	„ 29	=		XXX, 19.
„ —	„ —	„ 30	=		XXX, 3.
„ —	„ —	„ 40	=		XXX, 46.
„ —	„ —	„ 44	=		XXX, 5.
„ —	„ —	„ 50	=		XXX, 32.
„ —	„ 9	„ 6	=		XLV, 1.
„ —	„ 10	„ 4	=		VII, 1. 4.
„ —	„ —	„ 5	=		VII, 14.
„ —	„ —	„ 7	=		VII, 10.
„ —	„ —	„ 9	=		VII, 7.
„ —	„ —	„ 10	=		VII, 15.

Hexabiblos					Πεῖρα
Lib. I	tit. 11	c. 2	=		XLII, 5.
„ —	„ 12	„ 10	=		XVII, 14.
„ —	„ —	„ 11	=		XVII, 21.
„ —	„ —	„ 49	=		XVII, 10.
„ —	„ —	„ 60	=		I, 2.
„ —	„ 13	„ 12	=		XII, 5.
„ —	„ —	„ 20	=		XXIV, 16.
„ —	„ —	„ 21	=		XXIV, 2.
„ —	„ —	„ 24	=		XXIV, 11.
„ —	„ —	„ 33	=		XXV, 21.
„ —	„ 14	„ 21	=		XXXII, 1.
„ —	„ 18	„ 22	=		XLVIII, 1.
Lib. II	tit. 1	c. 11	=		XL, 4.
„ —	„ —	„ 12	=		XL, 5.
„ —	„ —	„ 33	=		VIII, 5.
„ —	„ —	„ 45	=		XL, 3.
„ —	„ 10	„ 12	=		XLVI, 1—3.
„ —	„ —	„ 13	=		XLVI, 5.
„ —	„ —	„ 14	=		XLVI, 5.
Lib. III	tit. 3	c. 29	=		XXXVIII, 11.
„ —	„ —	„ 30	=		XXXVIII, 11.
„ —	„ —	„ 56	=		XXIV, 2.
„ —	„ —	„ 74	=		XXXVIII, 4.
„ —	„ —	„ 84	=		XXXVI, 19.
„ —	„ —	„ 88	=		XXXVI, 3.
„ —	„ —	„ 110	=		L, 1.
„ —	„ —	„ 115	=		II, 2.
„ —	„ —	„ 116	=		L, 2.
„ —	„ —	„ 117	=		L, 3.
„ —	„ —	„ 119	=		VI, 15.

Hexabiblos				Πεῖρα
Lib. III	tit. 5	c. 29	=	VI, 23.
〃 —	〃 —	〃 32	=	LVIII, 2.
〃 —	〃 —	〃 33	=	VI, 25.
〃 —	〃 —	〃 37	=	XXVI, 1.
〃 —	〃 —	〃 39	=	VIII, 23.
〃 —	〃 —	〃 40	=	VI, 14.
〃 —	〃 —	〃 44	=	VI, 6.
〃 —	〃 —	〃 47	=	XXVI, 2.
〃 —	〃 —	〃 48	=	VI, 5.
〃 —	〃 —	〃 50	=	VI, 8.
〃 —	〃 —	〃 74	=	XXIX, 1.
〃 —	〃 —	〃 84	=	XXVII, 1. XXXVI, 19.
〃 —	〃 —	〃 88	=	LVIII, 1.
〃 —	〃 —	〃 90	=	XXVI, 15.
〃 —	〃 6	〃 6	=	XII, 1.
〃 —	〃 7	〃 2	=	XIX, 50.
〃 —	〃 —	〃 6	=	XIX, 7.
〃 —	〃 —	〃 7	=	XIX, 42.
〃 —	〃 —	〃 10	=	XIX, 1.
〃 —	〃 —	〃 16	=	XIX, 4.
Lib. IV	tit. 1	c. 23	=	XXV, 7.
〃 —	〃 3	〃 4	=	XVII, 6.
〃 —	〃 7	〃 4	=	XXV, 59.
〃 —	〃 —	〃 28	=	XXIV, 13.
〃 —	〃 —	〃 29	=	XXV, 25.
〃 —	〃 —	〃 30	=	XXV, 47.
〃 —	〃 8	〃 10	=	XXIV, 1. XXV, 45.
〃 —	〃 —	〃 24	=	XXV, 5. XXVI, 3. 4.
〃 —	〃 —	〃 31	=	XXV, 15.
〃 —	〃 —	〃 35	=	XXV, 9.
〃 —	〃 —	〃 40	=	XXIV, 1.
〃 —	〃 —	〃 45	=	XXV, 18.
〃 —	〃 9	〃 8	=	XXIV, 9.
〃 —	〃 —	〃 11	=	XXV, 40.
〃 —	〃 —	〃 16	=	XXV, 10.

Hexabiblos				Πεῖρα
Lib. IV	tit. 9	c. 17	=	XXIV, 4.
〃 —	〃 —	〃 24	=	XXIV, 11.
〃 —	〃 —	〃 25	=	XXV, 63. XXVI, 13.
〃 —	〃 12	〃 8	=	XXV, 38.
〃 —	〃 —	〃 10	=	XLIX, 5.
Lib. V	tit. 1	c. 11	=	XIV, 16.
〃 —	〃 —	〃 27	=	XIV, 1.
〃 —	〃 8	〃 15	=	XLVIII, 3.
〃 —	〃 —	〃 16	=	XLVIII, 11.
〃 —	〃 —	〃 17	=	LIV, 9. XLVIII, 6.
〃 —	〃 —	〃 68	=	XXV, 17. LIV, 7.
〃 —	〃 —	〃 78	=	XLVIII, 1.
〃 —	〃 9	〃 6	=	LIV, 6.
〃 —	〃 —	〃 7	=	XLI, 6.
〃 —	〃 —	〃 8	=	XLI, 12.
〃 —	〃 —	〃 9	=	XLI, 11.
〃 —	〃 —	〃 10	=	XXV, 76.
〃 —	〃 —	〃 11	=	XXV, 65.
〃 —	〃 —	〃 12	=	XLVIII, 2. LIV, 6.
〃 —	〃 —	〃 13	=	XIV, 9.
〃 —	〃 —	〃 19	=	XXV, 61.
〃 —	〃 10	〃 18	=	XLIII, 11.
〃 —	〃 11	〃 7	=	XVI, 5.
〃 —	〃 —	〃 8	=	XVI, 9.
〃 —	〃 —	〃 49	=	XLIII, 8.
Lib. VI	tit. 2	c. 15	=	XXV, 23.
〃 —	〃 —	〃 17	=	XXV, 4.

Praeterea Harm. III, 3, 111. 118 et 5, 30. 31. 41 - 43. 52. IV, 8, 21. 41 et 9, 14. 21 ῥωμαϊκὰ esse dicuntur, sed in Πείρᾳ, qualis in Cod. Laurent. extat, non inveniuntur.

II. INDEX LOCORUM,

qui ex Basilicis in *Πείρᾳ* laudantur.

Basil.				Πεῖρα
II,	1,	29	—	LI, 32.
—	—	33	-	LI, 32.
—	—	35	—	XXV, 69.
—	—	36	—	LI, 32.
—	—	47	—	XV, 4.
—	2,	9	—	XLI, 14.
—	—	12	—	XLII, 19.
—	3,	22	—	XXV, 67.
—	—	29	—	VII, 16.
—	—	41	—	LI, 12.
—	—	129	—	VII, 16.
—	—	192	—	LI, 12.
—	4,	7	—	XXXIV, 4.
—	—	8	—	XXXIV, 5.
—	—	9	—	XXVI,21. XXXIV,1.2.
—	—	10	—	XVII, 13.
—	—	16	—	XXXIV, 3.
—	—	20	—	XVII, 10.
—	6,	6	—	LXXIV, 1.
IV,	1,	7	—	XXXI, 3.
V,	1,	8	—	LIII, 1.
—	2,	6	—	XV, 14.
VI,	1,	2	—	XXX, 50.
—	22		—	LI, 9.
VII,	1		—	LI, 9. 10.
—	—	1.3	—	LI, 6.
—	—	7	—	LI, 19.
—	—	18	—	LI, 16.
—	3,	33	—	LI, 27.
—	4,	4	—	LVIII, 4.
—	—	5	—	LXIX, 1.
—	5,	1.2	—	LI, 29.
VIII,	1,	15	—	X, 1. 2.

Basil.				Πεῖρα
VIII,	2,	101	—	LI, 7.
IX,	1,	66	—	LI, 20.
—	—	79	—	LI, 18. 33.
—	2,	4	—	LXXV, 1.
—	3,	35	—	LI, 8.
—	—	36	—	LI, 16.
—	—	66	—	XIX, 17.
—	—	67	—	XIX, 17.
—	—	82	—	XIX, 17.
—	—	88	—	XIX, 4.
X,	4,	18	—	XVII, 17.
—	—	19	—	XVII, 17.
—	—	38	—	I, 2.
—	—	50	—	XVII, 17.
—	—	59	—	XVII, 10. LXVIII, 7.
—	—	60	—	XVII, 17.
—	—	63	—	XVII, 7. 17.
—	12,	1	—	XVII, 6.
—	19,	3	—	XXXVI, 3.
XI,	1,	38	—	XXV, 69.
—	2,	20	—	VII, 17.
—	—	22	—	VII, 13.
—	—	31	—	VII, 15.
—	—	33	—	VII, 15.
—	—	53	—	VII, 10.
—	—	54	—	VII, 15.
XII,	1,	7–9	—	XXI, 2.
—	—	50	—	XXI, 2. 3.
—	—	63. 64	—	XXI, 4.
—	3,	4	—	XXI, 5.
XIII,	2,	28	—	LIX, 5.
—	—	43	—	LIX, 3.
—	—	44	—	LIX, 1.

Basil.			Πεῖρα
XIV,	1,	10	— XXVI, 12.
XV,	1,	108	— XL, 9.
XIX,	1		— I, 9. XV, 13. XVI, 16. XXXI, 6–10. XXXVIII, 11. 90. 91. XLII, 12—16. XLIII, 8. XLIV, 4. XLV, 12. 16. 17. LXXII, 2. LXXIII, 1.
—	2		— XXI, 6. XXII, 3. 7–16.
—	3		— XXVIII, 4. 5. XLIV, 5.
—	4		— XXIII, 8. XXXVI, 6. LIV, 13–18.
—	5		— I, 10–12. V, 3–5. XVI, 17. XXXI, 11. XXXVIII, 8. XLV, 18.
—	6		— XXVIII, 7. XXXI, 12. LXV, 14.
—	7		— I, 13. XXVIIII, 8—19. XLV, 19.
—	8		— I, 5. XXVIII, 20.
—	10		— V, 2. XXVI, 20. XXVIII, 3. XXXVIII, 12. 21—58. XL, 7. XLII, 9. 10.
—	11		— XVI, 15. XVII, 2. XIX, 36. 37. XXXVIII, 59—73. 75—88. XLV, 12. LXV, 7.
—	12		— XXXVIII, 89.
—	18		— XLIV, 7. 8.
XX,	4,	3–5	— XXXVIII, 11.
XXI,	1,	2	— XXX, 42.
—	—	3	— XXX, 9. 42–44. XLII, 7.
—	—	4	— XXX, 8.
—	—	7	— XXX, 45.
—	—	8	— XXX, 46.
—	—	9	— XXVI, 6. XXX, 46.
—	—	10	— XXX, 47.
—	—	11	— XXX, 48.
—	—	13	— XIV, 20 XXX, 49.
—	—	14	— XIV, 18. XXX, 50. 51.
—	—	16	— XIV, 19. XXX, 52.
—	—	17	— XXX, 79. XLIX, 36.
—	—	18	— XXX, 53.
—	—	20	— XXX, 54. 55.
—	—	21	— XIV, 17. XXX, 56.
—	—	22	— XXX, 57.

Basil.			Πεῖρα
XXI,	1,	24	— XXX, 58.
—	—	25	— XXX, 17.
—	—	27	— XXX, 59.
—	—	29	— XXX, 60.
—	—	30	— XXX, 62.
—	—	32	— XXVIII, 2. XXX, 61.
—	—	38	— XXX, 63.
—	—	39	— XXX, 64.
—	—	40	— XXX, 65.
—	—	42	— XXX, 30. 66.
—	—	43	— XXX, 67. 68.
—	—	46	— XXVI, 10. XXX, 18. 69–73.
—	2,	4	— LIX, 3.
—	—	5	— LIX, 3.
—	—	7	— LIX, 3.
—	—	11	— XLIX, 23.
—	—	21	— XXX, 21.
XXII,	1,	2	— XXIII, 6.
—	—	7	— XXVIII, 2.
—	—	9	— XXIII, 6.
—	—	19	— XXIII, 6.
—	—	20	— XLII, 8.
—	—	21	— XLIII, 6.
—	—	24	— XXVI, 18.
—	—	25	— XXXV, 4.
—	—	26	— XXVI, 19. XLIII, 9.
—	—	27	— XLIII, 7. LIV, 12.
—	—	28	— XXX, 74. XXXVII, 3.
—	—	30	— XLVII, 2.
—	—	31	— LXIV, 3.
—	—	36	— XXIII, 5.
—	—	48	— XXX, 24.
—	—	49	— XXX, 23.
—	—	55	— LV, 3.
—	—	58	— XLVII, 7. LXIV, 1.
—	—	63	— XLVII, 3.
—	—	73	— XLVII, 4.
—	—	76	— XXXVIII, 1. XLIV, 3.
—	—	77	— XLVII, 6.
—	—	79	— LVI, 1. LXIV, 3.
—	—	82	— XXXVIII, 20.
—	4,	1	— XXIII, 6. XXX, 33. LIX, 4.
—	5,	2	— VII, 15.
—	—	7. 9	— LXVIII, 7.
—	—	13	— LXIX, 1.

Basil.				Πεῖρα
XXII,	5,	31	—	LXVIII, 7.
—	—	35	—	XVI, 8. LXVIII, 7.
—	—	43	—	LXVIII, 2. 7.
—	—	44	—	LXIX, 1.
—	—	55	—	LXIX, 1.
XXIII,	1,	58	—	XLV, 10.
—	—	61	—	XXX, 4.
—	—	76	—	LXXI, 1.
—	3,	17	—	XXXVI, 20—22.
—	—	18	—	XIX, 38.
—	—	19	—	XIX, 39.
—	—	20	—	XIX, 40.
—	—	24	—	LI, 22. LXV, 6.
—	—	25	—	XV, 11. XL, 3—5.
—	—	28	—	XIX, 41. XL, 6.
—	—	29	—	XIX, 40.
—	—	31	—	XIX, 42.
—	—	32	—	XIX, 43. 44. LXV, 6.
—	—	37	—	XIX, 45.
—	—	38	—	XIX, 46.
—	—	39	—	XIX, 47.
—	—	41	—	XIX, 48.
—	—	44	—	XIX, 49.
—	—	45	—	V, 1.
—	—	50	—	XIX, 50.
—	—	51	—	XIX, 51.
—	—	52	—	XIX, 52.
—	—	53	—	XIX, 53.
—	—	59	—	XIX, 54.
—	—	61	—	XIX, 55.
—	—	62	—	XIX, 56.
—	—	63	—	XLV, 15.
—	—	64	—	XIX, 57.
—	—	65	—	XIX, 58.
—	—	66	—	XIX, 59.
—	—	68	—	LXV, 6.
—	—	69	—	XIX, 60.
—	—	72	—	XIX, 61.
—	—	74	—	XIX, 62.
XXIV,	1,	17	—	XXVI, 8.
—	7,	7	—	XXVI, 28.
—	10,	16	—	LIV, 10.
XXV,	1,	11	—	XIX, 1.
—	—	38	—	XLV, 10.
—	2,	1	—	VI, 15.
—	—	6-8	—	VI, 16.
—	—	10	—	VI, 17.

Basil.				Πεῖρα
XXV,	2,	16	—	VI, 18.
—	—	26	—	VI, 19. 21.
—	—	29	—	VI, 22.
—	—	59	—	XIX, 9.
—	—	68	—	XXV, 68.
—	3,	8	—	XIX, 10.
—	—	18	—	XXXVI, 19.
—	—	21	—	VI, 27.
—	4,	3	—	VI, 3. XXVI, 9.
—	—	16	—	VI, 4. 5.
—	5,	1	—	VI, 6.
—	—	3	—	VI, 7.
—	—	5	—	VI, 8.
—	—	6	—	XIX, 6.
—	—	7	—	VI, 9. 10-12.
—	—	8	—	VI, 31.
—	—	9	—	VIII, 30. 31.
—	—	10	—	VIII, 32. XIX, 11.
—	—	19	—	XIX, 6.
—	—	28	—	VI, 20.
—	—	37	—	XXV, 70.
—	—	38	—	VIII, 33.
—	—	51	—	XXXVI, 16.
—	7,	2. 3	—	XIX, 13.
—	—	7	—	XIX, 15.
—	—	9	—	XIX, 15.
—	—	10	—	XXXVIII, 17.
—	—	12	—	XXXVIII, 18.
—	—	18	—	XXXVIII, 19.
—	—	21. 22	—	XIX, 15.
—	—	24	—	XIX, 15.
—	—	26	—	XIX, 15.
—	—	29	—	XIX, 15.
—		31. 32	—	XIX, 15.
—	—	34	—	XIX, 15.
—	—	37	—	XIX, 15.
—	—	38	—	XIX, 21.
—	—	40	—	XIX, 22.
—	—	47	—	XIX, 23.
—	—	49	—	XIX, 28.
—	—	50	—	XIX, 29.
—	—	55	—	XIX, 30.
—	—	58	—	XIX, 31.
—	—	59	—	XIX, 32.
—	—	62	—	XIX, 33.
—	—	63	—	XIX, 34.
—	—	64	—	XIX, 35.

Basil.			Πεῖρα
XXV,	7,	77	— XIX, 24.
—	—	78	— XIX, 25.
—	8,	4	— XIX, 18. 19.
—	—	6	— XIX, 20.
—	—	8	— XXVI, 17.
—	—	9	— VI, 28.
—	—	13	— LXIX, 4.
—	—	15	— VI, 29.
XXVI,	1,	5	— LXV, 8.
—	—	8	— LXV, 9.
—	—	14	— LXV, 10.
—	—	21	— LXV, 11.
—	—	24	— LXV, 12.
—	—	71	— LXV, 13.
—	2,	1	— XXVI, 14. 27.
—	3,	3	— LXV, 3.
—	4,	2	— XXVII, 3.
—	—	42	— XXVII, 3.
—	5,	29	— VI, 23.
—	—	39	— VI, 24.
—	—	44	— VI, 25.
—	7,	1	— XII, 5.
—	—	39	— XII, 2. LIV, 19.
—	—	61	— XII, 5.
—	—	73	— XII, 3.
—	—	86	— XII, 4.
XXVII,	7,	1	— XXV, 23.
XXVIII,	1,	7	— XLIX, 2. 34.
—	—	16	— XLIX, 26.
—	3,	2	— V, 8.
—	—	4	— V, 9.
—	—	7	— V, 6.
—	—	10	— V, 7.
—	4,	3	— XLIX, 2.
—	—	46	— XLIX, 26.
—	—	48	— XLIX, 25.
—	5,	1	— XLIX, 13. 29. 37. LXVI, 7.
—	—	2	— XLIX, 33.
—	—	3	— XLIX, 13.
—	—	6	— XLIX, 33.
—	—	12	— XLIX, 23.
—	—	34	— XLIX, 15.
—	7,	1	— XXV, 41.
—	—	2	— XXV, 58.
—	—	6	— XXV, 62.
—	—	9	— XLIX, 2.

Basil.			Πεῖρα
XXVIII,	12		— XXV, 47.
—	—	1	— XXV, 71.
—	14		— XXV, 47. 48. LIV, 20.
XXIX,	1,	1	— XXIV, 8.
—	—	5	— XLIX, 20.
—	—	65	— XXV, 67.
—	—	87	— XXV, 46.
—	—	94	— I, 6.
—	—	118	— XXV, 53.
—	—	119	— XXV, 55. 73. 74.
—	5,	7	— I, 6. II, 5.
—	—	41	— II, 5.
XXXII,	1,	2.3	— XLIX, 25.
XXXV,	1,	25	— XIV, 15.
—	8,	1.2	— LXVII, 3.
—	—	7	— LXVII, 2.
—	—	36.37	— XIV, 9. LXVII, 2.
—	9,	9	— LXVII, 3.
—	—	31	— XLI, 13.
—	10,	14	— LIV, 6.
—	12,	12	— XXXI, 5.
—	—	15	— XXXI, 4.
—	—	28	— XXXI, 5.
—	—	33	— XXXI, 4.
—	14,	110	- XVI, 18.
XXXVII,	1,	16	- XVI, 5.
—	2,	11	— XVI, 9.
—	—	13	— XVI, 9.
—	—	14	- XVI, 10.
—	4,	10	— XVI, 7.
—	5,	4	— XLIII, 8.
—	—	40	— XLIII, 8.
—	7,	6	— XVI, 18.
—	—	7	— XLIII, 8.
XXXIX,	1,	15	— LXVII, 2.
—	—	38	— XLI, 23. LXVII, 2.
—	—	54	— XIV, 10.
—	2,	1. 2	— XIV, 12. 14.
—	—	5	— LXVII, 2.
—	—	13	— LXVII, 2.
XLI,	1,	1	— XLI, 20.
—	—	3	— XLI, 15.
—	—	21	— XLI, 17.
—	—	31	— XLII, 3.
—	—	72	— XLI, 16. 23.
—	—	96	— XLI, 16.

Basil.				Πεῖρα
XLI,	5,	2	—	XLI, 17.
XLIII,	1,	97	—	XXXI, 5.
XLIV,	1,	61	—	XXXI, 5.
—	—	112	—	XLIII, 8.
—	—	138	—	XLIII, 8.
—	3,	92	—	XLIII, 8.
—	16,	1	—	XLIII, 10.
—	—	8. 9	—	XLIII, 8.
—	—	22	—	XLIII, 8.
—	—	27	—	XLIII, 8.
—	—	30	—	XLIII, 8.
—	19,	40	—	XXXI, 5.
XLV,	2,	14	—	XLIX, 30. LIV, 9.
—	3,	7	—	XXX, 7.
—	4,	6	—	I, 6.
—	5,	2	—	XLVIII, 4.
—	—	127	—	XLVIII, 3.
XLVII,	1,	58	—	LIII, 4.
—	—	66	—	LIII, 1. 2.
XLVIII,	14,	4	—	XXVIII, 21.
XLIX,	1,	6	—	XXXI, 4.
L,	2,	2	—	XXX, 36.
—	—	3	—	XXXIX, 3.
—	3,	6	—	XXXIX, 2.
—	—	55	—	XLII, 20.
—	—	57	—	XLII, 17. 18.
—	4,	1	—	VIII, 29.
—	—	2	—	XXII, 3.
—	11,	2	—	VIII, 28.
—	13,	2. 3	—	XXXVI, 2. 5.
—	14,	5	—	VIII, 18.
—	—	8	—	VI, 30.
—	—	9	—	VIII, 21.
—	15,	2	—	XXVI, 15.
—	—	3	—	VIII, 27.
LII,	1,	26	—	XXIII, 4.
—	—	46	—	LI, 15.
LIV,	30,	1	—	XXII, 3.
LV,	1,	18	—	XV, 3.
LVI,	2,	3	—	XXXVI, 7.
—	—	5	—	XXXVI, 8. 9.
—	—	9	—	XXXVI, 13. 17.
—	—	20	—	XXXVI, 10.

Basil.				Πεῖρα
LVI,	2,	47	—	XXXVI, 11.
—	6,	5	—	XXII, 3.
LVIII,	10		—	XL, 9.
LX,	1,	1	—	LXVI, 13.
—	—	15	—	XXX, 42.
—	—	29	—	LXVI, 9.
—	—	35	—	LXVI, 12.
—	3,	23	—	LXVI, 20.
—	—	41	—	LXIV, 5.
—	12,	27	—	LXIV, 5.
—	—	29	—	LXIV, 5.
—	—	30	—	LXIV, 5.
—	17,	7	—	XL, 9.
—	—	9	—	VIII, 25.
—	21,	1. 2	—	XLIX, 4.
—	—	5	—	LX, 4.
—	—	13	—	LX, 4.
—	—	15	—	LX, 4.
—	—	22	—	XLIX, 4.
—	—	29. 30	—	LX, 4.
—	—	31	—	LX, 4.
—	34,	1. 2	—	LXVI, 2.
—	—	8. 9	—	LXVI, 10.
—	—	10	—	VIII, 17. LXVI, 10.
—	—	11	—	LXVI, 10.
—	—	26	—	LXVI, 8.
—	—	34	—	LXVI, 7.
—	—	35	—	XXV, 41. LXVI, 23.
—	37,	2	—	XLIX, 24.
—	—	39	—	XLIX, 14. 17.
—	—	44	—	XXV, 41.
—	—	66	—	XXV, 42.
—	—	79	—	XLIX, 4.
—	—	81	—	XLIX, 22.
—	39,	11	—	LXVI, 25.
—	41,	1	—	LXIV, 5.
—	—	23	—	LXIV, 5.
—	42,	13	—	XXV, 43.
—	—	20	—	LXVI, 16.
—	—	21	—	LXVI, 15.
—	—	22	—	LXVI, 13.
—	58,	1	—	LXIII, 1. 4.

III. INDEX MEMORABILIUM.

Alexii Patriarchae sententia synod. innuitur XLIX, 3.
Ἀλληλέγγυον XII, 6.
ὁ πατρίκιος ὁ Ἀλωπός XIV, 5.
Ἀνακάθαρσις τῶν νόμων ἰουστινιανοῦ LXVII, 1.
ὁ Ἀνεμάς LI, 29.
ὁ πριμμικέριος Ἄνθιμος XVI, 20.
οἱ Ἀντιγραφεῖς XVIII, 5.
Ἀντιπροσώποντες τῷ βασιλεῖ LI, 6.
ὁ Ἀροτρᾶς XLIX, 10.
ὁ Ἀσηκρῆτις XXVIII, 1. XLII, 20.
ὁ Ἀτζοκομίτης LXV, 5.
Auctor Vestam sive Magistrum sive Patricium interrogat VI, 15. 16. XIV, 20. XVII, 14. XXIII, 3. 6. XXV, 22. 69. XLIII, 5. XLIX, 5. LI, 29.
τοῦ ἁγίου Αὐξεντίου κώμη XV, 8.
ἡ Ἀχειροποίητος XXXVI, 18.

ὁ πατρίκιος Βαασάκιος XLII, 17. LI, 21. LXVI, 28.
Barbari XIV, 16.
Βάρδας ὁ βέστης judex LXIV, 1.
Βάρδας ὁ πατρίκιος καὶ ὕπατος LI, 31.
ὁ Βασιλεὺς judicio praeest VII, 6. XV, 4. XVII, 14. 19. XXXI, 1. XLIV, 1. LXIV, 1.
ὁ Βασιλεὺς ἐκ προσελεύσεως judicem dat VII, 15. XV, 9. XXXVI, 18. LXV, 1.
Basilica illustrantur VIII, 25. XVII, 14. XXXVIII, 8.
Βασίλειος πατρίκιος ὁ σκληρός LXV, 15. Vide ὁ Σκληρός.
ὁ πρωτοσπαθάριος Βασίλειος ὁ στρατηγός XVII, 19.
Βασιλικὴ γραφή XVI, 11. XVII, 14. XLIX, 4. LXIII, 1. LXVI, 27.
Βασιλικὸν δικαστήριον s. βῆμα XXX, 76.
Βασιλικὴ ἀπόφασις LXXIV, 2.
Basilius Bulgaroctonus Imp. XV, 2. XXXI, 1.
ὁ Βέστης judicat II, 1. IX, 2. XII, 5. XV, 3. XVI, 2. XVIII, 1. XXV, 26. 66. XLII, 4. XLIII, 4. LIV, 6. LX, 1. LXXIV, 1. legem interpretatur XII, 1. XV, 2. 3. XVI, 2. ad auctoris quaestionem respondet XXV, 22. inter magnos judices XXV, 27. XXXVIII, 7. LXVI, 1. 2. idem qui ὁ μάγιστρος XXV, 23. 29.
ὁ Βούρτζη LX, 1.

Γαζουρὰ νῆσος XXVIII, 6. XLII, 17.
Garidae scholio auctor uti videtur p. 138 not. 2.
τὸ Γηροκομεῖον ὁ ἅγιος ἡλίας XV, 12. τὸ μυρέλαιον XV, 12. τὰ πέτρια XV, 12.
ὁ Γοργοπλοῦτος ὁ μάγιστρος VIII, 2. XVI, 11. XXV, 60. LXIX, 2.
ἡ Γορδίου κώμη XXIII, 3.
Γρηγόριος ἐπίσκοπος VII, 16.
Γρηγόριος ὁ μητροπολίτης μετὰ τῶν νικαέων litigat XV, 17.
Γρηγόριος πρωτοσπαθάριος ὁ σολομῶν XLIX, 4.

Δαβὶδ ὁ πατρίκιος ὁ Ἴβηρ LIV, 6.
Δαυὶδ ὁ σαρωνίτης XLIII, 8.
ὁ Δεκαπολίτης judex LXIV, 1.
ὁ Δερμοκαΐτης LXV, 5.
Διάταξις τοῦ πατρικίου II, 4. XLIII, 11.
ὁ Διατιμωρίτης XXV, 65.
Digesta laudantur XVII, 17. XXVI, 12. XLIX, 19. LIV, 10.
Δικασταὶ judicant XLV, 7. οἱ μεγάλοι XXV. 27. XXXVIII, 7. LXIII, 5. πολιτικοί VII, 1. 16. οἱ παλαιοὶ καὶ σοφοὶ καὶ ἀρχαῖοι XXX, 31.
Δικαστήριον βασιλικόν v. Βασιλικόν. — τῶν πρωτοσπαθαρίων XXV, 3.
Δικαστὴς θεματικὸς XV, 8. LXVI, 24. ὁ δικάζων κατὰ τὴν ἐπαρχίαν LVIII, 5.
Δικαστὴς ὁ πραίτωρ LI, 29.
Δικαστὴς παλαιός XXV, 53.
ὁ Δικαστής s. ὁ Δικάζων sententiam aliquam tulisse refertur I, 1. 8. II, 4. 5. VII, 8. 10. XV, 5. XVIII, 6. XXI, 1. XXIII, 4. XXIV, 9. XXV, 30. 37. 39. 41. XXVI, 7. 14. XXIX, 3. XXX, 25. 26. 27. XXXVIII, 1. 9. 11. 13. 15. XLV, 8. 9. 10. 13. 14. XLIX, 12. 22. 26. L, 2. LI, 17. LIV, 11. LXIII, 1. LXVI, 24. LXVII, 3.
Δίκη παραπέμπεται δικαστῇ παρά τινος τῶν ἀντιπροσωπόντων τῷ βασιλεῖ LI, 6.
ὁ Δισακκᾶς LXVI, 26.
Διοικητής LXI, 4.
Dionysius Halicarn. laudatur XLVIII, 12.
ὁ Δρουγγάριος in classicos jurisdictionem habet LI, 29.
ὁ Δρουγγάριος judicat XIX, 5. XXII, 4. XXV, 48. μετὰ τοῦ βασιλέως judicat XV, 9. ἐκ προστάξεως τοῦ βασιλέως judicat XV, 9. cum aliis judicibus judicat XXV, 47. 69. XLV, 6. 13. idem qui ὁ μάγιστρος sive ὁ πατρίκιος VII, 6. XV, 9. 14. XXIII, 3. 7. XXIV, 13. XXV, 47. 62. 69. XLI, 9 XLVI, 5. LXI, 6.
ὁ ἀνεψιὸς τοῦ Δρουγγαρίου XXV, 8.

τὸ Ἔδαφος τῶν νόμων i. e. Basilica LIV, 10.
ὁ Ἐξάκτωρ judicat XVI, 11. XXV, 8. XXXVI, 15. 18. idem qui postea ὁ μάγιστρος XLIV, 1.
ὁ Ἐξαμυλίτης judicat VII, 15. XLI, 9.
ὁ Ἔπαρχος XLIV, 1. LI, 29.
Ἐπαρχικὰ δικαστήρια LI, 21.
Ἐπίσκοπος κρατείας IX, 9. σκευγένης XXXVI, 23. γέρμης LI, 24. βαρύ LI, 24.
Ἐρωτικὸς ὁ βέστης LIII, 2.
αἱ Ἑταιρειαρχείαι LI, 29.
ὁ Εὑρετός VII, 6.
Εὐσέβιος ὁ πατρίκιος IX, 9. XV, 10. XIX, 16.
ὁ νέος Εὐστάθιος LXIV, 1. ὁ πατρίκιος εὐστάθιος judicat XXIV, 4. a Patricio Petro in judicando dissentit XXIV, 5. cum aliis in Hippodromo judicat XLIX, 4.
ὁ Εὐφυὴς judicat XLII, 4.

ὁ Ζωγράφος XV, 9.

ὁ ἅγιος Ἡλίας XV, 12.
ὁ πρωτοσπαθάριος Ἡλίας XVII, 14.

Θαλέλαιος JCtus VII, 1. XXXVI, 2. XLI, 23. LIX, 3. LXVI, 8. 9. 10.
τὸ Θέμα τῶν Θρακησίων XXVI, 27.
Θεόδωρος ὁ ἑρμοπολίτης JCtus XXXVIII, 8. XLI, 25.
Θεοφάνω ἡ δέσποινα XXV, 28.
Θεόφιλος JCtus XXXVI, 15.
Θεόφιλος ὁ πρωτοσπαθάριος LIII, 2.
Θυλακᾶς ὁ κριτής XVI, 9.

Ἱμέριος ὁ πρωτοσπαθάριος XLIX, 4.
Institutiones laudantur XXXVI, 3. XXXVIII, 8. LI, 24.
ὁ Ἱππόδρομος XV, 9. LXI, 4. τὸ Ἱπποδρόμιον, locus judicii XLIX, 4. LXI, 6.
Ἰσοκώδικον IX, 10. XV, 10.
ὁ Ἰωάννης XII, 6.

ὁ Καθηγούμενος τῆς νέας κώμης XIV, 22.
Κακατηρὸς ὁ μαγκλαβίτης XXV, 28.
Καμηλαυκᾶς ὁ πρωτοσπαθάριος XLIX, 25.
Καμπανάριος ἐπίτροπος τοῦ γαλατᾶ XXV, 8.
Καμπανάριος ὁ κριτής XXIII, 6.
Κανδιδάτος LXI, 6.
ὁ ἐπὶ τοῦ Κανικλείου judex LXVI, 1. 2.
ἡ Κανικλίνη XLIV, 1.
ὁ Καπιλάβη s. Καπιχαβῆ XIV, 12. LI, 21.
Καπνικόν XVIII, 2.
ὁ Καταναγκης LI, 25.
Κελλίον τοῦ μαγίστρου in Hippodromo LXI, 6.
Κένσωρ παλαιός LXIII, 5.
ὁ Κηρουλάριος LXV, 2.
Codex laudatur VIII, 25.
ὁ Κοιαίστωρ XIV, 11. XVI, 5. 13. XVII, 11. LI, 29. LXVI, 1. 2.
ὁ Κοιτωνίτης μιχαήλ VIII, 2.
ὁ Κομνηνός XLIV, 1. ὁ υἱὸς τοῦ κομνηνοῦ XVII, 5. 14.
Κονάβης ὁ πατρίκιος XVII, 19.
ὁ Κουράτωρ τοῦ δισακκᾶ LXVI, 26.
ὁ Κουράτωρ τῆς ἁγίας σοφίας LXVI, 27.
Κριτής, Κριταί VII, 12. XV, 9. 14. XVI, 9. XXIII, 3. XXX, 39. 40. 41. 42. LXIV, 1. LXVI, 1.
Κριτὴς μεσοποταμίας VII, 16.
Κριτὴς πελοποννήσου καὶ ἑλλάδος LI, 25. LXIV, 6.
Κύριλλος JCtus XXVI, 12. XXXVI, 15. XLI, 15.
Κωνσταντῖνος πρωτοσπαθάριος καὶ κριτὴς μεσοποταμίας VII, 16.

ὁ Λαμπρός LXV, 5.
Leo Sapiens Imp. XV, 10.
Λέων πατρίκιος καὶ ἔπαρχος LI, 21.
Λέων πρωτοσπαθάριος XXVI, 23.
Λέων πρωτοσπαθάριος καὶ πρωτονοτάριος τοῦ γενικοῦ LXI, 6.
ὁ Λιμὸς sub Imp. Romano seniore VIII, 1. IX, 1.
ὁ Λιμογάλακτος LXIV, 5.
Lingua vulgaris XVII, 14. LXI, 6. LXVI, 26. passim.
Λιτὸς κριτής LXIV, 1.

ὁ Μάγιστρος cum Imperatore judicat XVII, 14. XLIV, 1. cum aliis judicibus XV, 9. 14. XVI, 9. XVII, 14. XXIII, 6. XXV, 62. 69. XXXVIII, 2. 12. LIII, 2. LVIII, 4. cum Protoasecretis LIII, 1. cum Mystico XXXVIII, 5. ἐν χρυσοπόλει judicat XVIII, 5. ejus sententia ab Imperatore confirmatur XLIX, 26. a Patricio Alopo dissentit XIV, 5. testamentum aperiri jubet XIV, 11. simpliciter sententiam tulisse dicitur I, 14. 15. V, 10. VII, 12. 13. 15—19. VIII, 34. IX, 8—10. XII, 6. XIII, 2. XIV, 9. 10. 12. 15. 16. 21—24. XV, 8. 10. 14. 15. 17. XVI, 12. 13. 18—20. 22. XVII, 5. 16. 18. 19. XVIII, 2. XIX, 16. 26. 27. XXII, 6. 17. XXIII, 7. 9. XXV, 25. 53. 61. 64. 65. 67. 72. 76. 77. XXVI, 22. 25—27. 29. XXVIII, 1. 6. XXX, 38. 75. 77. 78. 80. XXXI, 4. XXXIII, 1. XXXV, 5. XXXVI, 23. 24. XXXVIII, 14. 16. 74. XL, 10. 12. XLI, 10—12. 22. 23. 26. 27. XLII, 11. 17—21. XLIII, 9. 11. 14. XLVI, 4. XLVII, 7. XLVIII, 9—11. XLIX, 24—26. 34. 37. L, 5—7. LI, 5. 10. 24. 25. 31. LIII, 3. LVI, 2. LVII, 1. LVIII, 2. 3. 5. LIX, 5. LXI, 5. LXIII, 4. LXIV, 4-6. LXV, 2. 5. 15. 16. LXVI, 26. LXIX, 2. 5. LXXIV, 2. legem aliquam interpretatur VI, 30. VIII, 9. XXV, 16. 21. 23. XXVI, 10. XXX, 1. 31. XXXVI, 2. XLI, 13. 24. XLV, 2. 5. LI, 16. 22. LXIV, 2. LXXI, 1. LXXV, 2. ad auctoris quaestiones respondet VI, 15. 16. XIV, 20. XVII, 14. XXIII, 3. 6. XXV, 69. XLIII, 5. LI, 29.
ὁ Μάγιστρος antea πρωτοσπαθάριος LXI, 4. ἐξάκτωρ XLIV, 1. κοιαίστωρ XVI, 20. LI, 29. ejus proavus XXX, 76.
ὁ Μάγιστρος idem qui ὁ βέστης, ὁ δρουγγάριος, ὁ πατρίκιος auctori audit VII, 6. XV, 9. 14. XXIII, 3. 7. XXV, 3. 23. 47. 62. 69. XLI, 9. XLVI, 5. XLIX, 2. LXI, 6.

Μαγκλαβίτης XVII, 18. XLII, 17. LXVI, 25. 28.
ὁ Μαΐστωρ LXVI, 24.
Μανουὴλ νοτάριος καὶ κριτής XV, 10.
ὁ Μαρανδός VIII, 34.
Μαρία ἡ πρωτοσπαθαρία XV, 16.
Μαρία ἡ πατρικία ἡ καστόρισσα XVII, 19.
Μαριανὸς πρωτοβεστιάριος XV, 4.
Μαρῖνος ὁ δομέστικος LI, 10.
ὁ Μελείας LVIII, 2.
Μεσοποταμία VII, 16. XLIII, 5.
ὁ Μετρητής XVIII, 6. LI, 17.
Metropolita Nicaeae XV, 3.
ὁ Μητροπολίτης ἀγκύρας VII, 6. *ἐφέσου* XXXVI, 24. LVIII, 5. *κλαυδιουπόλεως* XV, 10. XIX, 16. *μελιτινῆς* LI, 10. *τοῦ φαγίτζη* XXIII, 3.
Μιχαὴλ ὁ κοιτωνίτης VIII, 2.
Μιχαὴλ ὁ πριμμικύριος LXXIV, 1.
Μιχαὴλ ὁ πρωτοσπαθάριος LI, 31.
Μονὴ βλάχνας XV, 10. *δαβὶδ* XXXVIII, 12. *τῆς ἐλεούσης* XV, 15. *τῶν καμψῶν* XXXVI, 24. LVIII, 5. *τοῦ ἁγίου μάμαντος* XV, 16. *νεαστοῦ* XXIII, 3. *τοῦ ἁγίου λαζάρου* XXXI, 5. *τοῦ πελεκάνου* XXV, 25. *τῆς νέας κώμης* XIV, 22. *τῶν νησιῶν* IX, 10. *τοῦ πιπεράτου* XV, 4. *τοῦ πρωμύτου* L, 6. *τοῦ ἁγίου φωκᾶ* XV, 9. *τῆς χώρας* XV, 15.
ο Μορορέων XLV, 11.
τὸ Μυρέλαιον XV, 12.
Μύρων πρωτοσπαθάριος καὶ κοιαίστωρ XVI, 13.
ὁ Μυστικὸς idem qui postea *ὁ πατρίκιος* LXV, 1.
ὁ Μυστογράφος judicat VII, 15.

Νάσαρα ὁ πατρίκιος XLV, 7.
Ναὸς τοῦ μάρτυρος XV, 8.
ἡ Νέα τῶν πετρίων IX, 7.
ἡ Νέα κώμη XIV, 22.
ἡ Νεαστοῦ κώμη XXIII, 3.
οἱ Νικαεῖς XV, 17.
Νικηφόρος ὁ πρωτοσπαθάριος XXXIII, 1.
Νικήτας ὁ ῥαίκτωρ XV, 9.
Νικόλαος Patriarcha XV, 4.
Νικολάου τοῦ πατρικίου ὑπόμνημα XV, 3.
Νικόλαος πατρίκιος καὶ ἔπαρχος LI, 31.
οἱ Νοτάριοι τοῦ κοιαιστωρίου XIV, 11. LI, 21.
Novellae Leonis Sap. IX, 8. XVII, 14. LI, 19. LIII, 2. Constantini Porphyrog. LXIII, 3. LXVI, 14. Romani sen. VIII, 1. IX, 1. 10. Basilii Bulgaroct. VIII, 1. IX, 1. 2. 6. 7. 10. XXIII, 3. LI, 9. LVII, 1.

ὁ Ξηρὸς judicat XIV, 22. XLV, 11.

Ὁλκὴ, nobis *Geldcours* LIX, 5.
Ὁμήρου στίχος ex Odyssea laudatur XXV, 25.
Ὀφρυδᾶς ὁ κριτής XVI, 9. XIX, 5. LI, 16.

Πανβήριος ὁ πατρίκιος XV, 16.
ὁ Παραθαλασσίτης LI, 29.
ὁ Παρανδηνός LIII, 2.
ὁ Παρασκότομος XLIX, 2.
Πάροικοι XV, 2.
Patriarchae judicium XXXI, 8.
ὁ Πατρίκιος εὐστάθιος judicat XXIV, 4. 5. antea *λιτὸς κριτής* LXIV, 1. idem qui *ὁ μάγιστρος* et *ὁ δρουγγάριος* XXIV, 13. XXV. 3. 47. 62. XLVI, 5. XLIX, 2. judicat VII, 3. XVIII, 3. XIX, 1. XXIII, 2. XXIV, 15. XXV, 6. XXXVIII, 10. XL; 1. XLIX, 5. LI, 32. LVIII, 1. cum judicibus civilibus VII, 1. cum Petro Protoasecretis XIV, 1. legem interpretatur XI, 1. XX, 1. XXXVI, 13. LI, 9. LIV, 16. auctori interroganti respondet XLIX, 5.
ἡ Πατρικία XLIX, 26.
τὰ Πέτρια IX, 17. XV, 12. LXIX, 2.
Παῦλος ὁ στρατιωτικός XVI, 9.
Πέτρος ὁ πατρίκιος judicat cum Patricio Eustathio XXIV, 4.
Πέτρος πατρίκιος καὶ κοιαίστωρ LI, 21.
Πέτρος ὁ πρωτοασηκρῆτις cum Patricio judicat XIV, 1. Vide *ὁ Πρωτοασηκρῆτις.*

Bayerische Staatsbibliothek München

τὸ Πλάτος τῶν κωδίκων laudatur VIII, 25.
τὸ Πλάτος XVI, 9. XIX, 15. XXXI, 10. XXXIV, 1. XXXVIII, 21. 26. 31. 33 sqq. XLII, 8.
τὸ κατὰ Πόδας LI, 32.
Πολιτικοὶ δικασταί VII, 1.
ὁ ἅγιος Πολυεύκτης XXXVIII, 13.
ὁ Πραίτωρ LI, 29.
Προσέλευσις ad Imperatorem VII, 15. XV, 9. XXXVI, 18. LXV, 1. ad Patriarcham XXXI, 5.
ὁ Πρωτοασηκρῆτις cum Drungario sive Magistro et aliis judicat XXV, 69. XLIII, 8. LIII, 1. Vide Πέτρος.
ὁ Πρωτοβεστιάριος XXXVIII, 12. LI, 29.
ὁ Πρωτοκάραβος LXIII, 5.

Ῥαίκτωρ XV, 9.
αἱ Ῥοπαὶ laudantur VIII, 25.
Ῥυακίων χωρίον IX, 9. XV, 10.
Ῥωμανὸς ὁ πρεσβύτης Imp. VIII, 1. XV, 4.
Romanus Argyropulus judicat XLIX, 4. πρωτοσπαθάριος καὶ κοιαίστωρ ὁ μετὰ ταῦτα βασιλεὺς LVIII, 4. Imperator LXVI, 25.
Ῥωμανὸς πρωτοσπαθάριος ὁ σκληρὸς XLII, 18. 19. Vide ὁ Σκληρός.

ὁ Σακελλάριος XVI, 20.
ὁ ἐπὶ τῇ Σακέλλῃ XV, 9.
Σεκρετικοὶ XV, 9. XXXVI, 2. XLII, 21.
Σέργιος πρωτοσπαθάριος καὶ κριτής XXV, 36.
Σέργιος πρωτοσπαθάριος καὶ κοιαίστωρ inter magnos judices LXVI, 1.
Sisinnii Patriarchae tomus XLIX, 28.
ὁ Σκληρός XV, 14. 16. Vide Βασίλειος et Ῥωμανός.
ὁ Σκληρὸς ὁ μάγιστρος XXIII, 7. XLII, 11. L, 4. LXIX, 5.
ὁ Σκρίβα LXV, 1.
Σολομὼν πρωτοσπαθάριος XLIX, 4.
Σπαθαροκανδιδάτος XXX, 75.
τὸ Στενόν, judicii locus LI, 10.
Στέφανος JCtus XV, 3. XVI, 9. 10. XXVI, 12. XXXVI, 15.
Στίχος δημόσιος XXXVI, 23.
Συγκλητική XLIX, 4.
Συμβατίκιος ὁ κριτής VII, 12.
Συμεὼν ὁ μάγιστρος καὶ λογοθέτης LXIV, 1.
Synodi sextae canon laudatur XLIX, 2.
Συνωνή XVIII, 2.

Τειχιώτης πρωτοσπαθάριος XLIX, 4.
Τεπειγάνος judex LXIV, 1.
Τόμος Σισινίου XLIX, 28.
Τορνίκιος ὁ δικαστής XLIX, 4.
ὁ Τουπένης LXV, 5.
Τριακοντάφυλλος ὁ πατρίκιος XXXVI, 18.

ὁ Ὕπατος LXIX, 2.
Ὑπόμνησις πρὸς τὸν βασιλέα LXVI, 27.
Usurarum ratio I, 14. XIX, 1.

Χαλδαίων γῆ XV, 8.
Χαλδᾶς ὁ πατρίκιος VII, 16. XXV, 66.
ὁ Χρυσοτελής LXVI, 26.

ὁ Ψηνᾶς LVIII, 4.

Lipsiae, typis J. B. Hirschfeld.

Bayerische Staatsbibliothek München

F. X. BEER
kgl. Hofbuchbinder
in
MÜNCHEN
Ledererga̋ſse № 25.